GREEK SERIES · VOLUME 47

The Peloponnesian War

Thucydides

ΙΣΤΟΡΙΩΝ

The Peloponnesian War

Part Two: Books III–V

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is used under a Creative Commons
Attribution-ShareAlike 4.0 International License
creativecommons.org/licenses/by-sa/4.0



Volume 47 of the Canes Nobiles Greek interlinear texts

The Greek text follows Jones's Oxford Thucydides

Set from the Perseus Digital Library, with corrections

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

Words the editor secludes are not printed, save III.17 and III.84, chapters he brackets whole and prints in his brackets; words he supplies are printed without their brackets; ∗∗∗ marks a gap in the text.

CONTENTS

BOOK III

I · The Revolt of Lesbos 9
II · To Olympia 16
III · The Mytilenaeans at Olympia 18
IV · A Hundred Ships and the Cost 27
V · The Breakout from Plataea 32
VI · Mytilene Surrenders 41
VII · A Decree Repented 52
VIII · Cleon's Speech 55
IX · Diodotus' Reply 65
X · The Second Trireme 76
XI · Plataea Surrenders 79
XII · The Plataean Plea 82
XIII · The Theban Reply 94
XIV · The End of Plataea 105
XV · Civil War at Corcyra 107
XVI · The Nature of Faction 121
XVII · The Exiles on Istone 128

BOOK III

(continued)

XVIII · Ships to Sicily 130
XIX · Waves, Battles, and Heraclea 133
XX · Demosthenes in Aetolia 141
XXI · Olpae and Idomene 152
XXII · Sicily and Etna 172

BOOK IV

I · Pylos Fortified 175
II · The Landing Fought Off 184
III · The Spartans Sue for Peace 194
IV · Cleon Refuses 202
V · Sphacteria 211
VI · Solygeia and Methana 233
VII · The End of the Corcyraean Exiles 239
VIII · Anactorium and a Persian Envoy 244
IX · Cythera 247
X · The Congress at Gela 254
XI · The Speech of Hermocrates 255
XII · The Sicilian Peace 263
XIII · Megara and Nisaea 265
XIV · Antandrus and a Plot in Boeotia 279
XV · Brasidas Crosses Thessaly 284
XVI · Brasidas at Acanthus 292
XVII · The Speech at Acanthus 293
XVIII · Delium Fortified 300
XIX · Pagondas and Hippocrates 303

BOOK IV

(continued)

XX · The Battle of Delium 310
XXI · Amphipolis Falls 320
XXII · Acte, Torone, and Lecythus 330
XXIII · The Truce for a Year 339
XXIV · Scione Revolts 346
XXV · The Retreat from Lyncus 352
XXVI · Mende and Scione Besieged 361

BOOK V

I · Cleon Retakes Torone 370
II · Amphipolis 376
III · Both Sides Weary 390
IV · The Peace of Nicias 396
V · The Second Preface 407
VI · The Argive League 410
VII · Panactum Destroyed 418
VIII · Alcibiades and the Alliance with Argos 436
IX · Olympia, Heraclea, and Epidaurus 448
X · The Armies at Nemea 458
XI · Agis Marches to Mantinea 467
XII · The Battle of Mantinea 475
XIII · Argos Changes Sides 484
XIV · The Athenians at Melos 494
XV · The Melian Dialogue 496
XVI · The Fall of Melos 509

BOOK III

I · THE REVOLT OF LESBOS

The Peloponnesians invade Attica again in the fourth summer. Lesbos, except Methymna, revolts before it is ready, betrayed by informers from Tenedos, Methymna, and Mytilene itself. Athens, worn by plague and war, at first refuses to believe it, then sends forty ships to surprise the Mytilenaeans at a festival of Apollo; warned by a man who crossed from Athens in three days, they stay behind their walls. A truce and an embassy to Athens fail, and envoys slip away to Sparta. A battle is indecisive, and the Athenians blockade Mytilene's two harbors from two camps.

τοῦ δ' ἐπιγιγνομένου θέρους Πελοποννήσιοι καὶ οἱ 1.1
in-the and following summer Peloponnesians and the
ξύμμαχοι ἅμα τῷ σίτῳ ἀκμάζοντι ἐστράτευσαν ἐς
allies together-with the grain ripening marched into
τὴν Ἀττικήν· ἡγεῖτο δὲ αὐτῶν Ἀρχίδαμος ὁ Ζευξιδάμου
— Attica led and them Archidamus the son-of-Zeuxidamus
Λακεδαιμονίων βασιλεύς.
of-Lacedaemonians king
καὶ ἐγκαθεζόμενοι ἐδῄουν τὴν γῆν· καὶ προσβολαί, ὥσπερ 1.2
and having-encamped they-ravaged the land and attacks as
εἰώθεσαν, ἐγίγνοντο τῶν Ἀθηναίων ἱππέων ὅπῃ παρείκοι,
they-were-wont took-place of-the Athenian cavalry where it-was-possible
καὶ τὸν πλεῖστον ὅμιλον τῶν ψιλῶν εἶργον τὸ μὴ
and the greatest crowd of-the light-troops they-kept-off the not
προεξιόντας τῶν ὅπλων τὰ ἐγγὺς τῆς πόλεως κακουργεῖν.
going-out-beyond the arms the-places near the city to-damage
ἐμμείναντες δὲ χρόνον οὗ εἶχον τὰ σιτία ἀνεχώρησαν 1.3
having-remained and time as-long-as they-had the provisions they-withdrew
καὶ διελύθησαν κατὰ πόλεις.
and dispersed by cities

2.1 μετὰ δὲ τὴν ἐσβολὴν τῶν Πελοποννησίων εὐθὺς Λέσβος
after and the invasion of-the Peloponnesians at-once Lesbos
πλὴν Μηθύμνης ἀπέστη ἀπ᾽ Ἀθηναίων, βουληθέντες
except Methymna revolted from Athenians having-wished
μὲν καὶ πρὸ τοῦ πολέμου, ἀλλ᾽ οἱ Λακεδαιμόνιοι οὐ
indeed also before the war but the Lacedaemonians not
προσεδέξαντο, ἀναγκασθέντες δὲ καὶ ταύτην τὴν ἀπόστασιν
accepted-them having-been-compelled and also this the revolt
πρότερον ἢ διενοοῦντο ποιήσασθαι.
earlier than they-intended to-make

2.2 τῶν τε γὰρ λιμένων τὴν χῶσιν καὶ τειχῶν οἰκοδόμησιν
of-the both for harbors the damming and of-walls building
καὶ νεῶν ποίησιν ἐπέμενον τελεσθῆναι, καὶ ὅσα ἐκ
and of-ships making they-waited-for to-be-completed and as-much-as from
τοῦ Πόντου ἔδει ἀφικέσθαι, τοξότας τε καὶ σῖτον, καὶ
— Pontus had to-arrive archers both and grain and
ἃ μεταπεμπόμενοι ἦσαν.
what sending-for they-were

2.3 Τενέδιοι γὰρ ὄντες αὐτοῖς διάφοροι καὶ Μηθυμναῖοι
Tenedians for being with-them at-variance and Methymnaeans
καὶ αὐτῶν Μυτιληναίων ἰδίᾳ ἄνδρες κατὰ στάσιν,
and themselves of-Mytilenaeans privately men by faction
πρόξενοι Ἀθηναίων, μηνυταὶ γίγνονται τοῖς Ἀθηναίοις ὅτι
proxenoi of-Athenians informers become to-the Athenians that
ξυνοικίζουσί τε τὴν Λέσβον ἐς τὴν Μυτιλήνην βίᾳ καὶ
they-are-unifying both — Lesbos into — Mytilene by-force and
τὴν παρασκευὴν ἅπασαν μετὰ Λακεδαιμονίων καὶ Βοιωτῶν
the preparation all with Lacedaemonians and Boeotians
ξυγγενῶν ὄντων ἐπὶ ἀποστάσει ἐπείγονται· καὶ εἰ μή
kinsmen being for revolt they-are-hastening and if not
τις προκαταλήψεται ἤδη, στερήσεσθαι αὐτοὺς Λέσβου.
anyone will-forestall already to-be-deprived them of-Lesbos

οἱ δ' Ἀθηναῖοι (ἦσαν γὰρ τεταλαιπωρημένοι ὑπό τε τῆς 3.1
the and Athenians they-were for distressed by both the
νόσου καὶ τοῦ πολέμου ἄρτι καθισταμένου καὶ ἀκμάζοντος)
disease and the war just being-established and at-its-height
μέγα μὲν ἔργον ἡγοῦντο εἶναι Λέσβον προσπολεμώσασθαι
great indeed task they-thought to-be Lesbos to-make-war-on-besides
ναυτικὸν ἔχουσαν καὶ δύναμιν ἀκέραιον, καὶ οὐκ ἀπεδέχοντο
navy having and power intact and not they-accepted
τὸ πρῶτον τὰς κατηγορίας, μεῖζον μέρος νέμοντες τῷ μὴ
the first-time the accusations greater share allotting to-the not
βούλεσθαι ἀληθῆ εἶναι· ἐπειδὴ μέντοι καὶ πέμψαντες πρέσβεις
to-wish true to-be when however also having-sent envoys
οὐκ ἔπειθον τοὺς Μυτιληναίους τήν τε ξυνοίκισιν καὶ τὴν
not they-persuaded the Mytilenaeans the both unification and the
παρασκευὴν διαλύειν, δείσαντες προκαταλαβεῖν ἐβούλοντο.
preparation to-break-up having-feared to-forestall they-wished
καὶ πέμπουσιν ἐξαπιναίως τεσσαράκοντα ναῦς αἳ ἔτυχον 3.2
and they-send suddenly forty ships which happened
περὶ Πελοπόννησον παρεσκευασμέναι πλεῖν· Κλεϊππίδης δὲ
round Peloponnese prepared to-sail Cleippides and
ὁ Δεινίου τρίτος αὐτὸς ἐστρατήγει.
the son-of-Deinias third himself was-general
ἐσηγγέλθη γὰρ αὐτοῖς ὡς εἴη Ἀπόλλωνος Μαλόεντος ἔξω 3.3
it-was-reported for to-them that there-was of-Apollo Maloeis outside
τῆς πόλεως ἑορτή, ἐν ᾗ πανδημεὶ Μυτιληναῖοι ἑορτάζουσι,
the city festival in which in-full-force Mytilenaeans celebrate
καὶ ἐλπίδα εἶναι ἐπειχθέντας ἐπιπεσεῖν ἄφνω, καὶ ἢν μὲν
and hope to-be having-hastened to-fall-on suddenly and if indeed
ξυμβῇ ἡ πεῖρα· εἰ δὲ μή, Μυτιληναίοις εἰπεῖν ναῦς τε
succeeds the attempt if but not to-Mytilenaeans to-say ships both
παραδοῦναι καὶ τείχη καθελεῖν, μὴ πειθομένων δὲ πολεμεῖν.
to-hand-over and walls to-pull-down not obeying and to-make-war

3.4 καὶ αἱ μὲν νῆες ᾤχοντο· τὰς δὲ τῶν Μυτιληναίων
and the indeed ships departed the and of-the Mytilenaeans
δέκα τριήρεις, αἳ ἔτυχον βοηθοὶ παρὰ σφᾶς κατὰ
ten triremes which happened as-auxiliaries with them by
τὸ ξυμμαχικὸν παροῦσαι, κατέσχον οἱ Ἀθηναῖοι καὶ τοὺς
the alliance being-present seized the Athenians and the
ἄνδρας ἐξ αὐτῶν ἐς φυλακὴν ἐποιήσαντο.
men from them into custody put

3.5 τοῖς δὲ Μυτιληναίοις ἀνὴρ ἐκ τῶν Ἀθηνῶν διαβὰς
to-the and Mytilenaeans man from — Athens having-crossed
ἐς Εὔβοιαν καὶ πεζῇ ἐπὶ Γεραιστὸν ἐλθών, ὁλκάδος
to Euboea and on-foot to Geraestus having-come merchant-ship
ἀναγομένης ἐπιτυχών, πλῷ χρησάμενος καὶ τριταῖος
putting-out having-found voyage having-used and on-the-third-day
ἐκ τῶν Ἀθηνῶν ἐς Μυτιλήνην ἀφικόμενος ἀγγέλλει τὸν
from — Athens at Mytilene having-arrived reports the
ἐπίπλουν.
expedition

3.6 οἱ δὲ οὔτε ἐς τὸν Μαλόεντα ἐξῆλθον, τά τε ἄλλα
they and neither to — Maloeis went-out the both other-parts
τῶν τειχῶν καὶ λιμένων περὶ τὰ ἡμιτέλεστα φαρξάμενοι
of-the walls and harbors about the half-finished having-fenced
ἐφύλασσον.
they-guarded

4.1 καὶ οἱ Ἀθηναῖοι οὐ πολλῷ ὕστερον καταπλεύσαντες ὡς
and the Athenians not much later having-sailed-in when
ἑώρων, ἀπήγγειλαν μὲν οἱ στρατηγοὶ τὰ ἐπεσταλμένα, οὐκ
they-saw announced indeed the generals the orders not
ἐσακουόντων δὲ τῶν Μυτιληναίων ἐς πόλεμον καθίσταντο.
listening but the Mytilenaeans to war set

ἀπαράσκευοι δὲ οἱ Μυτιληναῖοι καὶ ἐξαίφνης ἀναγκασθέντες 4.2
unprepared and the Mytilenaeans and suddenly compelled
πολεμεῖν ἔκπλουν μέν τινα ἐποιήσαντο τῶν νεῶν ὡς ἐπὶ
to-make-war sailing-out indeed some made of-the ships as for
ναυμαχίαν ὀλίγον πρὸ τοῦ λιμένος, ἔπειτα καταδιωχθέντες
sea-battle a-little before the harbor then having-been-chased-back
ὑπὸ τῶν Ἀττικῶν νεῶν λόγους ἤδη προσέφερον τοῖς
by the Attic ships proposals now brought to-the
στρατηγοῖς, βουλόμενοι τὰς ναῦς τὸ παραυτίκα, εἰ
generals wishing the ships for-the moment if
δύναιντο, ὁμολογίᾳ τινὶ ἐπιεικεῖ ἀποπέμψασθαι.
they-could by-agreement some reasonable to-send-away
καὶ οἱ στρατηγοὶ τῶν Ἀθηναίων ἀπεδέξαντο καὶ αὐτοὶ 4.3
and the generals of-the Athenians accepted also themselves
φοβούμενοι μὴ οὐχ ἱκανοὶ ὦσι Λέσβῳ πάσῃ πολεμεῖν.
fearing lest not sufficient they-be with-Lesbos all to-make-war
καὶ ἀνοκωχὴν ποιησάμενοι πέμπουσιν ἐς τὰς Ἀθήνας οἱ 4.4
and armistice having-made send to — Athens the
Μυτιληναῖοι τῶν τε διαβαλλόντων ἕνα, ᾧ μετέμελεν
Mytilenaeans of-the both accusers one who repented
ἤδη, καὶ ἄλλους, εἴ πως πείσειαν τὰς ναῦς ἀπελθεῖν
already and others if somehow they-might-persuade the ships to-go-away
ὡς σφῶν οὐδὲν νεωτεριούντων.
as they nothing intending-to-revolt
ἐν τούτῳ δὲ ἀποστέλλουσι καὶ ἐς τὴν Λακεδαίμονα πρέσβεις 4.5
in this and they-send also to — Lacedaemon envoys
τριήρει, λαθόντες τὸ τῶν Ἀθηναίων ναυτικόν, οἳ
by-trireme having-escaped-notice-of the of-the Athenians fleet which
ὥρμουν ἐν τῇ Μαλέᾳ πρὸς βορέαν τῆς πόλεως· οὐ γὰρ
lay-at-anchor at — Malea toward north of-the city not for
ἐπίστευον τοῖς ἀπὸ τῶν Ἀθηναίων προχωρήσειν.
they-trusted the-dealings from the Athenians to-succeed

4.6 καὶ οἱ μὲν ἐς τὴν Λακεδαίμονα ταλαιπώρως διὰ τοῦ
and they indeed to — Lacedaemon with-hardship through the
πελάγους κομισθέντες αὐτοῖς ἔπρασσον ὅπως τις βοήθεια
open-sea having-been-conveyed for-them negotiated so-that some help
ἥξει·
should-come

5.1 οἱ δ' ἐκ τῶν Ἀθηνῶν πρέσβεις ὡς οὐδὲν ἦλθον πράξαντες,
the and from — Athens envoys when nothing they-came having-accomplished
ἐς πόλεμον καθίσταντο οἱ Μυτιληναῖοι καὶ ἡ ἄλλη Λέσβος
to war set the Mytilenaeans and the other Lesbos
πλὴν Μηθύμνης· οὗτοι δὲ τοῖς Ἀθηναίοις ἐβεβοηθήκεσαν, καὶ
except Methymna these and to-the Athenians had-come-to-help and
Ἴμβριοι καὶ Λήμνιοι καὶ τῶν ἄλλων ὀλίγοι τινὲς ξυμμάχων.
Imbrians and Lemnians and of-the other few some allies

5.2 καὶ ἔξοδον μέν τινα πανδημεὶ ἐποιήσαντο οἱ Μυτιληναῖοι
and sally indeed some in-full-force made the Mytilenaeans
ἐπὶ τὸ τῶν Ἀθηναίων στρατόπεδον, καὶ μάχη ἐγένετο, ἐν
against the of-the Athenians camp and battle took-place in
ᾗ οὐκ ἔλασσον ἔχοντες οἱ Μυτιληναῖοι οὔτε ἐπηυλίσαντο
which not worse having the Mytilenaeans neither bivouacked
οὔτε ἐπίστευσαν σφίσιν αὐτοῖς, ἀλλ' ἀνεχώρησαν· ἔπειτα οἱ
nor trusted in-themselves but withdrew then they
μὲν ἡσύχαζον, ἐκ Πελοποννήσου καὶ μετ' ἄλλης παρασκευῆς
indeed kept-quiet from Peloponnese and with other preparation
βουλόμενοι εἰ προσγένοιτό τι κινδυνεύειν· καὶ γὰρ
wishing if should-be-added something to-run-risks and for
αὐτοῖς Μελέας Λάκων ἀφικνεῖται καὶ Ἑρμαιώνδας Θηβαῖος,
to-them Meleas Laconian arrives and Hermaeondas Theban
οἳ προαπεστάλησαν μὲν τῆς ἀποστάσεως, φθάσαι δὲ οὐ
who had-been-sent-before indeed the revolt to-anticipate but not
δυνάμενοι τὸν τῶν Ἀθηναίων ἐπίπλουν κρύφα μετὰ τὴν
being-able the of-the Athenians expedition secretly after the

μάχην ὕστερον ἐσπλέουσι τριήρει, καὶ παρήνουν πέμπειν
battle later sail-in by-trireme and urged to-send
τριήρη ἄλλην καὶ πρέσβεις μεθ᾽ ἑαυτῶν· καὶ ἐκπέμπουσιν.
trireme another and envoys with themselves and they-send-out
οἱ δὲ Ἀθηναῖοι πολὺ ἐπιρρωσθέντες διὰ τὴν τῶν 6.1
the and Athenians much encouraged by the of-the
Μυτιληναίων ἡσυχίαν ξυμμάχους τε προσεκάλουν, οἳ
Mytilenaeans inaction allies both summoned who
πολὺ θᾶσσον παρῆσαν ὁρῶντες οὐδὲν ἰσχυρὸν ἀπὸ τῶν
much more-quickly were-present seeing nothing strong from the
Λεσβίων, καὶ περιορμισάμενοι τὸ πρὸς νότον τῆς πόλεως
Lesbians and having-anchored-round the toward south of-the city
ἐτείχισαν στρατόπεδα δύο ἑκατέρωθεν τῆς πόλεως, καὶ
fortified camps two on-each-side of-the city and
τοὺς ἐφόρμους ἐπ᾽ ἀμφοτέροις τοῖς λιμέσιν ἐποιοῦντο.
the blockades at both the harbors made
καὶ τῆς μὲν θαλάσσης εἶργον μὴ χρῆσθαι τοὺς 6.2
and from-the indeed sea they-kept-off not to-use the
Μυτιληναίους, τῆς δὲ γῆς τῆς μὲν ἄλλης ἐκράτουν οἱ
Mytilenaeans of-the but land the indeed other were-masters the
Μυτιληναῖοι καὶ οἱ ἄλλοι Λέσβιοι προσβεβοηθηκότες ἤδη,
Mytilenaeans and the other Lesbians having-come-to-help already
τὸ δὲ περὶ τὰ στρατόπεδα οὐ πολὺ κατεῖχον οἱ Ἀθηναῖοι,
the but about the camps not much held the Athenians
ναύσταθμον δὲ μᾶλλον ἦν αὐτοῖς πλοίων καὶ ἀγορὰ ἡ
naval-station but rather was for-them for-boats and market —
Μαλέα. καὶ τὰ μὲν περὶ Μυτιλήνην οὕτως ἐπολεμεῖτο.
Malea and the indeed about Mytilene thus was-warred

Athens sends thirty ships round the Peloponnese under Asopius, son of Phormio, who ravages the coast of Laconia, sends most of the ships home, and with twelve joins the Acarnanians against Oeniadae. When it does not come over, he lands at Leucas and is killed. The Mytilenaean envoys, told by the Spartans to come to Olympia so that the allies may hear them, arrive at the festival where Dorieus of Rhodes wins a second time, and when it is over they speak.

7.1 κατὰ δὲ τὸν αὐτὸν χρόνον τοῦ θέρους τούτου Ἀθηναῖοι καὶ
about and the same time in-the summer this Athenians also
περὶ Πελοπόννησον ναῦς ἀπέστειλαν τριάκοντα καὶ Ἀσώπιον
round Peloponnese ships sent thirty and Asopius
τὸν Φορμίωνος στρατηγόν, κελευσάντων Ἀκαρνάνων τῶν
the son-of-Phormio as-general having-bidden Acarnanians of-those
Φορμίωνός τινα σφίσι πέμψαι ἢ υἱὸν ἢ ξυγγενῆ ἄρχοντα.
of-Phormio some to-them to-send either son or kinsman as-commander
7.2 καὶ παραπλέουσαι αἱ νῆες τῆς Λακωνικῆς τὰ ἐπιθαλάσσια
and sailing-along the ships — of-Laconia the coastal
χωρία ἐπόρθησαν.
places ravaged
7.3 ἔπειτα τὰς μὲν πλείους ἀποπέμπει τῶν νεῶν πάλιν ἐπ'
then the indeed more sends-away of-the ships back toward
οἴκου ὁ Ἀσώπιος, αὐτὸς δ' ἔχων δώδεκα ἀφικνεῖται ἐς
home — Asopius himself and having twelve arrives at
Ναύπακτον, καὶ ὕστερον Ἀκαρνᾶνας ἀναστήσας πανδημεὶ
Naupactus and later Acarnanians having-raised in-full-force
στρατεύει ἐπ' Οἰνιάδας, καὶ ταῖς τε ναυσὶ κατὰ τὸν
marches against Oeniadae and with-the both ships by —
Ἀχελῷον ἔπλευσε καὶ ὁ κατὰ γῆν στρατὸς ἐδῄου τὴν χώραν.
Achelous sailed and the by land army ravaged the country

ὡς δ᾽ οὐ προσεχώρουν, τὸν μὲν πεζὸν ἀφίησιν, αὐτὸς 7.4
when and not they-came-over the indeed infantry he-dismisses himself
δὲ πλεύσας ἐς Λευκάδα καὶ ἀπόβασιν ἐς Νήρικον
and having-sailed to Leucas and landing at Nericus
ποιησάμενος ἀναχωρῶν διαφθείρεται αὐτός τε καὶ τῆς
having-made withdrawing is-killed himself both and of-the
στρατιᾶς τι μέρος ὑπὸ τῶν αὐτόθεν τε ξυμβοηθησάντων
army some part by those from-there both having-come-to-help
καὶ φρουρῶν τινῶν ὀλίγων.
and garrison-troops some few
καὶ ὕστερον ὑποσπόνδους τοὺς νεκροὺς ἀποπλεύσαντες οἱ 7.5
and later under-truce the dead having-sailed-away the
Ἀθηναῖοι παρὰ τῶν Λευκαδίων ἐκομίσαντο.
Athenians from the Leucadians recovered
οἱ δὲ ἐπὶ τῆς πρώτης νεὼς ἐκπεμφθέντες Μυτιληναίων 8.1
the and on the first ship sent-out of-Mytilenaeans
πρέσβεις, ὡς αὐτοῖς οἱ Λακεδαιμόνιοι εἶπον Ὀλυμπίαζε
envoys as to-them the Lacedaemonians said to-Olympia
παρεῖναι, ὅπως καὶ οἱ ἄλλοι ξύμμαχοι ἀκούσαντες
to-be-present so-that also the other allies having-heard
βουλεύσωνται, ἀφικνοῦνται ἐς τὴν Ὀλυμπίαν· ἦν δὲ
might-deliberate arrive at — Olympia was and
Ὀλυμπιὰς ᾗ Δωριεὺς Ῥόδιος τὸ δεύτερον ἐνίκα.
Olympiad in-which Dorieus Rhodian the second-time won
καὶ ἐπειδὴ μετὰ τὴν ἑορτὴν κατέστησαν ἐς λόγους, εἶπον 8.2
and when after the festival they-came to speeches they-said
τοιάδε.
as-follows

III · THE MYTILENAEANS AT OLYMPIA

The Mytilenaeans defend their revolt. Rebels are welcomed but despised unless they had good cause, and they had: they allied with Athens to free Greece from the Mede, not to enslave it, and watched Athens subdue one ally after another while they kept a freedom that depended on fear, not friendship. Their revolt came early and unprepared, so help must come quickly: Athens is worn by plague and expense, and its revenue comes from allies like them. They ask the Spartans, as suppliants in Zeus' temple, not to abandon them.

9.1 Τὸ μὲν καθεστὸς τοῖς Ἕλλησι νόμιμον, ὦ Λακεδαιμόνιοι
the indeed established among-the Greeks custom O Lacedaemonians
καὶ ξύμμαχοι, ἴσμεν· τοὺς γὰρ ἀφισταμένους ἐν τοῖς πολέμοις
and allies we-know those for revolting in the wars
καὶ ξυμμαχίαν τὴν πρὶν ἀπολείποντας οἱ δεξάμενοι,
and alliance the former abandoning those having-received-them
καθ' ὅσον μὲν ὠφελοῦνται, ἐν ἡδονῇ ἔχουσι, νομίζοντες
according-to as-much-as indeed they-are-benefited in pleasure hold considering
δὲ εἶναι προδότας τῶν πρὸ τοῦ φίλων χείρους ἡγοῦνται.
but to-be traitors of-the before the friends worse they-think-them
9.2 καὶ οὐκ ἄδικος αὕτη ἡ ἀξίωσίς ἐστιν, εἰ τύχοιεν πρὸς
and not unjust this the claim is if should-happen toward
ἀλλήλους οἵ τε ἀφιστάμενοι καὶ ἀφ' ὧν διακρίνοιντο
one-another those both revolting and from whom they-are-separating
ἴσοι μὲν τῇ γνώμῃ ὄντες καὶ εὐνοίᾳ, ἀντίπαλοι δὲ τῇ
equal indeed in-the judgment being and in-goodwill matched but in-the
παρασκευῇ καὶ δυνάμει, πρόφασίς τε ἐπιεικὴς μηδεμία
preparation and power pretext and reasonable none
ὑπάρχοι τῆς ἀποστάσεως· ὃ ἡμῖν καὶ Ἀθηναίοις οὐκ ἦν.
should-exist of-the revolt which for-us and Athenians not was

μηδέ τῳ χείρους δόξωμεν εἶναι εἰ ἐν τῇ εἰρήνῃ 9.3
nor to-anyone worse may-we-seem to-be if in the peace
τιμώμενοι ὑπ᾽ αὐτῶν ἐν τοῖς δεινοῖς ἀφιστάμεθα.
being-honored by them in the dangers we-revolt
ἘΠερὶ γὰρ τοῦ δικαίου καὶ ἀρετῆς πρῶτον ἄλλως τε καὶ 10.1
about for the just and virtue first otherwise both and
ξυμμαχίας δεόμενοι τοὺς λόγους ποιησόμεθα, εἰδότες οὔτε
alliance needing the speeches we-will-make knowing neither
φιλίαν ἰδιώταις βέβαιον γιγνομένην οὔτε κοινωνίαν πόλεσιν
friendship for-private-men firm becoming nor community for-cities
ἐς οὐδέν, εἰ μὴ μετ᾽ ἀρετῆς δοκούσης ἐς ἀλλήλους γίγνοιντο
into nothing if not with virtue seeming toward one-another they-should-be
καὶ τἆλλα ὁμοιότροποι εἶεν· ἐν γὰρ τῷ διαλλάσσοντι
and in-the-rest of-like-character they-should-be in for the difference
τῆς γνώμης καὶ αἱ διαφοραὶ τῶν ἔργων καθίστανται.
of-the judgment also the divergences of-the deeds arise
ἡμῖν δὲ καὶ Ἀθηναίοις ξυμμαχία ἐγένετο πρῶτον 10.2
for-us and and Athenians alliance arose first
ἀπολιπόντων μὲν ὑμῶν ἐκ τοῦ Μηδικοῦ πολέμου,
having-withdrawn indeed you from the Median war
παραμεινάντων δὲ ἐκείνων πρὸς τὰ ὑπόλοιπα τῶν ἔργων.
having-remained but those for the remaining of-the tasks
ξύμμαχοι μέντοι ἐγενόμεθα οὐκ ἐπὶ καταδουλώσει τῶν 10.3
allies however we-became not for enslavement of-the
Ἑλλήνων Ἀθηναίοις, ἀλλ᾽ ἐπ᾽ ἐλευθερώσει ἀπὸ τοῦ Μήδου
Greeks to-Athenians but for liberation from the Mede
τοῖς Ἕλλησιν.
for-the Greeks
καὶ μέχρι μὲν ἀπὸ τοῦ ἴσου ἡγοῦντο, προθύμως εἱπόμεθα· 10.4
and as-long-as indeed on the equal they-led eagerly we-followed
ἐπειδὴ δὲ ἑωρῶμεν αὐτοὺς τὴν μὲν τοῦ Μήδου ἔχθραν
when but we-saw them the indeed of-the Mede enmity

ἀνιέντας, τὴν δὲ τῶν ξυμμάχων δούλωσιν ἐπαγομένους,
relaxing the but of-the allies enslavement bringing-on
οὐκ ἀδεεῖς ἔτι ἦμεν.
not unafraid any-longer we-were
10.5 ἀδύνατοι δὲ ὄντες καθ' ἓν γενόμενοι διὰ πολυψηφίαν
unable and being into one having-united because-of multitude-of-votes
ἀμύνασθαι οἱ ξύμμαχοι ἐδουλώθησαν πλὴν ἡμῶν καὶ
to-defend-themselves the allies were-enslaved except us and
Χίων· ἡμεῖς δὲ αὐτόνομοι δὴ ὄντες καὶ ἐλεύθεροι τῷ
Chians we and independent indeed being and free in-the
ὀνόματι ξυνεστρατεύσαμεν.
name campaigned-with-them
10.6 καὶ πιστοὺς οὐκέτι εἴχομεν ἡγεμόνας Ἀθηναίους,
and trustworthy no-longer we-had leaders Athenians
παραδείγμασι τοῖς προγιγνομένοις χρώμενοι· οὐ γὰρ
examples the preceding using not for
εἰκὸς ἦν αὐτοὺς οὓς μὲν μεθ' ἡμῶν ἐνσπόνδους
likely was them those-whom indeed with us treaty-partners
ἐποιήσαντο καταστρέψασθαι, τοὺς δὲ ὑπολοίπους, εἴ ποτε
they-made to-subdue those but remaining if ever
ἄρα ἐδυνήθησαν, μὴ δρᾶσαι τοῦτο.
indeed they-were-able not to-do this
11.1 καὶ εἰ μὲν αὐτόνομοι ἔτι ἦμεν ἅπαντες, βεβαιότεροι ἂν
and if indeed independent still we-were all more-to-be-trusted —
ἡμῖν ἦσαν μηδὲν νεωτεριεῖν· ὑποχειρίους δὲ ἔχοντες τοὺς
to-us they-would-be nothing to-innovate subject but having the
πλείους, ἡμῖν δὲ ἀπὸ τοῦ ἴσου ὁμιλοῦντες, χαλεπώτερον
most with-us and on the equal associating more-hardly
εἰκότως ἔμελλον οἴσειν καὶ πρὸς τὸ πλέον ἤδη εἶκον τοῦ
naturally they-were-going to-bear and in-view-of the more already yielding of-the

ἡμετέρου ἔτι μόνου ἀντισουμένου, ἄλλως τε καὶ ὅσῳ
ours still alone being-matched otherwise both and by-as-much-as
δυνατώτεροι αὐτοὶ αὑτῶν ἐγίγνοντο καὶ ἡμεῖς ἐρημότεροι.
more-powerful themselves than-themselves they-became and we more-isolated
τὸ δὲ ἀντίπαλον δέος μόνον πιστὸν ἐς ξυμμαχίαν· ὁ 11.2
the and matched fear alone trustworthy for alliance the-one
γὰρ παραβαίνειν τι βουλόμενος τῷ μὴ προύχων ἂν
for to-transgress anything wishing by-the not excelling —
ἐπελθεῖν ἀποτρέπεται.
to-attack is-turned-away
αὐτόνομοί τε ἐλείφθημεν οὐ δι᾽ ἄλλο τι ἢ ὅσον 11.3
independent both we-were-left not because-of other anything than as-far-as
αὐτοῖς ἐς τὴν ἀρχὴν εὐπρεπείᾳ τε λόγου καὶ γνώμης μᾶλλον
to-them for the empire with-seemliness both of-speech and of-policy rather
ἐφόδῳ ἢ ἰσχύος τὰ πράγματα ἐφαίνετο καταληπτά.
by-approach than of-strength the affairs appeared to-be-seized
ἅμα μὲν γὰρ μαρτυρίῳ ἐχρῶντο μὴ ἂν τούς γε 11.4
at-the-same-time indeed for as-evidence they-used not — those at-least
ἰσοψήφους ἄκοντας, εἰ μή τι ἠδίκουν οἷς
equal-in-vote unwilling if not in-any-way they-did-wrong against-whom
ἐπῇσαν, ξυστρατεύειν· ἐν τῷ αὐτῷ δὲ καὶ τὰ κράτιστα
they-went to-campaign-with in the same and also the strongest
ἐπί τε τοὺς ὑποδεεστέρους πρώτους ξυνεπῆγον καὶ τὰ
against both the weaker first they-led-with-them and the
τελευταῖα λιπόντες τοῦ ἄλλου περιῃρημένου ἀσθενέστερα
last leaving of-the rest having-been-stripped-away weaker
ἔμελλον ἕξειν.
were-going to-have

11.5 εἰ δὲ ἀφ᾽ ἡμῶν ἤρξαντο, ἐχόντων ἔτι τῶν πάντων αὐτῶν
if but from us they-had-begun having still the all themselves
τε ἰσχὺν καὶ πρὸς ὅτι χρὴ στῆναι, οὐκ ἂν ὁμοίως
both strength and toward what one-must to-stand not — alike
ἐχειρώσαντο.
they-would-have-subdued

11.6 τό τε ναυτικὸν ἡμῶν παρεῖχέ τινα φόβον μή ποτε καθ᾽
the both navy our afforded some fear lest ever into
ἓν γενόμενον ἢ ὑμῖν ἢ ἄλλῳ τῳ προσθέμενον κίνδυνον
one having-united either to-you or to-another any having-joined danger
σφίσι παράσχῃ.
to-them it-might-cause

11.7 τὰ δὲ καὶ ἀπὸ θεραπείας τοῦ τε κοινοῦ αὐτῶν καὶ
in-part and also from courting of-the both commonalty their and
τῶν αἰεὶ προεστώτων περιεγιγνόμεθα.
of-the always presiding we-survived

11.8 οὐ μέντοι ἐπὶ πολύ γ᾽ ἂν ἐδοκοῦμεν δυνηθῆναι, εἰ
not however for long at-least — we-would-have-seemed to-be-able if
μὴ ὁ πόλεμος ὅδε κατέστη, παραδείγμασι χρώμενοι τοῖς
not the war this had-broken-out examples using the
ἐς τοὺς ἄλλους.
toward the others

12.1 τίς οὖν αὕτη ἢ φιλία ἐγίγνετο ἢ ἐλευθερία πιστή,
what then this either friendship became or freedom trustworthy
ἐν ᾗ παρὰ γνώμην ἀλλήλους ὑπεδεχόμεθα, καὶ οἱ μὲν
in which against inclination one-another we-received and they indeed
ἡμᾶς ἐν τῷ πολέμῳ δεδιότες ἐθεράπευον, ἡμεῖς δὲ ἐκείνους
us in the war fearing courted we and them
ἐν τῇ ἡσυχίᾳ τὸ αὐτὸ ἐποιοῦμεν· ὅ τε τοῖς ἄλλοις
in the quiet the same did what both for-the others
μάλιστα εὔνοια πίστιν βεβαιοῖ, ἡμῖν τοῦτο ὁ φόβος ἐχυρὸν
most goodwill trust confirms for-us this the fear secure

παρεῖχε, δέει τε τὸ πλέον ἢ φιλίᾳ κατεχόμενοι
provided by-fear both the more than by-friendship held-together
ξύμμαχοι ἦμεν· καὶ ὁποτέροις θᾶσσον παράσχοι ἀσφάλεια
allies we-were and to-whichever sooner should-give safety
θάρσος, οὗτοι πρότεροί τι καὶ παραβήσεσθαι ἔμελλον.
courage these first something also to-transgress were-going
ὥστε εἴ τῳ δοκοῦμεν ἀδικεῖν προαποστάντες διὰ 12.2
so-that if to-anyone we-seem to-do-wrong having-revolted-first because-of
τὴν ἐκείνων μέλλησιν τῶν ἐς ἡμᾶς δεινῶν, αὐτοὶ οὐκ
the their delay of-the toward us terrors ourselves not
ἀνταναμείναντες σαφῶς εἰδέναι εἴ τι αὐτῶν ἔσται, οὐκ
having-waited-in-turn clearly to-know if any of-them will-be not
ὀρθῶς σκοπεῖ.
rightly he-considers
εἰ γὰρ δυνατοὶ ἦμεν ἐκ τοῦ ἴσου καὶ ἀντεπιβουλεῦσαι 12.3
if for able we-were on the equal also to-plot-in-return
καὶ ἀντιμελλῆσαι, τί ἔδει ἡμᾶς ἐκ τοῦ ὁμοίου ἐπ'
and to-delay-in-return why was-it-necessary us on the equal in
ἐκείνοις εἶναι; ἐπ' ἐκείνοις δὲ ὄντος αἰεὶ τοῦ ἐπιχειρεῖν
their-power to-be in their-power and being always the to-attack
καὶ ἐφ' ἡμῖν εἶναι δεῖ τὸ προαμύνασθαι.
also in our-power to-be it-is-necessary the to-defend-in-advance
Τοιαύτας ἔχοντες προφάσεις καὶ αἰτίας, ὦ Λακεδαιμόνιοι 13.1
such having pretexts and grievances O Lacedaemonians
καὶ ξύμμαχοι, ἀπέστημεν, σαφεῖς μὲν τοῖς ἀκούουσι
and allies we-revolted clear indeed to-those hearing
γνῶναι ὡς εἰκότως ἐδράσαμεν, ἱκανὰς δὲ ἡμᾶς ἐκφοβῆσαι
to-know that reasonably we-acted sufficient but us to-frighten
καὶ πρὸς ἀσφάλειάν τινα τρέψαι, βουλομένους μὲν καὶ
and toward safety some to-turn wishing indeed also
πάλαι, ὅτε ἔτι ἐν τῇ εἰρήνῃ ἐπέμψαμεν ὡς ὑμᾶς περὶ
long-ago when still in the peace we-sent to you about

ἀποστάσεως, ὑμῶν δὲ οὐ προσδεξαμένων κωλυθέντας· νῦν
revolt you but not having-accepted prevented now
δὲ ἐπειδὴ Βοιωτοὶ προυκαλέσαντο εὐθὺς ὑπηκούσαμεν, καὶ
but since Boeotians invited at-once we-obeyed and
ἐνομίζομεν ἀποστήσεσθαι διπλῆν ἀπόστασιν, ἀπό τε τῶν
we-thought to-revolt double revolt from both the
Ἑλλήνων μὴ ξὺν κακῶς ποιεῖν αὐτοὺς μετ' Ἀθηναίων ἀλλὰ
Greeks not with badly to-treat them with Athenians but
ξυνελευθεροῦν, ἀπό τε Ἀθηναίων μὴ αὐτοὶ διαφθαρῆναι
to-help-free from and Athenians not ourselves to-be-destroyed
ὑπ' ἐκείνων ἐν ὑστέρῳ ἀλλὰ προποιῆσαι.
by them in later but to-act-first

13.2 ἡ μέντοι ἀπόστασις ἡμῶν θᾶσσον γεγένηται καὶ
the however revolt our more-quickly has-happened and
ἀπαράσκευος· ᾗ καὶ μᾶλλον χρὴ ξυμμάχους
unprepared for-which-reason also more it-is-necessary allies
δεξαμένους ἡμᾶς διὰ ταχέων βοήθειαν ἀποστέλλειν, ἵνα
having-received us through speed help to-send so-that
φαίνησθε ἀμύνοντές τε οἷς δεῖ καὶ ἐν τῷ αὐτῷ
you-may-appear defending both whom it-is-right and in the same
τοὺς πολεμίους βλάπτοντες.
the enemies harming

13.3 καιρὸς δὲ ὡς οὔπω πρότερον. νόσῳ τε γὰρ ἐφθάραται
opportunity and as not-yet before by-disease both for have-been-ruined
Ἀθηναῖοι καὶ χρημάτων δαπάνῃ, νῆές τε αὐτοῖς αἱ μὲν
Athenians and of-money by-expenditure ships both to-them the-ones indeed
περὶ τὴν ὑμετέραν εἰσίν, αἱ δ' ἐφ' ἡμῖν τετάχαται.
round the your-land are the-others and against us have-been-posted

13.4 ὥστε οὐκ εἰκὸς αὐτοὺς περιουσίαν νεῶν ἔχειν, ἢν ὑμεῖς
so-that not likely them surplus of-ships to-have if you
ἐν τῷ θέρει τῷδε ναυσί τε καὶ πεζῷ ἅμα
in the summer this with-ships both and land-force at-the-same-time

ἐπεσβάλητε τὸ δεύτερον, ἀλλ᾽ ἢ ὑμᾶς οὐκ ἀμυνοῦνται
invade the second-time but either you not they-will-repel
ἐπιπλέοντας ἢ ἀπ᾽ ἀμφοτέρων ἀποχωρήσονται.
sailing-against or from both-places will-withdraw
νομίσῃ τε μηδεὶς ἀλλοτρίας γῆς πέρι οἰκεῖον κίνδυνον ἔξειν. 13.5
let-think and no-one of-foreign land about own danger to-have
ᾧ γὰρ δοκεῖ μακρὰν ἀπεῖναι ἡ Λέσβος, τὴν ὠφελίαν
to-whom for it-seems far to-be-away — Lesbos the benefit
αὐτῷ ἐγγύθεν παρέξει. οὐ γὰρ ἐν τῇ Ἀττικῇ ἔσται ὁ πόλεμος,
to-him from-near will-provide not for in — Attica will-be the war
ὥς τις οἴεται, ἀλλὰ δι᾽ ἣν ἡ Ἀττικὴ ὠφελεῖται.
as anyone thinks but because-of which — Attica is-benefited
ἔστι δὲ τῶν χρημάτων ἀπὸ τῶν ξυμμάχων ἡ πρόσοδος, 13.6
is and of-the money from the allies the revenue
καὶ ἔτι μείζων ἔσται, εἰ ἡμᾶς καταστρέψονται· οὔτε
and still greater will-be if us they-subdue neither
γὰρ ἀποστήσεται ἄλλος τά τε ἡμέτερα προσγενήσεται,
for will-revolt another the both ours will-be-added
πάθοιμέν τ᾽ ἂν δεινότερα ἢ οἱ πρὶν δουλεύοντες.
we-would-suffer and — more-terrible-things than those before being-slaves
βοηθησάντων δὲ ὑμῶν προθύμως πόλιν τε προσλήψεσθε 13.7
having-helped and you eagerly city both you-will-gain
ναυτικὸν ἔχουσαν μέγα, οὗπερ ὑμῖν μάλιστα προσδεῖ,
navy having great of-which-very to-you most is-needed
καὶ Ἀθηναίους ῥᾷον καθαιρήσετε ὑφαιροῦντες αὐτῶν
and Athenians more-easily you-will-overthrow withdrawing from-them
τοὺς ξυμμάχους (θρασύτερον γὰρ πᾶς τις προσχωρήσεται),
the allies more-boldly for every one will-come-over
τήν τε αἰτίαν ἀποφεύξεσθε ἣν εἴχετε μὴ βοηθεῖν τοῖς
the both charge you-will-escape which you-had not to-help the

ἀφισταμένοις. ἢν δ' ἐλευθεροῦντες φαίνησθε, τὸ κράτος
revolting if and liberating you-appear the mastery
τοῦ πολέμου βεβαιότερον ἕξετε.
of-the war more-securely you-will-have

14.1 Αἰσχυνθέντες οὖν τάς τε τῶν Ἑλλήνων ἐς ὑμᾶς ἐλπίδας
respecting then the both of-the Greeks in you hopes
καὶ Δία τὸν Ὀλύμπιον, ἐν οὗ τῷ ἱερῷ ἴσα καὶ ἱκέται
and Zeus the Olympian in whose the temple like even suppliants
ἐσμέν, ἐπαμύνατε Μυτιληναίοις ξύμμαχοι γενόμενοι, καὶ
we-are help Mytilenaeans allies having-become and
μὴ προῆσθε ἡμᾶς ἴδιον μὲν τὸν κίνδυνον τῶν σωμάτων
not abandon us private indeed the danger of-the bodies
παραβαλλομένους, κοινὴν δὲ τὴν ἐκ τοῦ κατορθῶσαι
risking common but the from the to-succeed
ὠφελίαν ἅπασι δώσοντας, ἔτι δὲ κοινοτέραν τὴν βλάβην,
benefit to-all going-to-give still and more-common the harm
εἰ μὴ πεισθέντων ὑμῶν σφαλησόμεθα.
if not having-been-persuaded you we-shall-fail

14.2 γίγνεσθε δὲ ἄνδρες οἵουσπερ ὑμᾶς οἵ τε Ἕλληνες ἀξιοῦσι
become and men such-as you the both Greeks think-worthy
καὶ τὸ ἡμέτερον δέος βούλεται.'
and the our fear wishes

The Peloponnesians accept Lesbos as an ally and order the allies to the Isthmus to invade Attica by land and sea, but the allies come slowly, busy with the harvest. To show it is not exhausted, Athens mans a hundred ships with citizens and metics, sparing only the two highest classes, and lands where it likes on the Peloponnese. Sparta goes home and orders forty ships for Lesbos under Alcidas. Thucydides notes that Athens had as many fine ships at sea only at the war's start, when two hundred and fifty served in one summer, and that their pay and Potidaea drained its money. Mytilene fails at Methymna, and Paches comes to wall it in.

τοιαῦτα μὲν οἱ Μυτιληναῖοι εἶπον. οἱ δὲ Λακεδαιμόνιοι 15.1
such-things indeed the Mytilenaeans said the and Lacedaemonians
καὶ οἱ ξύμμαχοι ἐπειδὴ ἤκουσαν, προσδεξάμενοι τοὺς
and the allies when they-heard having-accepted the
λόγους ξυμμάχους τε τοὺς Λεσβίους ἐποιήσαντο, καὶ τὴν
speeches allies both the Lesbians made and the
ἐς τὴν Ἀττικὴν ἐσβολὴν τοῖς τε ξυμμάχοις παροῦσι κατὰ
into — Attica invasion to-the both allies present with
τάχος ἔφραζον ἰέναι ἐς τὸν Ἰσθμὸν τοῖς δύο μέρεσιν
speed they-told to-go to the Isthmus with-the two thirds
ὡς ποιησόμενοι, καὶ αὐτοὶ πρῶτοι ἀφίκοντο, καὶ ὁλκοὺς
as going-to-make-it and themselves first arrived and haulways
παρεσκεύαζον τῶν νεῶν ἐν τῷ Ἰσθμῷ ὡς ὑπεροίσοντες
prepared for-the ships at the Isthmus as going-to-haul-them-over
ἐκ τῆς Κορίνθου ἐς τὴν πρὸς Ἀθήνας θάλασσαν καὶ
from — Corinth to the toward Athens sea and
ναυσὶ καὶ πεζῷ ἅμα ἐπιόντες.
with-ships and land-force at-the-same-time attacking

15.2 καὶ οἱ μὲν προθύμως ταῦτα ἔπρασσον, οἱ δὲ ἄλλοι
and they indeed eagerly these did the but other
ξύμμαχοι βραδέως τε ξυνελέγοντο καὶ ἐν καρποῦ ξυγκομιδῇ
allies slowly both gathered and in of-crop gathering
ἦσαν καὶ ἀρρωστίᾳ τοῦ στρατεύειν.
were and in-weariness of-the to-campaign

16.1 αἰσθόμενοι δὲ αὐτοὺς οἱ Ἀθηναῖοι διὰ κατάγνωσιν ἀσθενείας
having-perceived and them the Athenians from contempt of-weakness
σφῶν παρασκευαζομένους, δηλῶσαι βουλόμενοι ὅτι οὐκ
of-them preparing wishing to-show that not
ὀρθῶς ἐγνώκασιν ἀλλ᾽ οἷοί τέ εἰσι μὴ κινοῦντες τὸ ἐπὶ
rightly they-have-judged but able — are not moving the at
Λέσβῳ ναυτικὸν καὶ τὸ ἀπὸ Πελοποννήσου ἐπιὸν ῥᾳδίως
Lesbos navy and the from Peloponnese coming easily
ἀμύνεσθαι, ἐπλήρωσαν ναῦς ἑκατὸν ἐσβάντες αὐτοί τε
to-repel manned ships hundred having-embarked themselves both
πλὴν ἱππέων καὶ πεντακοσιομεδίμνων καὶ οἱ μέτοικοι, καὶ
except cavalry and five-hundred-bushel-men and the metics and
παρὰ τὸν Ἰσθμὸν ἀναγαγόντες ἐπίδειξίν τε ἐποιοῦντο καὶ
along the Isthmus having-put-out display both made and
ἀποβάσεις τῆς Πελοποννήσου ᾗ δοκοίη αὐτοῖς.
landings — on-Peloponnese wherever it-seemed to-them

16.2 οἱ δὲ Λακεδαιμόνιοι ὁρῶντες πολὺν τὸν παράλογον τά
the and Lacedaemonians seeing great the miscalculation the
τε ὑπὸ τῶν Λεσβίων ῥηθέντα ἡγοῦντο οὐκ ἀληθῆ καὶ
both by the Lesbians spoken thought not true and
ἄπορα νομίζοντες, ὡς αὐτοῖς καὶ οἱ ξύμμαχοι ἅμα
impracticable considering as for-them also the allies at-the-same-time
οὐ παρῆσαν καὶ ἠγγέλλοντο καὶ αἱ περὶ τὴν Πελοπόννησον
not were-present and were-reported also the about — Peloponnese

τριάκοντα νῆες τῶν Ἀθηναίων τὴν περιοικίδα αὐτῶν
thirty ships of-the Athenians the perioecic-territory their
πορθοῦσαι, ἀνεχώρησαν ἐπ᾽ οἴκου.
ravaging they-withdrew toward home
ὕστερον δὲ ναυτικὸν παρεσκεύαζον ὅτι πέμψουσιν ἐς τὴν 16.3
later and navy they-prepared which they-would-send to —
Λέσβον, καὶ κατὰ πόλεις ἐπήγγελλον τεσσαράκοντα νεῶν
Lesbos and by cities they-ordered forty of-ships
πλῆθος καὶ ναύαρχον προσέταξαν Ἀλκίδαν, ὃς ἔμελλεν
number and as-admiral appointed Alcidas who was-going
ἐπιπλεύσεσθαι.
to-sail-there
ἀνεχώρησαν δὲ καὶ οἱ Ἀθηναῖοι ταῖς ἑκατὸν ναυσίν, 16.4
withdrew and also the Athenians with-the hundred ships
ἐπειδὴ καὶ ἐκείνους εἶδον.
when also them they-saw
[καὶ κατὰ τὸν χρόνον τοῦτον ὃν αἱ νῆες ἔπλεον ἐν 17.1
and during the time this in-which the ships sailed among
τοῖς πλεῖσται δὴ νῆες ἅμ᾽ αὐτοῖς ἐνεργοὶ †κάλλει
the most indeed ships at-the-same-time with-them active in-beauty
ἐγένοντο, παραπλήσιαι δὲ καὶ ἔτι πλείους ἀρχομένου τοῦ
were nearly-equal and even still more beginning the
πολέμου.
war
τήν τε γὰρ Ἀττικὴν καὶ Εὔβοιαν καὶ Σαλαμῖνα ἑκατὸν 17.2
the both for Attica and Euboea and Salamis hundred
ἐφύλασσον, καὶ περὶ Πελοπόννησον ἕτεραι ἑκατὸν ἦσαν,
guarded and round Peloponnese other hundred were
χωρὶς δὲ αἱ περὶ Ποτείδαιαν καὶ ἐν τοῖς ἄλλοις χωρίοις,
besides and those about Potidaea and in the other places

ὥστε αἱ πᾶσαι ἅμα ἐγίγνοντο ἐν ἑνὶ θέρει διακόσιαι
so-that the all at-the-same-time were in one summer two-hundred
καὶ πεντήκοντα.
and fifty

17.3 καὶ τὰ χρήματα τοῦτο μάλιστα ὑπανήλωσε μετὰ
and the money this most exhausted along-with
Ποτειδαίας.
Potidaea

17.4 τήν τε γὰρ Ποτείδαιαν δίδραχμοι ὁπλῖται ἐφρούρουν (αὐτῷ
the both for Potidaea two-drachma hoplites guarded for-himself
γὰρ καὶ ὑπηρέτῃ δραχμὴν ἐλάμβανε τῆς ἡμέρας), τρισχίλιοι
for and for-servant drachma received of-the day three-thousand
μὲν οἱ πρῶτοι, ὧν οὐκ ἐλάσσους διεπολιόρκησαν,
indeed the first of-whom not fewer besieged-to-the-end
ἑξακόσιοι δὲ καὶ χίλιοι μετὰ Φορμίωνος, οἳ προαπῆλθον·
six-hundred and and thousand with Phormio who went-away-before
νῆές τε αἱ πᾶσαι τὸν αὐτὸν μισθὸν ἔφερον. τὰ μὲν οὖν
ships both the all the same pay drew the indeed then
χρήματα οὕτως ὑπανηλώθη τὸ πρῶτον, καὶ νῆες τοσαῦται
money so was-exhausted the first-time and ships so-many
δὴ πλεῖσται ἐπληρώθησαν.]
indeed most were-manned

18.1 Μυτιληναῖοι δὲ κατὰ τὸν αὐτὸν χρόνον ὃν οἱ
Mytilenaeans and at the same time in-which the
Λακεδαιμόνιοι περὶ τὸν Ἰσθμὸν ἦσαν ἐπὶ Μήθυμναν ὡς
Lacedaemonians about the Isthmus were against Methymna as
προδιδομένην ἐστράτευσαν κατὰ γῆν αὐτοί τε καὶ οἱ
being-betrayed marched by land themselves both and the
ἐπίκουροι· καὶ προσβαλόντες τῇ πόλει, ἐπειδὴ οὐ προυχώρει ᾗ
auxiliaries and having-attacked the city when not it-succeeded as
προσεδέχοντο, ἀπῆλθον ἐπ᾽ Ἀντίσσης καὶ Πύρρας καὶ Ἐρέσου,
they-expected went-away to Antissa and Pyrrha and Eresus

καὶ καταστησάμενοι τὰ ἐν ταῖς πόλεσι ταύταις βεβαιότερα
and having-settled the in the cities these more-securely
καὶ τείχη κρατύναντες διὰ τάχους ἀπῆλθον ἐπ᾽ οἴκου.
and walls having-strengthened with speed went-away toward home
ἐστράτευσαν δὲ καὶ οἱ Μηθυμναῖοι ἀναχωρησάντων 18.2
marched and also the Methymnaeans having-withdrawn
αὐτῶν ἐπ᾽ Ἄντισσαν· καὶ ἐκβοηθείας τινὸς γενομένης
them against Antissa and sally some having-taken-place
πληγέντες ὑπό τε τῶν Ἀντισσαίων καὶ τῶν ἐπικούρων
having-been-beaten by both the Antissaeans and the auxiliaries
ἀπέθανόν τε πολλοὶ καὶ ἀνεχώρησαν οἱ λοιποὶ κατὰ τάχος.
died both many and withdrew the rest with speed
οἱ δὲ Ἀθηναῖοι πυνθανόμενοι ταῦτα, τούς τε Μυτιληναίους 18.3
the and Athenians learning these the both Mytilenaeans
τῆς γῆς κρατοῦντας καὶ τοὺς σφετέρους στρατιώτας οὐχ
of-the land being-masters and the their-own soldiers not
ἱκανοὺς ὄντας εἴργειν, πέμπουσι περὶ τὸ φθινόπωρον ἤδη
sufficient being to-confine send about the autumn already
ἀρχόμενον Πάχητα τὸν Ἐπικούρου στρατηγὸν καὶ χιλίους
beginning Paches the son-of-Epicurus as-general and thousand
ὁπλίτας ἑαυτῶν.
hoplites of-their-own
οἱ δὲ αὐτερέται πλεύσαντες τῶν νεῶν ἀφικνοῦνται καὶ 18.4
they and as-their-own-rowers having-sailed of-the ships arrive and
περιτειχίζουσι Μυτιλήνην ἐν κύκλῳ ἁπλῷ τείχει· φρούρια
wall-round Mytilene in circle with-single wall forts
δ᾽ ἔστιν ᾗ ἐπὶ τῶν καρτερῶν ἐγκατῳκοδόμηται.
and there-are where on the strong-points are-built-in

18.5 καὶ ἡ μὲν Μυτιλήνη κατὰ κράτος ἤδη ἀμφοτέρωθεν καὶ
and — indeed Mytilene by force already on-both-sides both
ἐκ γῆς καὶ ἐκ θαλάσσης εἴργετο, καὶ ὁ χειμὼν ἤρχετο
from land and from sea was-shut-in and the winter began
γίγνεσθαι.
to-come

V · THE BREAKOUT FROM PLATAEA

Athens levies its first property tax, two hundred talents, and sends ships to collect money; Lysicles is killed in Caria. That winter about half the besieged at Plataea, some two hundred and twenty men, break out: they measure the enemy wall by counting its bricks, wait for a stormy moonless night, and cross with only the left foot shod for grip in the mud. A falling tile raises the alarm, but the first men up hold the towers, and the rest cross the half-frozen ditch, unseen while the enemy's torches light the pursuers, take the Theban road to throw off pursuit, and reach Athens; two hundred and twelve arrive.

19.1 προσδεόμενοι δὲ οἱ Ἀθηναῖοι χρημάτων ἐς τὴν πολιορκίαν,
needing-in-addition and the Athenians of-money for the siege
καὶ αὐτοὶ ἐσενεγκόντες τότε πρῶτον ἐσφορὰν διακόσια
also themselves having-contributed then first property-tax two-hundred
τάλαντα, ἐξέπεμψαν καὶ ἐπὶ τοὺς ξυμμάχους ἀργυρολόγους
talents sent-out and to the allies money-collecting
ναῦς δώδεκα καὶ Λυσικλέα πέμπτον αὐτὸν στρατηγόν.
ships twelve and Lysicles fifth himself as-general
19.2 ὁ δὲ ἄλλα τε ἠργυρολόγει καὶ περιέπλει, καὶ τῆς Καρίας
he and other-things both collected-money and sailed-round and — of-Caria
ἐκ Μυοῦντος ἀναβὰς διὰ τοῦ Μαιάνδρου πεδίου μέχρι
from Myus having-gone-up through the of-Maeander plain as-far-as

τοῦ Σανδίου λόφου, ἐπιθεμένων τῶν Καρῶν καὶ Ἀναιτῶν
the Sandius hill having-attacked the Carians and Anaeitans
αὐτός τε διαφθείρεται καὶ τῆς ἄλλης στρατιᾶς πολλοί.
himself both is-killed and of-the other army many
τοῦ δ' αὐτοῦ χειμῶνος οἱ Πλαταιῆς (ἔτι γὰρ ἐπολιορκοῦντο 20.1
in-the and same winter the Plataeans still for were-being-besieged
ὑπὸ τῶν Πελοποννησίων καὶ Βοιωτῶν) ἐπειδὴ τῷ τε σίτῳ
by the Peloponnesians and Boeotians since by-the both food
ἐπιλείποντι ἐπιέζοντο καὶ ἀπὸ τῶν Ἀθηνῶν οὐδεμία ἐλπὶς
failing they-were-pressed and from — Athens no hope
ἦν τιμωρίας οὐδὲ ἄλλη σωτηρία ἐφαίνετο, ἐπιβουλεύουσιν
was of-help nor other safety appeared plot
αὐτοί τε καὶ Ἀθηναίων οἱ ξυμπολιορκούμενοι πρῶτον
themselves both and of-Athenians those besieged-with-them first
μὲν πάντες ἐξελθεῖν καὶ ὑπερβῆναι τὰ τείχη τῶν
indeed all to-go-out and to-climb-over the walls of-the
πολεμίων, ἢν δύνωνται βιάσασθαι, ἐσηγησαμένων τὴν
enemies if they-can to-force having-proposed the
πεῖραν αὐτοῖς Θεαινέτου τε τοῦ Τολμίδου ἀνδρὸς μάντεως
attempt to-them Theaenetus both the son-of-Tolmides man seer
καὶ Εὐπομπίδου τοῦ Δαϊμάχου, ὃς καὶ ἐστρατήγει·
and Eupompides the son-of-Daimachus who also was-general
ἔπειτα οἱ μὲν ἡμίσεις ἀπώκνησάν πως τὸν κίνδυνον 20.2
then the indeed half shrank-from somehow the danger
μέγαν ἡγησάμενοι, ἐς δὲ ἄνδρας διακοσίους καὶ εἴκοσι
great having-thought to and men two-hundred and twenty
μάλιστα ἐνέμειναν τῇ ἐξόδῳ ἐθελονταὶ τρόπῳ τοιῷδε.
about held-to the exit volunteers manner in-the-following
κλίμακας ἐποιήσαντο ἴσας τῷ τείχει τῶν πολεμίων· 20.3
ladders they-made equal to-the wall of-the enemies
ξυνεμετρήσαντο δὲ ταῖς ἐπιβολαῖς τῶν πλίνθων, ᾗ
they-measured and by-the layers of-the bricks where

ἔτυχε πρὸς σφᾶς οὐκ ἐξαληλιμμένον τὸ τεῖχος αὐτῶν.
it-happened toward them not plastered the wall their
ἠριθμοῦντο δὲ πολλοὶ ἅμα τὰς ἐπιβολάς, καὶ
counted and many at-the-same-time the layers and
ἔμελλον οἱ μέν τινες ἁμαρτήσεσθαι οἱ δὲ πλείους
were-going the indeed some to-miss the but more
τεύξεσθαι τοῦ ἀληθοῦς λογισμοῦ, ἄλλως τε καὶ πολλάκις
to-hit the true reckoning otherwise both and often
ἀριθμοῦντες καὶ ἅμα οὐ πολὺ ἀπέχοντες, ἀλλὰ
counting and at-the-same-time not far being-distant but
ῥᾳδίως καθορωμένου ἐς ὃ ἐβούλοντο τοῦ τείχους.
easily being-seen at what they-wished of-the wall
20.4 τὴν μὲν οὖν ξυμμέτρησιν τῶν κλιμάκων οὕτως ἔλαβον,
the indeed then measurement of-the ladders so they-got
ἐκ τοῦ πάχους τῆς πλίνθου εἰκάσαντες τὸ μέτρον.
from the thickness of-the brick having-inferred the measure
21.1 τὸ δὲ τεῖχος ἦν τῶν Πελοποννησίων τοιόνδε τῇ
the and wall was of-the Peloponnesians such in-the
οἰκοδομήσει. εἶχε μὲν δύο τοὺς περιβόλους, πρός τε
building it-had indeed two the circuits toward both
Πλαταιῶν καὶ εἴ τις ἔξωθεν ἀπ᾽ Ἀθηνῶν ἐπίοι, διεῖχον
Plataeans and if anyone from-outside from Athens should-attack were-apart
δὲ οἱ περίβολοι ἑκκαίδεκα πόδας μάλιστα ἀπ᾽ ἀλλήλων.
and the circuits sixteen feet about from one-another
21.2 τὸ οὖν μεταξὺ τοῦτο τοῖς φύλαξιν οἰκήματα διανενεμημένα
the then between this for-the guards rooms divided-up
ᾠκοδόμητο, καὶ ἦν ξυνεχῆ ὥστε ἓν φαίνεσθαι τεῖχος
had-been-built and were continuous so-that one to-appear wall
παχὺ ἐπάλξεις ἔχον ἀμφοτέρωθεν.
thick battlements having on-both-sides

διὰ δέκα δὲ ἐπάλξεων πύργοι ἦσαν μεγάλοι καὶ 21.3
at-intervals-of ten and battlements towers were great and
ἰσοπλατεῖς τῷ τείχει, διήκοντες ἔς τε τὸ ἔσω μέτωπον
equal-in-breadth to-the wall extending to both the inner face
αὐτοῦ καὶ οἱ αὐτοὶ καὶ τὸ ἔξω, ὥστε πάροδον μὴ εἶναι
of-it and the same also the outer so-that passage not to-be
παρὰ πύργον, ἀλλὰ δι' αὐτῶν μέσων διῆσαν.
beside tower but through them middle they-passed
τὰς οὖν νύκτας, ὁπότε χειμὼν εἴη νοτερός, τὰς μὲν 21.4
the then nights whenever storm was wet the indeed
ἐπάλξεις ἀπέλειπον, ἐκ δὲ τῶν πύργων ὄντων δι' ὀλίγου
battlements they-left from but the towers being at short-distance
καὶ ἄνωθεν στεγανῶν τὴν φυλακὴν ἐποιοῦντο. τὸ μὲν οὖν
and from-above roofed the watch they-kept the indeed then
τεῖχος ᾧ περιεφρουροῦντο οἱ Πλαταιῆς τοιοῦτον ἦν.
wall by-which were-guarded-round the Plataeans such was
οἱ δ', ἐπειδὴ παρεσκεύαστο αὐτοῖς, τηρήσαντες νύκτα 22.1
they and when it-had-been-prepared for-them having-watched-for night
χειμέριον ὕδατι καὶ ἀνέμῳ καὶ ἅμ' ἀσέληνον
stormy with-rain and with-wind and at-the-same-time moonless
ἐξῆσαν· ἡγοῦντο δὲ οἵπερ καὶ τῆς πείρας αἴτιοι ἦσαν.
went-out led and those-who-very also of-the attempt authors were
καὶ πρῶτον μὲν τὴν τάφρον διέβησαν ἣ περιεῖχεν
and first indeed the ditch crossed which surrounded
αὐτούς, ἔπειτα προσέμειξαν τῷ τείχει τῶν πολεμίων
them then approached the wall of-the enemies
λαθόντες τοὺς φύλακας, ἀνὰ τὸ σκοτεινὸν μὲν
having-escaped-notice-of the guards in the dark indeed
οὐ προϊδόντων αὐτῶν, ψόφῳ δὲ τῷ ἐκ τοῦ προσιέναι
not seeing-ahead them by-noise but the from the to-approach
αὐτοὺς ἀντιπαταγοῦντος τοῦ ἀνέμου οὐ κατακουσάντων·
them drowning-out the wind not hearing

22.2 ἅμα δὲ καὶ διέχοντες πολὺ ἦσαν, ὅπως τὰ ὅπλα
at-the-same-time and also being-apart much they-went so-that the arms
μὴ κρουόμενα πρὸς ἄλληλα αἴσθησιν παρέχοι. ἦσαν δὲ
not striking against one-another perception should-give they-were and
εὐσταλεῖς τε τῇ ὁπλίσει καὶ τὸν ἀριστερὸν μόνον πόδα
lightly-equipped both in-the armor and the left only foot
ὑποδεδεμένοι ἀσφαλείας ἕνεκα τῆς πρὸς τὸν πηλόν.
shod safety for-the-sake-of the against the mud
22.3 κατὰ οὖν μεταπύργιον προσέμισγον πρὸς τὰς ἐπάλξεις,
at then space-between-towers they-approached to the battlements
εἰδότες ὅτι ἐρῆμοί εἰσι, πρῶτον μὲν οἱ τὰς κλίμακας
knowing that deserted they-are first indeed those the ladders
φέροντες, καὶ προσέθεσαν· ἔπειτα ψιλοὶ δώδεκα ξὺν ξιφιδίῳ
carrying and placed-them then light-troops twelve with dagger
καὶ θώρακι ἀνέβαινον, ὧν ἡγεῖτο Ἀμμέας ὁ Κοροίβου
and breastplate went-up whom led Ammeas the son-of-Coroebus
καὶ πρῶτος ἀνέβη· μετὰ δὲ αὐτὸν οἱ ἑπόμενοι, ἓξ ἐφ᾽
and first went-up after and him those following six to
ἑκάτερον τῶν πύργων, ἀνέβαινον. ἔπειτα ψιλοὶ ἄλλοι
each of-the towers went-up then light-troops others
μετὰ τούτους ξὺν δορατίοις ἐχώρουν, οἷς ἕτεροι κατόπιν
after these with spears went to-whom others behind
τὰς ἀσπίδας ἔφερον, ὅπως ἐκεῖνοι ῥᾷον προσβαίνοιεν,
the shields carried so-that those more-easily might-go-up
καὶ ἔμελλον δώσειν ὁπότε πρὸς τοῖς πολεμίοις εἶεν.
and were-going to-give-them whenever near the enemies they-should-be
22.4 ὡς δὲ ἄνω πλείους ἐγένοντο, ἤσθοντο οἱ ἐκ τῶν πύργων
when and above more had-become perceived the from the towers
φύλακες· κατέβαλε γάρ τις τῶν Πλαταιῶν ἀντιλαμβανόμενος
guards threw-down for one of-the Plataeans taking-hold
ἀπὸ τῶν ἐπάλξεων κεραμίδα, ἣ πεσοῦσα δοῦπον ἐποίησεν.
from the battlements tile which falling thud made

καὶ αὐτίκα βοὴ ἦν, τὸ δὲ στρατόπεδον ἐπὶ τὸ τεῖχος 22.5
and at-once shouting was the and camp to the wall
ὥρμησεν· οὐ γὰρ ᾔδει ὅτι ἦν τὸ δεινὸν σκοτεινῆς νυκτὸς
rushed not for it-knew what was the danger dark night
καὶ χειμῶνος ὄντος, καὶ ἅμα οἱ ἐν τῇ πόλει τῶν
and storm being and at-the-same-time those in the city of-the
Πλαταιῶν ὑπολελειμμένοι ἐξελθόντες προσέβαλον τῷ τείχει
Plataeans left-behind having-gone-out attacked the wall
τῶν Πελοποννησίων ἐκ τοὔμπαλιν ἢ οἱ ἄνδρες αὐτῶν
of-the Peloponnesians from the-opposite-side than the men their
ὑπερέβαινον, ὅπως ἥκιστα πρὸς αὐτοὺς τὸν νοῦν ἔχοιεν.
were-climbing-over so-that least to them the attention they-should-have
ἐθορυβοῦντο μὲν οὖν κατὰ χώραν μένοντες, βοηθεῖν δὲ 22.6
they-were-in-uproar indeed then in place remaining to-help but
οὐδεὶς ἐτόλμα ἐκ τῆς ἑαυτῶν φυλακῆς, ἀλλ᾽ ἐν ἀπόρῳ
no-one dared from the his-own post but in perplexity
ἦσαν εἰκάσαι τὸ γιγνόμενον.
they-were to-guess the happening
καὶ οἱ τριακόσιοι αὐτῶν, οἷς ἐτέτακτο παραβοηθεῖν 22.7
and the three-hundred of-them to-whom it-had-been-assigned to-help
εἴ τι δέοι, ἐχώρουν ἔξω τοῦ τείχους πρὸς τὴν
if anything should-be-needed went outside the wall toward the
βοήν. φρυκτοί τε ᾖροντο ἐς τὰς Θήβας πολέμιοι·
shouting beacons both were-raised toward — Thebes hostile
παρανῖσχον δὲ καὶ οἱ ἐκ τῆς πόλεως Πλαταιῆς ἀπὸ τοῦ 22.8
raised-beside-them and also the from the city Plataeans from the
τείχους φρυκτοὺς πολλοὺς πρότερον παρεσκευασμένους ἐς
wall beacons many before prepared for
αὐτὸ τοῦτο, ὅπως ἀσαφῆ τὰ σημεῖα τῆς φρυκτωρίας τοῖς
very this so-that unclear the signals of-the beacon-signaling to-the
πολεμίοις ᾖ καὶ μὴ βοηθοῖεν, ἄλλο τι νομίσαντες
enemies might-be and not they-should-help other something having-thought

τὸ γιγνόμενον εἶναι ἢ τὸ ὄν, πρὶν σφῶν οἱ ἄνδρες οἱ
the happening to-be than the being before their the men those
ἐξιόντες διαφύγοιεν καὶ τοῦ ἀσφαλοῦς ἀντιλάβοιντο.
going-out should-escape and of-the safety should-lay-hold-of

23.1 οἱ δ' ὑπερβαίνοντες τῶν Πλαταιῶν ἐν τούτῳ, ὡς οἱ
the and climbing-over of-the Plataeans in this when the
πρῶτοι αὐτῶν ἀνεβεβήκεσαν καὶ τοῦ πύργου ἑκατέρου τοὺς
first of-them had-gone-up and of-the tower each the
φύλακας διαφθείραντες ἐκεκρατήκεσαν, τάς τε διόδους τῶν
guards having-killed had-mastered the both passages of-the
πύργων ἐνστάντες αὐτοὶ ἐφύλασσον μηδένα δι' αὐτῶν
towers having-stood-in themselves guarded no-one through them
ἐπιβοηθεῖν, καὶ κλίμακας προσθέντες ἀπὸ τοῦ τείχους τοῖς
to-come-to-help and ladders having-placed from the wall to-the
πύργοις καὶ ἐπαναβιβάσαντες ἄνδρας πλείους, οἱ μὲν
towers and having-sent-up men more the-ones indeed
ἀπὸ τῶν πύργων τοὺς ἐπιβοηθοῦντας καὶ κάτωθεν καὶ
from the towers those coming-to-help both from-below and
ἄνωθεν εἶργον βάλλοντες, οἱ δ' ἐν τούτῳ οἱ πλείους
from-above kept-off shooting the-others and in this the more
πολλὰς προσθέντες κλίμακας ἅμα καὶ τὰς ἐπάλξεις
many having-placed ladders at-the-same-time and the battlements
ἀπώσαντες διὰ τοῦ μεταπυργίου ὑπερέβαινον.
having-pushed-down through the space-between-towers climbed-over

23.2 ὁ δὲ διακομιζόμενος αἰεὶ ἵστατο ἐπὶ τοῦ χείλους τῆς
the and one-getting-across always stood on the edge of-the
τάφρου καὶ ἐντεῦθεν ἐτόξευόν τε καὶ ἠκόντιζον, εἴ
ditch and from-there they-shot-arrows both and threw-javelins if
τις παραβοηθῶν παρὰ τὸ τεῖχος κωλυτὴς γίγνοιτο τῆς
anyone coming-to-help along the wall hinderer should-become of-the
διαβάσεως.
crossing

ἐπεὶ δὲ πάντες διεπεραίωντο, οἱ ἀπὸ τῶν πύργων 23.3
when and all had-crossed those from the towers
χαλεπῶς οἱ τελευταῖοι καταβαίνοντες ἐχώρουν ἐπὶ τὴν
with-difficulty the last coming-down went to the
τάφρον, καὶ ἐν τούτῳ οἱ τριακόσιοι αὐτοῖς ἐπεφέροντο
ditch and in this the three-hundred them bore-down-on
λαμπάδας ἔχοντες.
torches having
οἱ μὲν οὖν Πλαταιῆς ἐκείνους ἑώρων μᾶλλον ἐκ τοῦ 23.4
the indeed then Plataeans those saw more from the
σκότους ἑστῶτες ἐπὶ τοῦ χείλους τῆς τάφρου, καὶ
darkness standing on the edge of-the ditch and
ἐτόξευόν τε καὶ ἐσηκόντιζον ἐς τὰ γυμνά, αὐτοὶ
they-shot-arrows both and threw-javelins at the unprotected-parts themselves
δὲ ἐν τῷ ἀφανεῖ ὄντες ἧσσον διὰ τὰς λαμπάδας
but in the obscurity being less because-of the torches
καθεωρῶντο, ὥστε φθάνουσι τῶν Πλαταιῶν καὶ οἱ ὕστατοι
were-seen so-that get-across-first of-the Plataeans even the last
διαβάντες τὴν τάφρον, χαλεπῶς δὲ καὶ βιαίως·
having-crossed the ditch with-difficulty and and forcibly
κρύσταλλός τε γὰρ ἐπεπήγει οὐ βέβαιος ἐν αὐτῇ ὥστ' 23.5
ice both for had-formed not firm in it so-as
ἐπελθεῖν, ἀλλ' οἷος ἀπηλιώτου ὑδατώδης μᾶλλον, καὶ ἡ
to-walk-on but such-as of-east-wind watery rather and the
νὺξ τοιούτῳ ἀνέμῳ ὑπονειφομένη πολὺ τὸ ὕδωρ ἐν αὐτῇ
night with-such wind snowing-a-little much the water in it
ἐπεποιήκει, ὃ μόλις ὑπερέχοντες ἐπεραιώθησαν. ἐγένετο
had-made which scarcely keeping-above they-crossed happened
δὲ καὶ ἡ διάφευξις αὐτοῖς μᾶλλον διὰ τοῦ χειμῶνος
and also the escape for-them rather through of-the storm
τὸ μέγεθος.
the greatness

24.1 ὁρμήσαντες δὲ ἀπὸ τῆς τάφρου οἱ Πλαταιῆς ἐχώρουν
having-started and from the ditch the Plataeans went
ἁθρόοι τὴν ἐς Θήβας φέρουσαν ὁδόν, ἐν δεξιᾷ ἔχοντες
in-a-body the to Thebes leading road on right having
τὸ τοῦ Ἀνδροκράτους ἡρῷον, νομίζοντες ἥκιστ' ἂν σφᾶς
the — of-Androcrates hero-shrine thinking least — them
ταύτην αὐτοὺς ὑποτοπῆσαι τραπέσθαι τὴν ἐς τοὺς
this they to-suspect to-have-turned the toward the
πολεμίους· καὶ ἅμα ἑώρων τοὺς Πελοποννησίους
enemies and at-the-same-time they-saw the Peloponnesians
τὴν πρὸς Κιθαιρῶνα καὶ Δρυὸς κεφαλὰς τὴν ἐπ' Ἀθηνῶν
the toward Cithaeron and Oak's heads the to Athens
φέρουσαν μετὰ λαμπάδων διώκοντας.
leading with torches pursuing

24.2 καὶ ἐπὶ μὲν ἓξ ἢ ἑπτὰ σταδίους οἱ Πλαταιῆς τὴν ἐπὶ
and for indeed six or seven stades the Plataeans the toward
τῶν Θηβῶν ἐχώρησαν, ἔπειθ' ὑποστρέψαντες ᾔσαν τὴν
— Thebes went then having-turned-back they-went the
πρὸς τὸ ὄρος φέρουσαν ὁδὸν ἐς Ἐρύθρας καὶ Ὑσιάς,
toward the mountain leading road to Erythrae and Hysiae
καὶ λαβόμενοι τῶν ὀρῶν διαφεύγουσιν ἐς τὰς Ἀθήνας,
and having-reached the mountains escape to — Athens
ἄνδρες δώδεκα καὶ διακόσιοι ἀπὸ πλειόνων· εἰσὶ γάρ τινες
men twelve and two-hundred out-of more are for some
αὐτῶν οἳ ἀπετράποντο ἐς τὴν πόλιν πρὶν ὑπερβαίνειν,
of-them who turned-back into the city before to-climb-over
εἷς δ' ἐπὶ τῇ ἔξω τάφρῳ τοξότης ἐλήφθη.
one and at the outer ditch archer was-taken

24.3 οἱ μὲν οὖν Πελοποννήσιοι κατὰ χώραν ἐγένοντο τῆς
the indeed then Peloponnesians in place were from-the
βοηθείας παυσάμενοι· οἱ δ' ἐκ τῆς πόλεως Πλαταιῆς τῶν
help having-ceased the and from the city Plataeans of-the

μὲν γεγενημένων εἰδότες οὐδέν, τῶν δὲ ἀποτραπομένων
indeed having-happened knowing nothing the-ones but having-turned-back
σφίσιν ἀπαγγειλάντων ὡς οὐδεὶς περίεστι, κήρυκα
to-them having-reported that no-one survives herald
ἐκπέμψαντες, ἐπεὶ ἡμέρα ἐγένετο, ἐσπένδοντο ἀναίρεσιν
having-sent-out when day came sought-a-truce recovery
τοῖς νεκροῖς, μαθόντες δὲ τὸ ἀληθὲς ἐπαύσαντο. οἱ μὲν
for-the dead having-learned but the truth they-ceased the indeed
δὴ τῶν Πλαταιῶν ἄνδρες οὕτως ὑπερβάντες ἐσώθησαν.
then of-the Plataeans men thus having-climbed-over were-saved

VI · MYTILENE SURRENDERS

Salaethus of Sparta slips into Mytilene by a ravine and promises an invasion and forty ships. In the next summer Cleomenes leads the harshest invasion of Attica since the second, while Alcidas' fleet dawdles. With food gone, Salaethus arms the common people, who demand the grain or a settlement, and the leaders surrender to Paches on terms. Alcidas, learning of it, rejects Teutiaplus' advice to attack at once and the exiles' plan to raise Ionia, kills his prisoners until the Samians shame him, and flees home. Paches pursues to Patmos, takes Notium by treachery against Hippias, and sends Salaethus and the guilty Mytilenaeans to Athens.

ἐκ δὲ τῆς Λακεδαίμονος τοῦ αὐτοῦ χειμῶνος τελευτῶντος 25.1
from and — Lacedaemon in-the same winter ending
ἐκπέμπεται Σάλαιθος ὁ Λακεδαιμόνιος ἐς Μυτιλήνην
is-sent-out Salaethus the Lacedaemonian to Mytilene
τριήρει. καὶ πλεύσας ἐς Πύρραν καὶ ἐξ αὐτῆς πεζῇ
by-trireme and having-sailed to Pyrrha and from it on-foot
κατὰ χαράδραν τινά, ᾗ ὑπερβατὸν ἦν τὸ περιτείχισμα,
along ravine some where crossable was the circumvallation
διαλαθὼν ἐσέρχεται ἐς τὴν Μυτιλήνην, καὶ ἔλεγε τοῖς
having-escaped-notice enters into — Mytilene and told the

προέδροις ὅτι ἐσβολή τε ἅμα ἐς τὴν Ἀττικὴν
presidents that invasion both at-the-same-time into — Attica
ἔσται καὶ αἱ τεσσαράκοντα νῆες παρέσονται ἃς ἔδει
will-be and the forty ships will-be-present which were
βοηθῆσαι αὐτοῖς, προαποπεμφθῆναί τε αὐτὸς τούτων
to-help them to-have-been-sent-ahead both himself of-these
ἕνεκα καὶ ἅμα τῶν ἄλλων ἐπιμελησόμενος.
for-the-sake and at-the-same-time the other-matters going-to-take-care-of

25.2 καὶ οἱ μὲν Μυτιληναῖοι ἐθάρσουν τε καὶ πρὸς τοὺς
and the indeed Mytilenaeans took-courage both and toward the
Ἀθηναίους ἧσσον εἶχον τὴν γνώμην ὥστε ξυμβαίνειν.
Athenians less had the mind so-as to-come-to-terms
ὅ τε χειμὼν ἐτελεύτα οὗτος, καὶ τέταρτον ἔτος τῷ
the both winter ended this and fourth year for-the
πολέμῳ ἐτελεύτα τῷδε ὃν Θουκυδίδης ξυνέγραψεν.
war ended this which Thucydides wrote-up

26.1 τοῦ δ' ἐπιγιγνομένου θέρους οἱ Πελοποννήσιοι ἐπειδὴ τὰς
in-the and following summer the Peloponnesians when the
ἐς τὴν Μυτιλήνην δύο καὶ τεσσαράκοντα ναῦς ἀπέστειλαν
to — Mytilene two and forty ships they-had-sent
ἄρχοντα Ἀλκίδαν, ὃς ἦν αὐτοῖς ναύαρχος, προστάξαντες,
as-commander Alcidas who was to-them admiral having-appointed
αὐτοὶ ἐς τὴν Ἀττικὴν καὶ οἱ ξύμμαχοι ἐσέβαλον, ὅπως
themselves into — Attica and the allies invaded so-that
οἱ Ἀθηναῖοι ἀμφοτέρωθεν θορυβούμενοι ἧσσον ταῖς ναυσὶν
the Athenians on-both-sides being-troubled less to-the ships
ἐς τὴν Μυτιλήνην καταπλεούσαις ἐπιβοηθήσωσιν.
to — Mytilene sailing-down should-come-to-help

ἡγεῖτο δὲ τῆς ἐσβολῆς ταύτης Κλεομένης ὑπὲρ 26.2
led and the invasion this Cleomenes on-behalf-of
Παυσανίου τοῦ Πλειστοάνακτος υἱέος βασιλέως ὄντος καὶ
Pausanias the of-Pleistoanax son king being and
νεωτέρου ἔτι, πατρὸς δὲ ἀδελφὸς ὤν.
younger still of-father and brother being
ἐδῄωσαν δὲ τῆς Ἀττικῆς τά τε πρότερον τετμημένα εἴ 26.3
they-ravaged and — of-Attica the both before ravaged if
τι ἐβεβλαστήκει καὶ ὅσα ἐν ταῖς πρὶν ἐσβολαῖς
anything had-sprouted and as-much-as in the earlier invasions
παρελέλειπτο· καὶ ἡ ἐσβολὴ αὕτη χαλεπωτάτη ἐγένετο
had-been-left and the invasion this most-grievous was
τοῖς Ἀθηναίοις μετὰ τὴν δευτέραν.
for-the Athenians after the second
ἐπιμένοντες γὰρ αἰεὶ ἀπὸ τῆς Λέσβου τι πεύσεσθαι 26.4
waiting for always from — Lesbos something to-learn
τῶν νεῶν ἔργον ὡς ἤδη πεπεραιωμένων ἐπεξῆλθον τὰ
of-the ships deed as already having-crossed they-went-over the
πολλὰ τέμνοντες. ὡς δ' οὐδὲν ἀπέβαινεν αὐτοῖς ὧν
most ravaging when but nothing turned-out for-them of-what
προσεδέχοντο καὶ ἐπελελοίπει ὁ σῖτος, ἀνεχώρησαν καὶ
they-expected and had-failed the grain they-withdrew and
διελύθησαν κατὰ πόλεις.
dispersed by cities
οἱ δὲ Μυτιληναῖοι ἐν τούτῳ, ὡς αἵ τε νῆες αὐτοῖς οὐχ 27.1
the and Mytilenaeans in this as the both ships to-them not
ἦκον ἀπὸ τῆς Πελοποννήσου ἀλλὰ ἐνεχρόνιζον καὶ ὁ
came from — Peloponnese but were-delaying and the
σῖτος ἐπελελοίπει, ἀναγκάζονται ξυμβαίνειν πρὸς τοὺς
grain had-failed are-compelled to-come-to-terms with the
Ἀθηναίους διὰ τάδε.
Athenians for these-reasons

27.2 ὁ Σάλαιθος καὶ αὐτὸς οὐ προσδεχόμενος ἔτι τὰς ναῦς
— *Salaethus also himself not expecting any-longer the ships*
ὁπλίζει τὸν δῆμον πρότερον ψιλὸν ὄντα ὡς ἐπεξιὼν
arms the commons before light-armed being as going-to-sally
τοῖς Ἀθηναίοις·
against-the Athenians

27.3 οἱ δὲ ἐπειδὴ ἔλαβον ὅπλα, οὔτε ἠκροῶντο ἔτι τῶν
they and when they-got arms neither listened any-longer to-the
ἀρχόντων, κατὰ ξυλλόγους τε γιγνόμενοι ἢ τὸν σῖτον
magistrates in groups both gathering either the grain
ἐκέλευον τοὺς δυνατοὺς φέρειν ἐς τὸ φανερὸν καὶ διανέμειν
they-bade the powerful to-bring into the open and to-distribute
ἅπασιν, ἢ αὐτοὶ ξυγχωρήσαντες πρὸς Ἀθηναίους ἔφασαν
to-all or themselves having-come-to-terms with Athenians they-said
παραδώσειν τὴν πόλιν.
they-would-hand-over the city

28.1 γνόντες δὲ οἱ ἐν τοῖς πράγμασιν οὔτ' ἀποκωλύειν
having-recognized and those in the affairs neither to-prevent
δυνατοὶ ὄντες, εἴ τ' ἀπομονωθήσονται τῆς ξυμβάσεως
able being if and they-will-be-isolated from-the agreement
κινδυνεύσοντες, ποιοῦνται κοινῇ ὁμολογίαν πρός τε
going-to-be-in-danger make in-common agreement with both
Πάχητα καὶ τὸ στρατόπεδον, ὥστε Ἀθηναίοις μὲν ἐξεῖναι
Paches and the army so-that for-Athenians indeed to-be-allowed
βουλεῦσαι περὶ Μυτιληναίων ὁποῖον ἄν τι βούλωνται
to-decide about Mytilenaeans whatever — anything they-wish
καὶ τὴν στρατιὰν ἐς τὴν πόλιν δέχεσθαι αὐτούς, πρεσβείαν
and the army into the city to-receive them embassy
δὲ ἀποστέλλειν ἐς τὰς Ἀθήνας Μυτιληναίους περὶ ἑαυτῶν·
and to-send to — Athens Mytilenaeans about themselves

ἐν ὅσῳ δ' ἂν πάλιν ἔλθωσι, Πάχητα μήτε δῆσαι
in as-long and — back they-come Paches neither to-bind
Μυτιληναίων μηδένα μηδὲ ἀνδραποδίσαι μήτε ἀποκτεῖναι.
of-Mytilenaeans anyone nor to-enslave nor to-kill
ἡ μὲν ξύμβασις αὕτη ἐγένετο, οἱ δὲ πράξαντες πρὸς 28.2
the indeed agreement this was-made those but having-negotiated with
τοὺς Λακεδαιμονίους μάλιστα τῶν Μυτιληναίων περιδεεῖς
the Lacedaemonians most of-the Mytilenaeans terrified
ὄντες, ὡς ἡ στρατιὰ ἐσῆλθεν, οὐκ ἠνέσχοντο, ἀλλ' ἐπὶ
being when the army entered not endured but at
τοὺς βωμοὺς ὅμως καθίζουσιν· Πάχης δ' ἀναστήσας
the altars nevertheless sit Paches and having-raised
αὐτοὺς ὥστε μὴ ἀδικῆσαι, κατατίθεται ἐς Τένεδον μέχρι
them on-condition not to-harm deposits-them at Tenedos until
οὗ τοῖς Ἀθηναίοις τι δόξῃ.
which to-the Athenians something should-seem-good
πέμψας δὲ καὶ ἐς τὴν Ἄντισσαν τριήρεις προσεκτήσατο 28.3
having-sent and also to — Antissa triremes he-won-over
καὶ τἆλλα τὰ περὶ τὸ στρατόπεδον καθίστατο ᾗ αὐτῷ
and the-rest the about the camp arranged as to-him
ἐδόκει.
seemed-good
οἱ δ' ἐν ταῖς τεσσαράκοντα ναυσὶ Πελοποννήσιοι, οὓς 29.1
the and in the forty ships Peloponnesians who
ἔδει ἐν τάχει παραγενέσθαι, πλέοντες περί τε αὐτὴν τὴν
had in haste to-arrive sailing round both itself —
Πελοπόννησον ἐνδιέτριψαν καὶ κατὰ τὸν ἄλλον πλοῦν
Peloponnese wasted-time and on the rest-of-the voyage
σχολαῖοι κομισθέντες τοὺς μὲν ἐκ τῆς πόλεως Ἀθηναίους
leisurely having-traveled the indeed from the city Athenians
λανθάνουσι, πρὶν δὴ τῇ Δήλῳ ἔσχον, προσμείξαντες δ'
escape-notice-of until indeed — at-Delos they-put-in having-touched and

ἀπ᾽ αὐτῆς τῇ Ἰκάρῳ καὶ Μυκόνῳ πυνθάνονται πρῶτον
from it — at-Icarus and Myconus they-learn first
ὅτι ἡ Μυτιλήνη ἑάλωκεν.
that — Mytilene has-been-taken

29.2 βουλόμενοι δὲ τὸ σαφὲς εἰδέναι κατέπλευσαν ἐς Ἔμβατον
wishing and the certainty to-know they-sailed-down to Embatum
τῆς Ἐρυθραίας· ἡμέραι δὲ μάλιστα ἦσαν τῇ Μυτιλήνῃ
— of-Erythraea days and about were — for-Mytilene
ἑαλωκυίᾳ ἑπτὰ ὅτε ἐς τὸ Ἔμβατον κατέπλευσαν.
having-been-taken seven when to — Embatum they-sailed-down
πυθόμενοι δὲ τὸ σαφὲς ἐβουλεύοντο ἐκ τῶν παρόντων,
having-learned and the certainty they-deliberated from the present-circumstances
καὶ ἔλεξεν αὐτοῖς Τευτίαπλος ἀνὴρ Ἠλεῖος τάδε.
and spoke to-them Teutiaplus man Elean these-things

30.1 ‘Ἀλκίδα καὶ Πελοποννησίων ὅσοι πάρεσμεν ἄρχοντες
Alcidas and of-Peloponnesians as-many-as are-here commanders
τῆς στρατιᾶς, ἐμοὶ δοκεῖ πλεῖν ἡμᾶς ἐπὶ Μυτιλήνην πρὶν
of-the army to-me it-seems to-sail us against Mytilene before
ἐκπύστους γενέσθαι, ὥσπερ ἔχομεν.
discovered to-become as we-are

30.2 κατὰ γὰρ τὸ εἰκὸς ἀνδρῶν νεωστὶ πόλιν ἐχόντων πολὺ
according-to for the likely of-men newly city holding much
τὸ ἀφύλακτον εὑρήσομεν, κατὰ μὲν θάλασσαν καὶ πάνυ,
the unguarded we-shall-find by indeed sea also very
ᾗ ἐκεῖνοί τε ἀνέλπιστοι ἐπιγενέσθαι ἄν τινα σφίσι
where they both not-expecting to-come-upon — anyone them
πολέμιον καὶ ἡμῶν ἡ ἀλκὴ τυγχάνει μάλιστα οὖσα· εἰκὸς
enemy and our the strength happens most being likely
δὲ καὶ τὸ πεζὸν αὐτῶν κατ᾽ οἰκίας ἀμελέστερον ὡς
and also the infantry their in houses rather-carelessly as
κεκρατηκότων διεσπάρθαι.
of-victors to-have-been-scattered

εἰ οὖν προσπέσοιμεν ἄφνω τε καὶ νυκτός, ἐλπίζω μετὰ 30.3
if then we-should-fall-on suddenly both and by-night I-hope with
τῶν ἔνδον, εἴ τις ἄρα ἡμῖν ἐστὶν ὑπόλοιπος εὔνους,
those within if any indeed to-us is left well-disposed
καταληφθῆναι ἂν τὰ πράγματα.
to-be-seized — the affairs
καὶ μὴ ἀποκνήσωμεν τὸν κίνδυνον, νομίσαντες οὐκ ἄλλο 30.4
and not let-us-shrink-from the danger thinking not other
τι εἶναι τὸ κενὸν τοῦ πολέμου ἢ τὸ τοιοῦτον,
anything to-be the empty-surprise of-the war than the such
ὃ εἴ τις στρατηγὸς ἔν τε αὑτῷ φυλάσσοιτο καὶ τοῖς
which if any general in both himself should-guard-against and in-the
πολεμίοις ἐνορῶν ἐπιχειροίη, πλεῖστ' ἂν ὀρθοῖτο.'
enemies seeing should-attack most — he-would-succeed
ὁ μὲν τοσαῦτα εἰπὼν οὐκ ἔπειθε τὸν Ἀλκίδαν. ἄλλοι 31.1
he indeed so-much having-said not persuaded — Alcidas others
δέ τινες τῶν ἀπ' Ἰωνίας φυγάδων καὶ οἱ Λέσβιοι οἱ
and some of-the from Ionia exiles and the Lesbians those
ξυμπλέοντες παρήνουν, ἐπειδὴ τοῦτον τὸν κίνδυνον φοβεῖται,
sailing-with-them urged since this the danger he-fears
τῶν ἐν Ἰωνίᾳ πόλεων καταλαβεῖν τινὰ ἢ Κύμην τὴν Αἰολίδα,
of-the in Ionia cities to-seize some or Cyme the Aeolian
ὅπως ἐκ πόλεως ὁρμώμενοι τὴν Ἰωνίαν ἀποστήσωσιν
so-that from city setting-out — Ionia they-may-cause-to-revolt
(ἐλπίδα δ' εἶναι· οὐδενὶ γὰρ ἀκουσίως ἀφῖχθαι) καὶ τὴν
hope and to-be for-no-one for unwillingly to-have-come and the
πρόσοδον ταύτην μεγίστην οὖσαν Ἀθηναίων ὑφέλωσι, καὶ
revenue this greatest being of-Athenians they-take-away and
ἅμα, ἢν ἐφορμῶσι σφίσιν, αὐτοῖς δαπάνη γίγνηται·
at-the-same-time if they-blockade them for-them expense becomes
πείσειν τε οἴεσθαι καὶ Πισσούθνην ὥστε ξυμπολεμεῖν.
to-persuade and to-think also Pissuthnes so-as to-join-in-the-war

31.2 ὁ δὲ οὐδὲ ταῦτα ἐνεδέχετο, ἀλλὰ τὸ πλεῖστον τῆς γνώμης
he but not-even these accepted but the most of-the mind
εἶχεν, ἐπειδὴ τῆς Μυτιλήνης ὑστερήκει, ὅτι τάχιστα τῇ
had since — Mytilene he-was-too-late as quickly-as-possible —
Πελοποννήσῳ πάλιν προσμεῖξαι.
to-Peloponnese again to-reach

32.1 ἄρας δὲ ἐκ τοῦ Ἐμβάτου παρέπλει, καὶ προσσχὼν
having-set-out and from — Embatum he-sailed-along and having-put-in
Μυοννήσῳ τῇ Τηίων τοὺς αἰχμαλώτους οὓς κατὰ πλοῦν
at-Myonnesus the of-Teians the prisoners whom on voyage
εἰλήφει ἀπέσφαξε τοὺς πολλούς.
he-had-taken slaughtered the most

32.2 καὶ ἐς τὴν Ἔφεσον καθορμισαμένου αὐτοῦ Σαμίων τῶν
and at — Ephesus having-anchored him of-Samians those
ἐξ Ἀναίων ἀφικόμενοι πρέσβεις ἔλεγον οὐ καλῶς τὴν
from Anaea having-come envoys said not well —
Ἑλλάδα ἐλευθεροῦν αὐτόν, εἰ ἄνδρας διέφθειρεν οὔτε χεῖρας
Greece to-free him if men he-killed neither hands
ἀνταιρομένους οὔτε πολεμίους, Ἀθηναίων δὲ ὑπὸ ἀνάγκης
raising-against nor enemies of-Athenians but by necessity
ξυμμάχους· εἴ τε μὴ παύσεται, ὀλίγους μὲν αὐτὸν τῶν
allies if and not he-will-stop few indeed him of-the
ἐχθρῶν ἐς φιλίαν προσάξεσθαι, πολὺ δὲ πλείους τῶν
enemies into friendship would-win-over much but more of-the
φίλων πολεμίους ἕξειν.
friends enemies would-have

32.3 καὶ ὁ μὲν ἐπείσθη τε καὶ Χίων ἄνδρας ὅσους εἶχεν
and he indeed was-persuaded both and of-Chians men as-many-as he-had
ἔτι ἀφῆκε καὶ τῶν ἄλλων τινάς· ὁρῶντες γὰρ τὰς ναῦς
still released and of-the others some seeing for the ships
οἱ ἄνθρωποι οὐκ ἔφευγον, ἀλλὰ προσεχώρουν μᾶλλον ὡς
the people not fled but came-toward-them rather as

Ἀττικαῖς καὶ ἐλπίδα οὐδὲ τὴν ἐλαχίστην εἶχον μή ποτε
to-Attic and hope not-even the least had lest ever
Ἀθηναίων τῆς θαλάσσης κρατούντων ναῦς Πελοποννησίων
of-Athenians the sea controlling ships of-Peloponnesians
ἐς Ἰωνίαν παραβαλεῖν.
to Ionia should-cross
ἀπὸ δὲ τῆς Ἐφέσου ὁ Ἀλκίδας ἔπλει κατὰ τάχος καὶ φυγὴν 33.1
from and — Ephesus — Alcidas sailed with speed and flight
ἐποιεῖτο· ὤφθη γὰρ ὑπὸ τῆς Σαλαμινίας καὶ Παράλου
made he-was-seen for by the Salaminia and Paralus
ἔτι περὶ Κλάρον ὁρμῶν (αἱ δ' ἀπ' Ἀθηνῶν ἔτυχον
still near Clarus lying-at-anchor they and from Athens happened
πλέουσαι), καὶ δεδιὼς τὴν δίωξιν ἔπλει διὰ τοῦ πελάγους
sailing and fearing the pursuit he-sailed through the open-sea
ὡς γῇ ἑκούσιος οὐ σχήσων ἄλλῃ ἢ Πελοποννήσῳ.
as land willingly not going-to-touch other than Peloponnese
τῷ δὲ Πάχητι καὶ τοῖς Ἀθηναίοις ἦλθε μὲν καὶ ἀπὸ 33.2
— and to-Paches and the Athenians came indeed also from
τῆς Ἐρυθραίας ἀγγελία, ἀφικνεῖτο δὲ καὶ πανταχόθεν·
— Erythraea message arrived and also from-every-side
ἀτειχίστου γὰρ οὔσης τῆς Ἰωνίας μέγα τὸ δέος ἐγένετο μὴ
unwalled for being — Ionia great the fear arose lest
παραπλέοντες οἱ Πελοποννήσιοι, εἰ καὶ ὡς μὴ διενοοῦντο
sailing-along the Peloponnesians if even so not they-intended
μένειν, πορθῶσιν ἅμα προσπίπτοντες τὰς πόλεις.
to-stay they-might-sack at-the-same-time falling-upon the cities
αὐτάγγελοι δ' αὐτὸν ἰδοῦσαι ἐν τῇ Κλάρῳ ἥ τε Πάραλος
self-reporting and him having-seen at — Clarus the both Paralus
καὶ ἡ Σαλαμινία ἔφρασαν.
and the Salaminia told

33.3 ὁ δὲ ὑπὸ σπουδῆς ἐποιεῖτο τὴν δίωξιν· καὶ μέχρι μὲν
he and in haste made the pursuit and as-far-as indeed
Πάτμου τῆς νήσου ἐπεδίωξεν, ὡς δ᾽ οὐκέτι ἐν καταλήψει
Patmos the island pursued when but no-longer in overtaking-distance
ἐφαίνετο, ἐπανεχώρει. κέρδος δὲ ἐνόμισεν, ἐπειδὴ οὐ
he-appeared he-returned gain and he-thought since not
μετεώροις περιέτυχεν, ὅτι οὐδαμοῦ ἐγκαταληφθεῖσαι
in-open-sea he-had-met-them that nowhere having-been-caught
ἠναγκάσθησαν στρατόπεδόν τε ποιεῖσθαι καὶ φυλακὴν
they-were-compelled camp both to-make and watch
σφίσι καὶ ἐφόρμησιν παρασχεῖν.
for-them and blockade to-provide

34.1 παραπλέων δὲ πάλιν ἔσχε καὶ ἐς Νότιον τὸ Κολοφωνίων,
sailing-along and again he-put-in also at Notium the of-Colophonians
οὗ κατῴκηντο Κολοφώνιοι τῆς ἄνω πόλεως ἑαλωκυίας
where had-settled Colophonians of-the upper city having-been-taken
ὑπὸ Ἰταμάνους καὶ τῶν βαρβάρων κατὰ στάσιν ἰδίαν
by Itamanes and the barbarians in faction private
ἐπαχθέντων· ἑάλω δὲ μάλιστα αὕτη ὅτε ἡ δευτέρα
having-been-brought-in was-taken and about this when the second
Πελοποννησίων ἐσβολὴ ἐς τὴν Ἀττικὴν ἐγίγνετο.
of-Peloponnesians invasion into — Attica took-place

34.2 ἐν οὖν τῷ Νοτίῳ οἱ καταφυγόντες καὶ κατοικήσαντες
in then — Notium those having-fled and having-settled
αὐτόθι αὖθις στασιάσαντες, οἱ μὲν παρὰ Πισσούθνου
there again having-quarreled the-ones indeed from Pissuthnes
ἐπικούρους Ἀρκάδων τε καὶ τῶν βαρβάρων ἐπαγαγόμενοι
auxiliaries of-Arcadians both and of-the barbarians having-brought-in
ἐν διατειχίσματι εἶχον, καὶ τῶν ἐκ τῆς ἄνω πόλεως
in cross-wall held and of-the from the upper city
Κολοφωνίων οἱ μηδίσαντες ξυνεσελθόντες ἐπολίτευον,
Colophonians those having-Medized having-come-in-with-them governed

οἱ δὲ ὑπεξελθόντες τούτους καὶ ὄντες φυγάδες τὸν
the-others and having-withdrawn from-these and being exiles —
Πάχητα ἐπάγονται.
Paches bring-in
ὁ δὲ προκαλεσάμενος ἐς λόγους Ἱππίαν τῶν ἐν τῷ 34.3
he and having-invited to talks Hippias of-the in the
διατειχίσματι Ἀρκάδων ἄρχοντα, ὥστε, ἢν μηδὲν ἀρέσκον
cross-wall Arcadians commander so-that if nothing pleasing
λέγῃ, πάλιν αὐτὸν καταστήσειν ἐς τὸ τεῖχος σῶν καὶ
he-says back him he-would-restore to the wall safe and
ὑγιᾶ, ὁ μὲν ἐξῆλθε παρ' αὐτόν, ὁ δ' ἐκεῖνον μὲν ἐν
sound he indeed came-out to him he but him indeed in
φυλακῇ ἀδέσμῳ εἶχεν, αὐτὸς δὲ προσβαλὼν τῷ τειχίσματι
custody unchained held himself and having-attacked the fortification
ἐξαπιναίως καὶ οὐ προσδεχομένων αἱρεῖ, τούς τε Ἀρκάδας
suddenly and not expecting takes the both Arcadians
καὶ τῶν βαρβάρων ὅσοι ἐνῆσαν διαφθείρει· καὶ τὸν
and of-the barbarians as-many-as were-inside kills and —
Ἱππίαν ὕστερον ἐσαγαγὼν ὥσπερ ἐσπείσατο, ἐπειδὴ
Hippias later having-brought-in as he-had-agreed when
ἔνδον ἦν, ξυλλαμβάνει καὶ κατατοξεύει.
inside he-was seizes and shoots-down
Κολοφωνίοις δὲ Νότιον παραδίδωσι πλὴν τῶν μηδισάντων. 34.4
to-Colophonians and Notium hands-over except those having-Medized
καὶ ὕστερον Ἀθηναῖοι οἰκιστὰς πέμψαντες κατὰ τοὺς
and later Athenians founders having-sent according-to the
ἑαυτῶν νόμους κατῴκισαν τὸ Νότιον, ξυναγαγόντες πάντας
their-own laws colonized — Notium having-gathered all
ἐκ τῶν πόλεων, εἴ πού τις ἦν Κολοφωνίων.
from the cities if anywhere any was of-Colophonians

35.1 ὁ δὲ Πάχης ἀφικόμενος ἐς τὴν Μυτιλήνην τήν τε
— *and Paches having-arrived at — Mytilene — both*
Πύρραν καὶ Ἔρεσον παρεστήσατο, καὶ Σάλαιθον λαβὼν
Pyrrha and Eresus brought-over and Salaethus having-taken
ἐν τῇ πόλει τὸν Λακεδαιμόνιον κεκρυμμένον ἀποπέμπει
in the city the Lacedaemonian hidden sends-off
ἐς τὰς Ἀθήνας καὶ τοὺς ἐκ τῆς Τενέδου Μυτιληναίων
to — Athens and the from — Tenedos of-Mytilenaeans
ἄνδρας ἅμα οὓς κατέθετο καὶ εἴ τις ἄλλος αὐτῷ
men at-the-same-time whom he-had-deposited and if any other to-him
αἴτιος ἐδόκει εἶναι τῆς ἀποστάσεως·
guilty seemed to-be of-the revolt

35.2 ἀποπέμπει δὲ καὶ τῆς στρατιᾶς τὸ πλέον, τοῖς δὲ
sends-off and also of-the army the greater-part with-the and
λοιποῖς ὑπομένων καθίστατο τὰ περὶ τὴν Μυτιλήνην καὶ
rest remaining he-settled the about — Mytilene and
τὴν ἄλλην Λέσβον ᾗ αὐτῷ ἐδόκει.
the other Lesbos as to-him seemed-good

VII · A DECREE REPENTED

The Athenians kill Salaethus at once. In anger they vote to kill not only the prisoners but every grown man in Mytilene and to enslave the women and children, since the Mytilenaeans revolted without being subjects, and a trireme sails to tell Paches. The next day many repent of so cruel a decision, the Mytilenaean envoys and their friends get the question reopened, and in a second assembly Cleon, the most violent of the citizens and the most persuasive with the people, speaks again.

36.1 ἀφικομένων δὲ τῶν ἀνδρῶν καὶ τοῦ Σαλαίθου οἱ Ἀθηναῖοι
having-arrived and the men and — of-Salaethus the Athenians
τὸν μὲν Σάλαιθον εὐθὺς ἀπέκτειναν, ἔστιν ἃ
— indeed Salaethus at-once killed there-are what-things

παρεχόμενον τά τ᾽ ἄλλα καὶ ἀπὸ Πλαταιῶν (ἔτι γὰρ
offering the both other-things and from Plataea still for
ἐπολιορκοῦντο) ἀπάξειν Πελοποννησίους·
they-were-being-besieged to-lead-away Peloponnesians
περὶ δὲ τῶν ἀνδρῶν γνώμας ἐποιοῦντο, καὶ ὑπὸ ὀργῆς 36.2
about and the men opinions they-made and under anger
ἔδοξεν αὐτοῖς οὐ τοὺς παρόντας μόνον ἀποκτεῖναι,
it-seemed-good to-them not those present only to-kill
ἀλλὰ καὶ τοὺς ἅπαντας Μυτιληναίους ὅσοι ἡβῶσι,
but also the all Mytilenaeans as-many-as are-adult
παῖδας δὲ καὶ γυναῖκας ἀνδραποδίσαι, ἐπικαλοῦντες
children and and women to-enslave charging-against-them
τήν τε ἄλλην ἀπόστασιν ὅτι οὐκ ἀρχόμενοι ὥσπερ οἱ
the both other revolt that not being-ruled as the
ἄλλοι ἐποιήσαντο, καὶ προσξυνελάβοντο οὐκ ἐλάχιστον
others they-had-made-it and contributed not least
τῆς ὁρμῆς αἱ Πελοποννησίων νῆες ἐς Ἰωνίαν ἐκείνοις
of-the impulse the of-Peloponnesians ships to Ionia for-them
βοηθοὶ τολμήσασαι παρακινδυνεῦσαι· οὐ γὰρ ἀπὸ βραχείας
as-helpers having-dared to-run-the-risk not for from short
διανοίας ἐδόκουν τὴν ἀπόστασιν ποιήσασθαι.
deliberation they-seemed the revolt to-have-made
πέμπουσιν οὖν τριήρη ὡς Πάχητα ἄγγελον τῶν δεδογμένων, 36.3
they-send then trireme to Paches as-messenger of-the decisions
κατὰ τάχος κελεύοντες διαχρήσασθαι Μυτιληναίους.
with speed bidding to-destroy Mytilenaeans
καὶ τῇ ὑστεραίᾳ μετάνοιά τις εὐθὺς ἦν αὐτοῖς καὶ 36.4
and on-the next-day repentance some at-once was in-them and
ἀναλογισμὸς ὠμὸν τὸ βούλευμα καὶ μέγα ἐγνῶσθαι,
reconsideration cruel the decision and great to-have-been-resolved
πόλιν ὅλην διαφθεῖραι μᾶλλον ἢ οὐ τοὺς αἰτίους.
city whole to-destroy rather than not the guilty

36.5 ὡς δ' ἤσθοντο τοῦτο τῶν Μυτιληναίων οἱ παρόντες
when and they-perceived this of-the Mytilenaeans the present
πρέσβεις καὶ οἱ αὐτοῖς τῶν Ἀθηναίων ξυμπράσσοντες,
envoys and those to-them of-the Athenians cooperating
παρεσκεύασαν τοὺς ἐν τέλει ὥστε αὖθις γνώμας προθεῖναι·
prepared those in office so-as again opinions to-put-forward
καὶ ἔπεισαν ῥᾷον, διότι καὶ ἐκείνοις ἔνδηλον ἦν
and persuaded more-easily because also to-those evident it-was
βουλόμενον τὸ πλέον τῶν πολιτῶν αὖθίς τινας σφίσιν
wishing the greater-part of-the citizens again some to-them
ἀποδοῦναι βουλεύσασθαι.
to-give to-deliberate

36.6 καταστάσης δ' εὐθὺς ἐκκλησίας ἄλλαι τε γνῶμαι ἀφ'
having-been-convened and at-once assembly other both opinions from
ἑκάστων ἐλέγοντο καὶ Κλέων ὁ Κλεαινέτου, ὅσπερ καὶ τὴν
each were-spoken and Cleon the son-of-Cleaenetus who-very also the
προτέραν ἐνενικήκει ὥστε ἀποκτεῖναι, ὢν καὶ ἐς τὰ ἄλλα
former had-carried so-as to-kill being also in the other-things
βιαιότατος τῶν πολιτῶν τῷ τε δήμῳ παρὰ πολὺ ἐν
most-violent of-the citizens with-the both people by much in
τῷ τότε πιθανώτατος, παρελθὼν αὖθις ἔλεγε τοιάδε.
the at-that-time most-persuasive having-come-forward again spoke as-follows

Cleon says a democracy cannot rule an empire: its empire is a tyranny over unwilling subjects, who obey from fear, not kindness. Worse laws kept fixed make a city stronger than good laws left without force, and plain men govern better than clever ones; the Athenians have become spectators of speeches, admiring novelty and judging deeds by eloquence. The Mytilenaeans, independent and honored, plotted with the enemy, and the people joined them. Pity, the pleasure of words, and fairness are fatal to empire; punish them as they deserve, and every ally will learn that revolt means death.

'Πολλάκις μὲν ἤδη ἔγωγε καὶ ἄλλοτε ἔγνων δημοκρατίαν 37.1
often indeed already I-at-least also at-other-times recognized democracy
ὅτι ἀδύνατόν ἐστιν ἑτέρων ἄρχειν, μάλιστα δ' ἐν τῇ νῦν
that incapable it-is of-others to-rule most but in the present
ὑμετέρᾳ περὶ Μυτιληναίων μεταμελείᾳ.
your about Mytilenaeans repentance
διὰ γὰρ τὸ καθ' ἡμέραν ἀδεὲς καὶ ἀνεπιβούλευτον πρὸς 37.2
because-of for the by day fearlessness and freedom-from-intrigue toward
ἀλλήλους καὶ ἐς τοὺς ξυμμάχους τὸ αὐτὸ ἔχετε, καὶ
one-another also toward the allies the same you-have and
ὅτι ἂν ἢ λόγῳ πεισθέντες ὑπ' αὐτῶν ἁμάρτητε ἢ
whatever — either by-word having-been-persuaded by them you-err or
οἴκτῳ ἐνδῶτε, οὐκ ἐπικινδύνως ἡγεῖσθε ἐς ὑμᾶς καὶ οὐκ
to-pity you-yield not dangerously you-think to yourselves and not
ἐς τὴν τῶν ξυμμάχων χάριν μαλακίζεσθαι, οὐ σκοποῦντες
to the of-the allies favor to-be-soft not considering
ὅτι τυραννίδα ἔχετε τὴν ἀρχὴν καὶ πρὸς ἐπιβουλεύοντας
that tyranny you-hold the empire and over plotting
αὐτοὺς καὶ ἄκοντας ἀρχομένους, οἳ οὐκ ἐξ ὧν ἂν
them and unwilling ruled who not from what —

χαρίζησθε βλαπτόμενοι αὐτοὶ ἀκροῶνται ὑμῶν, ἀλλ' ἐξ
you-favor-them being-harmed yourselves obey you but from
ὧν ἂν ἰσχύι μᾶλλον ἢ τῇ ἐκείνων εὐνοίᾳ περιγένησθε.
what — by-strength rather than by-the their goodwill you-prevail
37.3 πάντων δὲ δεινότατον εἰ βέβαιον ἡμῖν μηδὲν καθεστήξει
of-all and most-terrible if firm for-us nothing will-be-established
ὧν ἂν δόξῃ πέρι, μηδὲ γνωσόμεθα ὅτι χείροσι
of-what — may-seem-good about nor we-shall-recognize that with-worse
νόμοις ἀκινήτοις χρωμένη πόλις κρείσσων ἐστὶν ἢ
laws unchanged using city stronger is than
καλῶς ἔχουσιν ἀκύροις, ἀμαθία τε μετὰ σωφροσύνης
well being invalid ignorance both with moderation
ὠφελιμώτερον ἢ δεξιότης μετὰ ἀκολασίας, οἵ τε
more-useful than cleverness with licentiousness the both
φαυλότεροι τῶν ἀνθρώπων πρὸς τοὺς ξυνετωτέρους ὡς
plainer of-the men compared-to the more-intelligent as
ἐπὶ τὸ πλέον ἄμεινον οἰκοῦσι τὰς πόλεις.
for the more better manage the cities
37.4 οἱ μὲν γὰρ τῶν τε νόμων σοφώτεροι βούλονται φαίνεσθαι
they indeed for than-the both laws wiser wish to-appear
τῶν τε αἰεὶ λεγομένων ἐς τὸ κοινὸν περιγίγνεσθαι,
than-the both always being-spoken for the common-good to-prevail
ὡς ἐν ἄλλοις μείζοσιν οὐκ ἂν δηλώσαντες τὴν γνώμην,
as in other greater-things not — being-able-to-show the opinion
καὶ ἐκ τοῦ τοιούτου τὰ πολλὰ σφάλλουσι τὰς πόλεις·
and from the such-conduct the most they-overthrow the cities
οἱ δ' ἀπιστοῦντες τῇ ἐξ αὐτῶν ξυνέσει ἀμαθέστεροι
they but distrusting the from themselves intelligence more-ignorant
μὲν τῶν νόμων ἀξιοῦσιν εἶναι, ἀδυνατώτεροι δὲ τοῦ
indeed than-the laws think-themselves to-be less-able and the

καλῶς εἰπόντος μέμψασθαι λόγον, κριταὶ δὲ ὄντες ἀπὸ
well having-spoken to-find-fault-with speech judges but being on
τοῦ ἴσου μᾶλλον ἢ ἀγωνισταὶ ὀρθοῦνται τὰ πλείω.
the equal rather than competitors succeed the more
ὡς οὖν χρὴ καὶ ἡμᾶς ποιοῦντας μὴ δεινότητι καὶ 37.5
so then it-is-necessary also us doing not by-cleverness and
ξυνέσεως ἀγῶνι ἐπαιρομένους παρὰ δόξαν τῷ ὑμετέρῳ
of-intelligence by-contest being-elated contrary-to judgment to-the your
πλήθει παραινεῖν.
multitude to-advise
‘Ἐγὼ μὲν οὖν ὁ αὐτός εἰμι τῇ γνώμῃ καὶ θαυμάζω 38.1
I indeed then the same am in-the opinion and I-wonder
μὲν τῶν προθέντων αὖθις περὶ Μυτιληναίων λέγειν καὶ
indeed at-those having-proposed again about Mytilenaeans to-speak and
χρόνου διατριβὴν ἐμποιησάντων, ὅ ἐστι πρὸς τῶν
of-time delay having-caused which is in-favor of-those
ἠδικηκότων μᾶλλον (ὁ γὰρ παθὼν τῷ δράσαντι
having-done-wrong rather the for having-suffered against-the having-done
ἀμβλυτέρᾳ τῇ ὀργῇ ἐπεξέρχεται, ἀμύνεσθαι δὲ τῷ
with-blunter the anger proceeds to-retaliate and to-the
παθεῖν ὅτι ἐγγυτάτω κείμενον ἀντίπαλον ὂν μάλιστα
to-suffer as nearest lying matched being most
τὴν τιμωρίαν ἀναλαμβάνει), θαυμάζω δὲ καὶ ὅστις ἔσται
the vengeance recovers I-wonder and also whoever will-be
ὁ ἀντερῶν καὶ ἀξιώσων ἀποφαίνειν τὰς μὲν
the-one going-to-speak-against and going-to-claim to-show the indeed
Μυτιληναίων ἀδικίας ἡμῖν ὠφελίμους οὔσας, τὰς δ’
of-Mytilenaeans wrongs to-us beneficial being the but
ἡμετέρας ξυμφορὰς τοῖς ξυμμάχοις βλάβας καθισταμένας.
our misfortunes to-the allies harms becoming

38.2 καὶ δῆλον ὅτι ἢ τῷ λέγειν πιστεύσας τὸ πάνυ δοκοῦν
and clear that either in-the to-speak having-trusted the quite seeming
ἀνταποφῆναι ὡς οὐκ ἔγνωσται ἀγωνίσαιτ᾽ ἄν, ἢ κέρδει
to-disprove as not has-been-decided he-would-contend — or by-gain
ἐπαιρόμενος τὸ εὐπρεπὲς τοῦ λόγου ἐκπονήσας παράγειν
being-elated the specious of-the speech having-elaborated to-mislead
πειράσεται.
will-try

38.3 ἡ δὲ πόλις ἐκ τῶν τοιῶνδε ἀγώνων τὰ μὲν ἆθλα
the and city from the such contests the indeed prizes
ἑτέροις δίδωσιν, αὐτὴ δὲ τοὺς κινδύνους ἀναφέρει.
to-others gives itself but the dangers takes-on

38.4 αἴτιοι δ᾽ ὑμεῖς κακῶς ἀγωνοθετοῦντες, οἵτινες εἰώθατε
responsible and you badly presiding-over-the-games who are-accustomed
θεαταὶ μὲν τῶν λόγων γίγνεσθαι, ἀκροαταὶ δὲ τῶν ἔργων,
spectators indeed of-the words to-become hearers but of-the deeds
τὰ μὲν μέλλοντα ἔργα ἀπὸ τῶν εὖ εἰπόντων σκοποῦντες
the indeed future deeds from those well having-spoken considering
ὡς δυνατὰ γίγνεσθαι, τὰ δὲ πεπραγμένα ἤδη, οὐ τὸ
as possible to-happen the but done already not the
δρασθὲν πιστότερον ὄψει λαβόντες ἢ τὸ ἀκουσθέν, ἀπὸ
deed more-credible by-sight taking than the heard from
τῶν λόγῳ καλῶς ἐπιτιμησάντων·
those in-word finely having-censured

38.5 καὶ μετὰ καινότητος μὲν λόγου ἀπατᾶσθαι ἄριστοι,
and with novelty indeed of-argument to-be-deceived best
μετὰ δεδοκιμασμένου δὲ μὴ ξυνέπεσθαι ἐθέλειν, δοῦλοι
with tested but not to-follow to-be-willing slaves
ὄντες τῶν αἰεὶ ἀτόπων, ὑπερόπται δὲ τῶν εἰωθότων,
being of-the always strange despisers but of-the customary

καὶ μάλιστα μὲν αὐτὸς εἰπεῖν ἕκαστος βουλόμενος δύνασθαι, 38.6
and most indeed himself to-speak each wishing to-be-able
εἰ δὲ μή, ἀνταγωνιζόμενοι τοῖς τοιαῦτα λέγουσι μὴ ὕστεροι
if but not competing-with those such-things saying not behind
ἀκολουθῆσαι δοκεῖν τῇ γνώμῃ, ὀξέως δέ τι λέγοντος
to-follow to-seem in-the thought sharply but something (one)-saying
προεπαινέσαι, καὶ προαισθέσθαι τε πρόθυμοι εἶναι τὰ
to-praise-beforehand and to-perceive-beforehand both eager to-be the
λεγόμενα καὶ προνοῆσαι βραδεῖς τὰ ἐξ αὐτῶν ἀποβησόμενα,
things-said and to-foresee slow the from them going-to-result
ζητοῦντές τε ἄλλο τι ὡς εἰπεῖν ἢ ἐν οἷς ζῶμεν, 38.7
seeking both other something as to-say than in which we-live
φρονοῦντες δὲ οὐδὲ περὶ τῶν παρόντων ἱκανῶς· ἁπλῶς
thinking but not-even about the present sufficiently simply
τε ἀκοῆς ἡδονῇ ἡσσώμενοι καὶ σοφιστῶν θεαταῖς
both of-hearing by-pleasure overcome and of-sophists spectators
ἐοικότες καθημένοις μᾶλλον ἢ περὶ πόλεως βουλευομένοις.
like sitting rather than about city deliberating
Ὧν ἐγὼ πειρώμενος ἀποτρέπειν ὑμᾶς ἀποφαίνω 39.1
from-which I trying to-turn-away you I-show
Μυτιληναίους μάλιστα δὴ μίαν πόλιν ἠδικηκότας ὑμᾶς.
Mytilenaeans most indeed one city having-wronged you
ἐγὼ γάρ, οἵτινες μὲν μὴ δυνατοὶ φέρειν τὴν ὑμετέραν ἀρχὴν 39.2
I for those-who indeed not able to-bear the your rule
ἢ οἵτινες ὑπὸ τῶν πολεμίων ἀναγκασθέντες ἀπέστησαν,
or those-who by the enemies compelled revolted
ξυγγνώμην ἔχω· νῆσον δὲ οἵτινες ἔχοντες μετὰ τειχῶν
forgiveness have island but who holding with walls
καὶ κατὰ θάλασσαν μόνον φοβούμενοι τοὺς ἡμετέρους
and by sea only fearing the our
πολεμίους, ἐν ᾧ καὶ αὐτοὶ τριήρων παρασκευῇ οὐκ
enemies in which also themselves of-triremes by-equipment not

ἄφαρκτοι ἦσαν πρὸς αὐτούς, αὐτόνομοί τε οἰκοῦντες καὶ
unfenced were against them independent both living and
τιμώμενοι ἐς τὰ πρῶτα ὑπὸ ἡμῶν τοιαῦτα εἰργάσαντο, τί
honored in the first-place by us such-things they-did what
ἄλλο οὗτοι ἢ ἐπεβούλευσάν τε καὶ ἐπανέστησαν μᾶλλον
else these than plotted both and rose-up rather
ἢ ἀπέστησαν (ἀπόστασις μέν γε τῶν βίαιόν τι
than revolted revolt indeed at-least of-those violent something
πασχόντων ἐστίν), ἐζήτησάν τε μετὰ τῶν πολεμιωτάτων
suffering is they-sought both with the most-hostile
ἡμᾶς στάντες διαφθεῖραι; καίτοι δεινότερόν ἐστιν ἢ εἰ
us having-stood to-destroy and-yet more-terrible it-is than if
καθ' αὑτοὺς δύναμιν κτώμενοι ἀντεπολέμησαν.
by themselves power acquiring they-had-made-war

39.3 παράδειγμα δὲ αὐτοῖς οὔτε αἱ τῶν πέλας ξυμφοραὶ
example and to-them neither the of-the neighbors misfortunes
ἐγένοντο, ὅσοι ἀποστάντες ἤδη ἡμῶν ἐχειρώθησαν,
became as-many-as having-revolted already from-us were-subdued
οὔτε ἡ παροῦσα εὐδαιμονία παρέσχεν ὄκνον μὴ ἐλθεῖν
nor the present prosperity provided hesitation not to-come
ἐς τὰ δεινά· γενόμενοι δὲ πρὸς τὸ μέλλον θρασεῖς καὶ
into the dangers having-become but toward the future bold and
ἐλπίσαντες μακρότερα μὲν τῆς δυνάμεως, ἐλάσσω δὲ
having-hoped farther indeed than-the power less but
τῆς βουλήσεως, πόλεμον ἤραντο, ἰσχὺν ἀξιώσαντες
than-the will war they-took-up strength having-thought-fit
τοῦ δικαίου προθεῖναι· ἐν ᾧ γὰρ ᾠήθησαν περιέσεσθαι,
than-the just to-prefer in which for they-thought to-prevail
ἐπέθεντο ἡμῖν οὐκ ἀδικούμενοι.
they-attacked us not being-wronged

εἴωθε δὲ τῶν πόλεων αἷς ἂν μάλιστα καὶ δι᾽ 39.4
is-wont and of-the cities to-which — most and through
ἐλαχίστου ἀπροσδόκητος εὐπραγία ἔλθῃ, ἐς ὕβριν τρέπειν·
least unexpected prosperity comes into insolence to-turn
τὰ δὲ πολλὰ κατὰ λόγον τοῖς ἀνθρώποις εὐτυχοῦντα
the and most-things according-to reason for-the men succeeding
ἀσφαλέστερα ἢ παρὰ δόξαν, καὶ κακοπραγίαν ὡς
safer than contrary-to expectation and adversity as
εἰπεῖν ῥᾷον ἀπωθοῦνται ἢ εὐδαιμονίαν διασῴζονται.
to-say more-easily they-repel than prosperity preserve
χρῆν δὲ Μυτιληναίους καὶ πάλαι μηδὲν διαφερόντως 39.5
it-was-right and Mytilenaeans even long-ago nothing differently
τῶν ἄλλων ὑφ᾽ ἡμῶν τετιμῆσθαι, καὶ οὐκ ἂν ἐς τόδε
than-the others by us to-have-been-honored and not — into this
ἐξύβρισαν· πέφυκε γὰρ καὶ ἄλλως ἄνθρωπος τὸ
they-would-have-run-insolent is-born for also otherwise man the
μὲν θεραπεῦον ὑπερφρονεῖν, τὸ δὲ μὴ ὑπεῖκον θαυμάζειν.
indeed courting to-despise the but not yielding to-admire
κολασθέντων δὲ καὶ νῦν ἀξίως τῆς ἀδικίας, καὶ μὴ τοῖς μὲν 39.6
let-them-be-punished and also now worthily of-the wrong and not to-the indeed
ὀλίγοις ἡ αἰτία προστεθῇ, τὸν δὲ δῆμον ἀπολύσητε. πάντες
few the blame be-attached the but people you-acquit all
γὰρ ὑμῖν γε ὁμοίως ἐπέθεντο, οἷς γ᾽ ἐξῆν ὡς
for you at-least alike attacked to-whom at-least it-was-possible to
ἡμᾶς τραπομένοις νῦν πάλιν ἐν τῇ πόλει εἶναι· ἀλλὰ τὸν μετὰ
us having-turned now again in the city to-be but the with
τῶν ὀλίγων κίνδυνον ἡγησάμενοι βεβαιότερον ξυναπέστησαν.
the few danger having-thought more-secure joined-in-the-revolt
τῶν τε ξυμμάχων σκέψασθε εἰ τοῖς τε ἀναγκασθεῖσιν 39.7
of-the both allies consider if to-those both compelled
ὑπὸ τῶν πολεμίων καὶ τοῖς ἑκοῦσιν ἀποστᾶσι τὰς
by the enemies and to-those willingly having-revolted the

αὐτὰς ζημίας προσθήσετε, τίνα οἴεσθε ὄντινα οὐ
same penalties you-will-impose whom do-you-think who not
βραχείᾳ προφάσει ἀποστήσεσθαι, ὅταν ἢ κατορθώσαντι
on-slight pretext will-revolt when either succeeding
ἐλευθέρωσις ᾖ ἢ σφαλέντι μηδὲν παθεῖν ἀνήκεστον;
freedom is or failing nothing to-suffer irreparable
39.8 ἡμῖν δὲ πρὸς ἑκάστην πόλιν ἀποκεκινδυνεύσεται τά
for-us but against each city will-have-been-risked the
τε χρήματα καὶ αἱ ψυχαί, καὶ τυχόντες μὲν πόλιν
both money and the lives and having-succeeded indeed city
ἐφθαρμένην παραλαβόντες τῆς ἔπειτα προσόδου, δι᾽
ruined having-received of-the subsequent revenue because-of
ἣν ἰσχύομεν, τὸ λοιπὸν στερήσεσθε, σφαλέντες δὲ
which we-are-strong the rest-of-the-time you-will-be-deprived having-failed but
πολεμίους πρὸς τοῖς ὑπάρχουσιν ἕξομεν, καὶ ὃν
enemies in-addition-to the existing we-will-have and which
χρόνον τοῖς νῦν καθεστηκόσι δεῖ ἐχθροῖς ἀνθίστασθαι,
time with-the now established one-must enemies to-stand-against
τοῖς οἰκείοις ξυμμάχοις πολεμήσομεν.
with-the own allies we-will-make-war
40.1 Ὅὔκουν δεῖ προθεῖναι ἐλπίδα οὔτε λόγῳ πιστὴν οὔτε
therefore-not one-must to-hold-out hope neither by-word trustworthy nor
χρήμασιν ὠνητήν, ὡς ξυγγνώμην ἁμαρτεῖν ἀνθρωπίνως
by-money purchasable as forgiveness to-err humanly
λήψονται. ἄκοντες μὲν γὰρ οὐκ ἔβλαψαν, εἰδότες δὲ
they-will-receive unwilling indeed for not they-harmed knowing but
ἐπεβούλευσαν· ξύγγνωμον δ᾽ ἐστὶ τὸ ἀκούσιον.
they-plotted forgivable and is the involuntary
40.2 ἐγὼ μὲν οὖν καὶ τότε πρῶτον καὶ νῦν διαμάχομαι μὴ
I indeed then both then first and now contend not
μεταγνῶναι ὑμᾶς τὰ προδεδογμένα, μηδὲ τρισὶ τοῖς
to-change-your-mind you the previously-decided nor to-three the

ἀξυμφορωτάτοις τῇ ἀρχῇ, οἴκτῳ καὶ ἡδονῇ λόγων καὶ
most-disadvantageous to-the empire pity and pleasure of-words and
ἐπιεικείᾳ, ἁμαρτάνειν.
equity to-err
ἔλεός τε γὰρ πρὸς τοὺς ὁμοίους δίκαιος ἀντιδίδοσθαι, 40.3
pity both for toward the like just to-be-given-in-return
καὶ μὴ πρὸς τοὺς οὔτ' ἀντοικτιοῦντας ἐξ ἀνάγκης τε
and not toward the neither pitying-in-return of necessity both
καθεστῶτας αἰεὶ πολεμίους· οἵ τε τέρποντες λόγῳ ῥήτορες
established always enemies the both delighting by-word orators
ἔξουσι καὶ ἐν ἄλλοις ἐλάσσοσιν ἀγῶνα, καὶ μὴ ἐν ᾧ
will-have also in other lesser contest and not in which
ἡ μὲν πόλις βραχέα ἡσθεῖσα μεγάλα ζημιώσεται,
the indeed city briefly having-been-pleased greatly will-be-penalized
αὐτοὶ δὲ ἐκ τοῦ εὖ εἰπεῖν τὸ παθεῖν εὖ ἀντιλήψονται·
themselves but from the well to-speak the to-be-treated well will-receive-in-return
καὶ ἡ ἐπιείκεια πρὸς τοὺς μέλλοντας ἐπιτηδείους καὶ τὸ
and the equity toward those going-to-be friendly also the
λοιπὸν ἔσεσθαι μᾶλλον δίδοται ἢ πρὸς τοὺς ὁμοίους
rest-of-the-time to-be rather is-given than toward the like
τε καὶ οὐδὲν ἧσσον πολεμίους ὑπολειπομένους.
both and nothing less enemies remaining
ἕν τε ξυνελὼν λέγω· πειθόμενοι μὲν ἐμοὶ τά τε 40.4
one-thing both summing-up I-say obeying indeed me the both
δίκαια ἐς Μυτιληναίους καὶ τὰ ξύμφορα ἅμα
just-things toward Mytilenaeans and the expedient-things at-the-same-time
ποιήσετε, ἄλλως δὲ γνόντες τοῖς μὲν οὐ χαριεῖσθε,
you-will-do otherwise but having-decided to-them indeed not you-will-gratify
ὑμᾶς δὲ αὐτοὺς μᾶλλον δικαιώσεσθε. εἰ γὰρ οὗτοι ὀρθῶς
you but yourselves rather you-will-condemn if for these rightly
ἀπέστησαν, ὑμεῖς ἂν οὐ χρεὼν ἄρχοιτε. εἰ δὲ δὴ καὶ οὐ
revolted you — not rightly would-rule if but indeed even not

προσῆκον ὅμως ἀξιοῦτε τοῦτο δρᾶν, παρὰ τὸ εἰκός
fitting nevertheless you-think-fit this to-do contrary-to the reasonable
τοι καὶ τούσδε ξυμφόρως δεῖ κολάζεσθαι, ἢ παύεσθαι
surely also these expediently it-is-necessary to-be-punished or to-cease
τῆς ἀρχῆς καὶ ἐκ τοῦ ἀκινδύνου ἀνδραγαθίζεσθαι.
from-the empire and from the safety to-play-the-good-man
40.5 τῇ τε αὐτῇ ζημίᾳ ἀξιώσατε ἀμύνασθαι καὶ μὴ
with-the both same penalty think-fit to-retaliate and not
ἀναλγητότεροι οἱ διαφεύγοντες τῶν ἐπιβουλευσάντων
less-feeling the escaping than-those having-plotted
φανῆναι, ἐνθυμηθέντες ἃ εἰκὸς ἦν αὐτοὺς ποιῆσαι
to-appear considering what likely was them to-do
κρατήσαντας ὑμῶν, ἄλλως τε καὶ προϋπάρξαντας ἀδικίας.
having-mastered you otherwise both and having-begun of-wrong
40.6 μάλιστα δὲ οἱ μὴ ξὺν προφάσει τινὰ κακῶς ποιοῦντες
most and those not with pretext anyone badly treating
ἐπεξέρχονται καὶ διολλύναι, τὸν κίνδυνον ὑφορώμενοι τοῦ
pursue and to-destroy the danger suspecting of-the
ὑπολειπομένου ἐχθροῦ· ὁ γὰρ μὴ ξὺν ἀνάγκῃ τι
surviving enemy the-one for not with necessity anything
παθὼν χαλεπώτερος διαφυγὼν τοῦ ἀπὸ τῆς ἴσης ἐχθροῦ.
having-suffered more-dangerous having-escaped than-the from the equal enemy
40.7 Μὴ οὖν προδόται γένησθε ὑμῶν αὐτῶν, γενόμενοι δ' ὅτι
not then traitors become of-you yourselves having-come but as
ἐγγύτατα τῇ γνώμῃ τοῦ πάσχειν καὶ ὡς πρὸ παντὸς
nearest in-the thought to-the to-suffer and how above everything
ἂν ἐτιμήσασθε αὐτοὺς χειρώσασθαι, νῦν ἀνταπόδοτε
— you-would-have-valued them to-subdue now repay
μὴ μαλακισθέντες πρὸς τὸ παρὸν αὐτίκα μηδὲ τοῦ
not having-become-soft at the present moment nor the
ἐπικρεμασθέντος ποτὲ δεινοῦ ἀμνημονοῦντες.
having-hung-over once danger forgetting

κολάσατε δὲ ἀξίως τούτους τε καὶ τοῖς ἄλλοις ξυμμάχοις 40.8
punish and worthily these both and to-the other allies
παράδειγμα σαφὲς καταστήσατε, ὃς ἂν ἀφιστῆται, θανάτῳ
example clear establish whoever — revolts by-death
ζημιωσόμενον. τόδε γὰρ ἦν γνῶσιν, ἧσσον τῶν πολεμίων
being-going-to-be-punished this for if they-know less the enemies
ἀμελήσαντες τοῖς ὑμετέροις αὐτῶν μαχεῖσθε ξυμμάχοις.'
having-neglected with-the your own you-will-fight allies

IX · DIODOTUS' REPLY

Diodotus says haste and anger are the enemies of good counsel, and that a speaker accused of bribery cannot advise freely, so the city loses. He argues not justice but advantage: the death penalty has never deterred crime, since hope and desire lead men into danger, and a city with no hope of terms will fight to the end and leave a ruin. Killing the common people of Mytilene, who handed over the city, would drive the commons everywhere into the oligarchs' arms. Judge the guilty Paches sent at leisure, he urges, and let the rest live.

τοιαῦτα μὲν ὁ Κλέων εἶπεν· μετὰ δ' αὐτὸν Διόδοτος ὁ 41.1
such-things indeed — Cleon said after and him Diodotus the
Εὐκράτους, ὅσπερ καὶ ἐν τῇ προτέρᾳ ἐκκλησίᾳ ἀντέλεγε
son-of-Eucrates who-very also in the former assembly spoke-against
μάλιστα μὴ ἀποκτεῖναι Μυτιληναίους, παρελθὼν καὶ
most not to-kill Mytilenaeans having-come-forward also
τότε ἔλεγε τοιάδε.
then spoke as-follows
'Οὔτε τοὺς προθέντας τὴν διαγνώμην αὖθις περὶ 42.1
neither those having-proposed the debate again about
Μυτιληναίων αἰτιῶμαι, οὔτε τοὺς μεμφομένους μὴ πολλάκις
Mytilenaeans I-blame nor those finding-fault not often

περὶ τῶν μεγίστων βουλεύεσθαι ἐπαινῶ, νομίζω δὲ δύο
about the greatest-things to-deliberate I-praise I-think and two
τὰ ἐναντιώτατα εὐβουλίᾳ εἶναι, τάχος τε καὶ ὀργήν,
the most-opposed to-good-counsel to-be haste both and anger
ὧν τὸ μὲν μετὰ ἀνοίας φιλεῖ γίγνεσθαι, τὸ δὲ
of-which the-one indeed with folly is-wont to-arise the-other and
μετὰ ἀπαιδευσίας καὶ βραχύτητος γνώμης.
with lack-of-education and narrowness of-mind
42.2 τούς τε λόγους ὅστις διαμάχεται μὴ διδασκάλους τῶν
the both words whoever contends not teachers of-the
πραγμάτων γίγνεσθαι, ἢ ἀξύνετός ἐστιν ἢ ἰδίᾳ τι
affairs to-become either unintelligent is or privately something
αὐτῷ διαφέρει· ἀξύνετος μέν, εἰ ἄλλῳ τινὶ ἡγεῖται περὶ τοῦ
to-him matters unintelligent indeed if by-other any he-thinks about the
μέλλοντος δυνατὸν εἶναι καὶ μὴ ἐμφανοῦς φράσαι, διαφέρει
future possible to-be and not visible to-explain it-matters
δ' αὐτῷ, εἰ βουλόμενός τι αἰσχρὸν πεῖσαι εὖ μὲν εἰπεῖν
and to-him if wishing something shameful to-persuade well indeed to-speak
οὐκ ἂν ἡγεῖται περὶ τοῦ μὴ καλοῦ δύνασθαι, εὖ δὲ διαβαλὼν
not — he-thinks about the not honorable to-be-able well but having-slandered
ἐκπλῆξαι ἂν τούς τε ἀντεροῦντας καὶ τοὺς ἀκουσομένους.
to-frighten — the both going-to-speak-against and those going-to-hear
42.3 χαλεπώτατοι δὲ καὶ οἱ ἐπὶ χρήμασι προσκατηγοροῦντες
most-grievous and also those for money accusing-besides
ἐπίδειξίν τινα. εἰ μὲν γὰρ ἀμαθίαν κατῃτιῶντο, ὁ μὴ
display some if indeed for ignorance they-charged the-one not
πείσας ἀξυνετώτερος ἂν δόξας εἶναι ἢ ἀδικώτερος
having-persuaded more-unintelligent — having-seemed to-be than more-unjust
ἀπεχώρει· ἀδικίας δ' ἐπιφερομένης πείσας τε ὕποπτος
would-depart of-injustice but being-imputed having-persuaded both suspected
γίγνεται καὶ μὴ τυχὼν μετὰ ἀξυνεσίας καὶ ἄδικος.
becomes and not having-succeeded with unintelligence also unjust

ἥ τε πόλις οὐκ ὠφελεῖται ἐν τῷ τοιῷδε· φόβῳ γὰρ 42.4
the both city not is-benefited in the such by-fear for
ἀποστερεῖται τῶν ξυμβούλων. καὶ πλεῖστ' ἂν ὀρθοῖτο
it-is-deprived of-the advisers and most — would-succeed
ἀδυνάτους λέγειν ἔχουσα τοὺς τοιούτους τῶν πολιτῶν·
unable to-speak having the such of-the citizens
ἐλάχιστα γὰρ ἂν πεισθεῖεν ἁμαρτάνειν.
least for — they-would-be-persuaded to-err
χρὴ δὲ τὸν μὲν ἀγαθὸν πολίτην μὴ ἐκφοβοῦντα 42.5
it-is-necessary and the indeed good citizen not frightening
τοὺς ἀντεροῦντας, ἀλλ' ἀπὸ τοῦ ἴσου φαίνεσθαι ἄμεινον
those going-to-speak-against but from the equal to-appear better
λέγοντα, τὴν δὲ σώφρονα πόλιν τῷ τε πλεῖστα εὖ
speaking the and prudent city to-the both most well
βουλεύοντι μὴ προστιθέναι τιμήν, ἀλλὰ μηδ' ἐλασσοῦν
advising not to-add honor but not-even to-diminish
τῆς ὑπαρχούσης, καὶ τὸν μὴ τυχόντα γνώμης οὐχ ὅπως
of-the existing and the not having-hit-on opinion not only
ζημιοῦν ἀλλὰ μηδ' ἀτιμάζειν.
to-punish but not-even to-dishonor
οὕτω γὰρ ὅ τε κατορθῶν ἥκιστα ἂν ἐπὶ τῷ ἔτι 42.6
so for the-one both succeeding least — for the still
μειζόνων ἀξιοῦσθαι παρὰ γνώμην τι καὶ πρὸς
greater-things to-be-thought-worthy contrary-to judgment anything and for
χάριν λέγοι, ὅ τε μὴ ἐπιτυχὼν ὀρέγοιτο τῷ αὐτῷ
favor would-speak the-one both not having-succeeded would-strive by-the same
χαριζόμενός τι καὶ αὐτὸς προσάγεσθαι τὸ πλῆθος.
gratifying something also himself to-win-over the multitude
῾Ων ἡμεῖς τἀναντία δρῶμεν, καὶ προσέτι ἤν τις καὶ 43.1
of-which we the-opposite do and besides if anyone even
ὑποπτεύηται κέρδους μὲν ἕνεκα τὰ βέλτιστα δὲ ὅμως
be-suspected of-gain indeed for-the-sake the best but nevertheless

λέγειν, φθονήσαντες τῆς οὐ βεβαίου δοκήσεως τῶν κερδῶν
to-speak having-grudged of-the not firm supposition of-the gains
τὴν φανερὰν ὠφελίαν τῆς πόλεως ἀφαιρούμεθα.
the evident benefit of-the city we-take-away

43.2 καθέστηκε δὲ τἀγαθὰ ἀπὸ τοῦ εὐθέος λεγόμενα
it-has-become-established and the-good-things from the straightforward spoken
μηδὲν ἀνυποπτότερα εἶναι τῶν κακῶν, ὥστε δεῖν
nothing less-suspected to-be than-the bad-things so-that to-be-necessary
ὁμοίως τόν τε τὰ δεινότατα βουλόμενον πεῖσαι ἀπάτῃ
alike the both the most-terrible-things wishing to-persuade by-deceit
προσάγεσθαι τὸ πλῆθος καὶ τὸν τὰ ἀμείνω λέγοντα
to-win-over the multitude and the the better-things saying
ψευσάμενον πιστὸν γενέσθαι.
having-lied trusted to-become

43.3 μόνην τε πόλιν διὰ τὰς περινοίας εὖ ποιῆσαι ἐκ
alone both city because-of the over-subtleties well to-treat from
τοῦ προφανοῦς μὴ ἐξαπατήσαντα ἀδύνατον· ὁ γὰρ διδοὺς
the open not having-deceived impossible the for giving
φανερῶς τι ἀγαθὸν ἀνθυποπτεύεται ἀφανῶς πῃ
openly anything good is-suspected-in-return secretly somehow
πλέον ἕξειν.
more to-get

43.4 χρὴ δὲ πρὸς τὰ μέγιστα καὶ ἐν τῷ τοιῷδε ἀξιοῦν
it-is-necessary and in-regard-to the greatest-things and in the such to-expect
τι ἡμᾶς περαιτέρω προνοοῦντας λέγειν ὑμῶν τῶν
something us further looking-ahead to-speak than-you those
δι' ὀλίγου σκοπούντων, ἄλλως τε καὶ ὑπεύθυνον τὴν
through short considering otherwise both and accountable the
παραίνεσιν ἔχοντας πρὸς ἀνεύθυνον τὴν ὑμετέραν ἀκρόασιν.
advice having in-face-of unaccountable the your hearing

εἰ γὰρ ὅ τε πείσας καὶ ὁ ἐπισπόμενος ὁμοίως 43.5
if for the-one both having-persuaded and the-one having-followed alike
ἐβλάπτοντο, σωφρονέστερον ἂν ἐκρίνετε· νῦν δὲ πρὸς
were-harmed more-prudently — you-would-judge now but according-to
ὀργὴν ἥντινα τύχητε ἔστιν ὅτε σφαλέντες τὴν τοῦ
anger whatever you-happen there-are when having-failed the of-the
πείσαντος μίαν γνώμην ζημιοῦτε καὶ οὐ τὰς ὑμετέρας
having-persuaded one opinion you-punish and not the your
αὐτῶν, εἰ πολλαὶ οὖσαι ξυνεξήμαρτον.
own if many being they-erred-together
Ἐγὼ δὲ παρῆλθον οὔτε ἀντερῶν περὶ Μυτιληναίων 44.1
I and came-forward neither going-to-speak-against about Mytilenaeans
οὔτε κατηγορήσων. οὐ γὰρ περὶ τῆς ἐκείνων ἀδικίας ἡμῖν ὁ
nor going-to-accuse not for about the their wrongdoing for-us the
ἀγών, εἰ σωφρονοῦμεν, ἀλλὰ περὶ τῆς ἡμετέρας εὐβουλίας.
contest if we-are-sensible but about the our good-counsel
ἦν τε γὰρ ἀποφήνω πάνυ ἀδικοῦντας αὐτούς, οὐ διὰ 44.2
if both for I-show quite doing-wrong them not for
τοῦτο καὶ ἀποκτεῖναι κελεύσω, εἰ μὴ ξυμφέρον, ἦν τε
this also to-kill I-will-bid if not expedient if and
καὶ ἔχοντάς τι ξυγγνώμης †εἶεν†, εἰ τῇ πόλει μὴ
also having somewhat of-forgiveness they-should-be if to-the city not
ἀγαθὸν φαίνοιτο.
good it-should-appear
νομίζω δὲ περὶ τοῦ μέλλοντος ἡμᾶς μᾶλλον βουλεύεσθαι ἢ 44.3
I-think and about the future us rather to-deliberate than
τοῦ παρόντος. καὶ τοῦτο ὃ μάλιστα Κλέων ἰσχυρίζεται, ἐς
the present and this which most Cleon maintains for
τὸ λοιπὸν ξυμφέρον ἔσεσθαι πρὸς τὸ ἧσσον ἀφίστασθαι
the rest-of-the-time expedient to-be toward the less to-revolt

θάνατον ζημίαν προθεῖσι, καὶ αὐτὸς περὶ τοῦ ἐς τὸ
death penalty to-those-having-set and myself about the for the
μέλλον καλῶς ἔχοντος ἀντισχυριζόμενος τἀναντία γιγνώσκω.
future well being maintaining the-opposite I-judge

44.4 καὶ οὐκ ἀξιῶ ὑμᾶς τῷ εὐπρεπεῖ τοῦ ἐκείνου λόγου
and not I-think-it-right you by-the speciousness of-the his speech
τὸ χρήσιμον τοῦ ἐμοῦ ἀπώσασθαι. δικαιότερος γὰρ ὢν
the useful of-the mine to-reject more-just for being
αὐτοῦ ὁ λόγος πρὸς τὴν νῦν ὑμετέραν ὀργὴν ἐς
his the speech in-view-of the present your anger toward
Μυτιληναίους τάχ᾽ ἂν ἐπισπάσαιτο· ἡμεῖς δὲ οὐ δικαζόμεθα
Mytilenaeans perhaps — it-might-attract we but not are-litigating
πρὸς αὐτούς, ὥστε τῶν δικαίων δεῖν, ἀλλὰ βουλευόμεθα
against them so-that of-the just-things to-need but we-deliberate
περὶ αὐτῶν, ὅπως χρησίμως ἕξουσιν.
about them how usefully they-will-be

45.1 ‘Ἐν οὖν ταῖς πόλεσι πολλῶν θανάτου ζημίαι πρόκεινται,
in then the cities for-many of-death penalties are-set
καὶ οὐκ ἴσων τῷδε, ἀλλ᾽ ἐλασσόνων ἁμαρτημάτων· ὅμως
and not equal to-this but lesser offenses nevertheless
δὲ τῇ ἐλπίδι ἐπαιρόμενοι κινδυνεύουσι, καὶ οὐδείς πω
and by-the hope being-elated they-run-risks and no-one yet
καταγνοὺς ἑαυτοῦ μὴ περιέσεσθαι τῷ ἐπιβουλεύματι
having-condemned himself not to-survive the plot
ἦλθεν ἐς τὸ δεινόν.
came into the danger

45.2 πόλις τε ἀφισταμένη τίς πω ἥσσω τῇ δοκήσει ἔχουσα
city both revolting which ever weaker in-the supposition having
τὴν παρασκευὴν ἢ οἰκείαν ἢ ἄλλων ξυμμαχίᾳ τούτῳ
the preparation either own or of-others by-alliance this
ἐπεχείρησεν;
attempted

πεφύκασί τε ἅπαντες καὶ ἰδίᾳ καὶ δημοσίᾳ ἁμαρτάνειν, καὶ 45.3
are-by-nature both all both privately and publicly to-err and
οὐκ ἔστι νόμος ὅστις ἀπείρξει τούτου, ἐπεὶ διεξεληλύθασί
not there-is law which will-keep-from this since have-gone-through
γε διὰ πασῶν τῶν ζημιῶν οἱ ἄνθρωποι προστιθέντες, εἴ
at-least through all the penalties the men adding if
πως ἧσσον ἀδικοῖντο ὑπὸ τῶν κακούργων. καὶ εἰκὸς τὸ
somehow less they-might-be-wronged by the wrongdoers and likely the
πάλαι τῶν μεγίστων ἀδικημάτων μαλακωτέρας κεῖσθαι
long-ago for-the greatest wrongs milder to-have-been-set
αὐτάς, παραβαινομένων δὲ τῷ χρόνῳ ἐς τὸν θάνατον
them being-transgressed and in-the time to the death
αἱ πολλαὶ ἀνήκουσιν· καὶ τοῦτο ὅμως παραβαίνεται.
the most have-come-up and this nevertheless is-transgressed
ἢ τοίνυν δεινότερόν τι τούτου δέος εὑρετέον ἐστὶν 45.4
either therefore more-terrible some than-this fear to-be-found is
ἢ τόδε γε οὐδὲν ἐπίσχει, ἀλλ᾽ ἡ μὲν πενία ἀνάγκῃ
or this at-least nothing restrains but the indeed poverty by-necessity
τὴν τόλμαν παρέχουσα, ἡ δ᾽ ἐξουσία ὕβρει τὴν
the daring providing the and power by-insolence the
πλεονεξίαν καὶ φρονήματι, αἱ δ᾽ ἄλλαι ξυντυχίαι ὀργῇ
greed and pride the and other conditions by-passion
τῶν ἀνθρώπων ὡς ἑκάστη τις κατέχεται ὑπ᾽ ἀνηκέστου
of-the men as each some is-held by irremediable
τινὸς κρείσσονος ἐξάγουσιν ἐς τοὺς κινδύνους.
some stronger lead-out into the dangers
ἥ τε ἐλπὶς καὶ ὁ ἔρως ἐπὶ παντί, ὁ μὲν ἡγούμενος, 45.5
the both hope and the desire in every-case the-one indeed leading
ἡ δ᾽ ἐφεπομένη, καὶ ὁ μὲν τὴν ἐπιβουλὴν
the-other and following and the-one indeed the plot
ἐκφροντίζων, ἡ δὲ τὴν εὐπορίαν τῆς τύχης ὑποτιθεῖσα,
thinking-out the-other and the abundance of-the fortune suggesting

πλεῖστα βλάπτουσι, καὶ ὄντα ἀφανῆ κρείσσω ἐστὶ τῶν
most harm and being unseen stronger are than-the
ὁρωμένων δεινῶν.
visible terrors

45.6 καὶ ἡ τύχη ἐπ' αὐτοῖς οὐδὲν ἔλασσον ξυμβάλλεται
and the fortune in-addition-to them nothing less contributes
ἐς τὸ ἐπαίρειν· ἀδοκήτως γὰρ ἔστιν ὅτε παρισταμένη
toward the to-elate unexpectedly for there-are when standing-by
καὶ ἐκ τῶν ὑποδεεστέρων κινδυνεύειν τινὰ προάγει, καὶ
even from the weaker-position to-run-risks someone leads-on and
οὐχ ἧσσον τὰς πόλεις, ὅσῳ περὶ τῶν μεγίστων τε,
not less the cities by-as-much-as about the greatest-things both
ἐλευθερίας ἢ ἄλλων ἀρχῆς, καὶ μετὰ πάντων ἕκαστος
freedom or over-others rule and with all each
ἀλογίστως ἐπὶ πλέον τι αὑτὸν ἐδόξασεν.
irrationally to more something himself has-rated

45.7 ἁπλῶς τε ἀδύνατον καὶ πολλῆς εὐηθείας, ὅστις οἴεται τῆς
simply both impossible and of-much simplicity whoever thinks the
ἀνθρωπείας φύσεως ὁρμωμένης προθύμως τι πρᾶξαι
human nature striving eagerly something to-do
ἀποτροπήν τινα ἔχειν ἢ νόμων ἰσχύι ἢ ἄλλῳ τῳ δεινῷ.
deterrent any to-have either of-laws by-strength or by-other some terror

46.1 Οὔκουν χρὴ οὔτε τοῦ θανάτου τῇ ζημίᾳ ὡς ἐχεγγύῳ
therefore-not one-must neither of-the death in-the penalty as in-a-guarantee
πιστεύσαντας χεῖρον βουλεύσασθαι οὔτε ἀνέλπιστον
trusting worse to-deliberate nor hopeless
καταστῆσαι τοῖς ἀποστᾶσιν ὡς οὐκ ἔσται μεταγνῶναι
to-make for-those having-revolted as not it-will-be-possible to-repent
καὶ ὅτι ἐν βραχυτάτῳ τὴν ἁμαρτίαν καταλῦσαι.
and that in shortest the error to-end

σκέψασθε γὰρ ὅτι νῦν μέν, ἤν τις καὶ ἀποστᾶσα πόλις 46.2
consider for that now indeed if any even having-revolted city
γνῷ μὴ περιεσομένη, ἔλθοι ἂν ἐς ξύμβασιν δυνατὴ
should-recognize not going-to-prevail would-come — to agreement able
οὖσα ἔτι τὴν δαπάνην ἀποδοῦναι καὶ τὸ λοιπὸν
being still the expense to-repay and the rest-of-the-time
ὑποτελεῖν· ἐκείνως δὲ τίνα οἴεσθε ἤντινα οὐκ ἄμεινον μὲν
to-pay-tribute in-that-way but which do-you-think which not better indeed
ἢ νῦν παρασκευάσεσθαι, πολιορκίᾳ δὲ παρατενεῖσθαι ἐς
than now will-prepare by-siege and will-hold-out to
τοὔσχατον, εἰ τὸ αὐτὸ δύναται σχολῇ καὶ ταχὺ ξυμβῆναι;
the-last if the same means slowly and quickly to-come-to-terms
ἡμῖν τε πῶς οὐ βλάβη δαπανᾶν καθημένοις διὰ 46.3
for-us both how not harm to-spend sitting because-of
τὸ ἀξύμβατον καί, ἢν ἕλωμεν, πόλιν ἐφθαρμένην
the impossibility-of-terms and if we-take city ruined
παραλαβεῖν καὶ τῆς προσόδου τὸ λοιπὸν ἀπ᾽ αὐτῆς
to-receive and of-the revenue the rest-of-the-time from it
στέρεσθαι; ἰσχύομεν δὲ πρὸς τοὺς πολεμίους τῷδε.
to-be-deprived we-are-strong and against the enemies by-this
ὥστε οὐ δικαστὰς ὄντας δεῖ ἡμᾶς μᾶλλον τῶν 46.4
so-that not judges being it-is-necessary us rather of-the
ἐξαμαρτανόντων ἀκριβεῖς βλάπτεσθαι ἢ ὁρᾶν ὅπως
offenders strict to-be-harmed than to-see how
ἐς τὸν ἔπειτα χρόνον μετρίως κολάζοντες ταῖς πόλεσιν
for the subsequent time moderately punishing the cities
ἔξομεν ἐς χρημάτων λόγον ἰσχυούσαις χρῆσθαι, καὶ
we-shall-be-able for of-money reckoning strong to-use and
τὴν φυλακὴν μὴ ἀπὸ τῶν νόμων τῆς δεινότητος ἀξιοῦν
the guard not from the laws of-the terror to-think-fit
ποιεῖσθαι, ἀλλ᾽ ἀπὸ τῶν ἔργων τῆς ἐπιμελείας.
to-make but from the deeds of-the vigilance

46.5 οὗ νῦν τοὐναντίον δρῶντες, ἤν τινα ἐλεύθερον καὶ
of-which now the-opposite doing if any free and
βίᾳ ἀρχόμενον εἰκότως πρὸς αὐτονομίαν ἀποστάντα
by-force ruled reasonably for independence having-revolted
χειρωσώμεθα, χαλεπῶς οἰόμεθα χρῆναι τιμωρεῖσθαι.
we-subdue harshly we-think it-is-necessary to-take-vengeance
46.6 χρὴ δὲ τοὺς ἐλευθέρους οὐκ ἀφισταμένους σφόδρα
it-is-necessary but the free not revolting severely
κολάζειν, ἀλλὰ πρὶν ἀποστῆναι σφόδρα φυλάσσειν καὶ
to-punish but before to-revolt severely to-guard and
προκαταλαμβάνειν ὅπως μηδ' ἐς ἐπίνοιαν τούτου ἴωσι,
to-forestall so-that not-even into thought of-this they-may-come
κρατήσαντάς τε ὅτι ἐπ' ἐλάχιστον τὴν αἰτίαν ἐπιφέρειν.
having-mastered both as to least the blame to-impute
47.1 Ὑμεῖς δὲ σκέψασθε ὅσον ἂν καὶ τοῦτο ἁμαρτάνοιτε
you but consider how-much — also this you-would-err
Κλέωνι πειθόμενοι.
Cleon obeying
47.2 νῦν μὲν γὰρ ὑμῖν ὁ δῆμος ἐν πάσαις ταῖς πόλεσιν
now indeed for to-you the people in all the cities
εὔνους ἐστί, καὶ ἢ οὐ ξυναφίσταται τοῖς ὀλίγοις ἤ,
well-disposed is and either not joins-the-revolt with-the few or
ἐὰν βιασθῇ, ὑπάρχει τοῖς ἀποστήσασι πολέμιος εὐθύς,
if it-be-forced is to-those having-caused-the-revolt hostile at-once
καὶ τῆς ἀντικαθισταμένης πόλεως τὸ πλῆθος ξύμμαχον
and of-the opposing city the multitude ally
ἔχοντες ἐς πόλεμον ἐπέρχεσθε.
having into war you-go
47.3 εἰ δὲ διαφθερεῖτε τὸν δῆμον τὸν Μυτιληναίων, ὃς οὔτε
if but you-will-destroy the people the of-Mytilenaeans which neither
μετέσχε τῆς ἀποστάσεως, ἐπειδή τε ὅπλων ἐκράτησεν, ἑκὼν
took-part of-the revolt when both arms it-got willingly

παρέδωκε τὴν πόλιν, πρῶτον μὲν ἀδικήσετε τοὺς εὐεργέτας
handed-over the city first indeed you-will-wrong the benefactors
κτείνοντες, ἔπειτα καταστήσετε τοῖς δυνατοῖς τῶν ἀνθρώπων
killing then you-will-bring-about for-the powerful of-the men
ὃ βούλονται μάλιστα· ἀφιστάντες γὰρ τὰς πόλεις τὸν
what they-wish most causing-to-revolt for the cities the
δῆμον εὐθὺς ξύμμαχον ἕξουσι, προδειξάντων ὑμῶν τὴν
people at-once ally they-will-have having-shown-beforehand you the
αὐτὴν ζημίαν τοῖς τε ἀδικοῦσιν ὁμοίως κεῖσθαι καὶ τοῖς μή.
same penalty to-the both wrongdoing alike to-be-set and to-the not
δεῖ δέ, καὶ εἰ ἠδίκησαν, μὴ προσποιεῖσθαι, ὅπως ὃ 47.4
one-must and even if they-did-wrong not to-pretend so-that what
μόνον ἡμῖν ἔτι ξύμμαχόν ἐστι μὴ πολέμιον γένηται.
alone to-us still allied is not hostile may-become
καὶ τοῦτο πολλῷ ξυμφορώτερον ἡγοῦμαι ἐς τὴν κάθεξιν 47.5
and this much more-expedient I-think for the holding
τῆς ἀρχῆς, ἑκόντας ἡμᾶς ἀδικηθῆναι ἢ δικαίως οὓς μὴ
of-the empire willingly us to-be-wronged than justly whom not
δεῖ διαφθεῖραι· καὶ τὸ Κλέωνος τὸ αὐτὸ δίκαιον καὶ
one-must to-destroy and the of-Cleon the same just and
ξύμφορον τῆς τιμωρίας οὐχ εὑρίσκεται ἐν αὐτῷ δυνατὸν
expedient of-the vengeance not is-found in it possible
ὂν ἅμα γίγνεσθαι.
being at-the-same-time to-be
Ὑμεῖς δὲ γνόντες ἀμείνω τάδε εἶναι καὶ μήτε 48.1
you and having-recognized better these-things to-be and neither
οἴκτῳ πλέον νείμαντες μήτ' ἐπιεικείᾳ, οἷς οὐδὲ ἐγὼ ἐῶ
to-pity more allotting nor to-equity by-which not-even I allow
προσάγεσθαι, ἀπ' αὐτῶν δὲ τῶν παραινουμένων πείθεσθέ
to-be-won-over from themselves but the things-advised obey

μοι Μυτιληναίων οὓς μὲν Πάχης ἀπέπεμψεν ὡς
me of-Mytilenaeans those-whom indeed Paches sent-off as
ἀδικοῦντας κρῖναι καθ' ἡσυχίαν, τοὺς δ' ἄλλους ἐᾶν οἰκεῖν.
doing-wrong to-judge at leisure the but others allow to-live
48.2 τάδε γὰρ ἔς τε τὸ μέλλον ἀγαθὰ καὶ τοῖς πολεμίοις ἤδη
these for for both the future good and to-the enemies at-once
φοβερά· ὅστις γὰρ εὖ βουλεύεται πρὸς τοὺς ἐναντίους
formidable whoever for well deliberates against the opponents
κρείσσων ἐστὶν ἢ μετ' ἔργων ἰσχύος ἀνοίᾳ ἐπιών.'
stronger is than with deeds of-strength in-folly attacking

X · THE SECOND TRIREME

The two proposals are nearly equal, but Diodotus' wins by a show of hands. A second trireme sets out at once, a day and a night behind; the envoys provide wine and barley, and the rowers eat as they row and sleep in turns. The first ship arrives just as Paches has read the decree, and the second stops it; so close does Mytilene come to destruction. On Cleon's motion the Athenians execute the little more than a thousand men Paches sent, pull down Mytilene's walls, and take its ships. Lesbos, except Methymna's land, is divided among Athenian lot-holders, and the Lesbians farm it for rent, and Athens takes Mytilene's mainland towns.

49.1 τοιαῦτα δὲ ὁ Διόδοτος εἶπεν. ῥηθεισῶν δὲ τῶν γνωμῶν
such and — Diodotus said having-been-spoken and the opinions
τούτων μάλιστα ἀντιπάλων πρὸς ἀλλήλας οἱ Ἀθηναῖοι
these most opposed to one-another the Athenians
ἦλθον μὲν ἐς ἀγῶνα ὅμως τῆς δόξης καὶ ἐγένοντο ἐν
came indeed to conflict nevertheless of-the opinion and were in
τῇ χειροτονίᾳ ἀγχώμαλοι, ἐκράτησε δὲ ἡ τοῦ Διοδότου.
the show-of-hands nearly-equal prevailed but the — of-Diodotus

καὶ τριήρη εὐθὺς ἄλλην ἀπέστελλον κατὰ σπουδήν, ὅπως 49.2
and trireme at-once another they-sent-off in haste so-that
μὴ φθασάσης τῆς προτέρας εὕρωσι διεφθαρμένην τὴν
not having-arrived-first the former they-might-find destroyed the
πόλιν· προεῖχε δὲ ἡμέρᾳ καὶ νυκτὶ μάλιστα.
city it-was-ahead and by-a-day and a-night about
παρασκευασάντων δὲ τῶν Μυτιληναίων πρέσβεων τῇ νηὶ 49.3
having-provided and the Mytilenaean envoys for-the ship
οἶνον καὶ ἄλφιτα καὶ μεγάλα ὑποσχομένων, εἰ φθάσειαν,
wine and barley-meal and great-things having-promised if they-should-arrive-first
ἐγένετο σπουδὴ τοῦ πλοῦ τοιαύτη ὥστε ἤσθιόν τε ἅμα
there-was haste of-the voyage such that they-ate both at-the-same-time
ἐλαύνοντες οἴνῳ καὶ ἐλαίῳ ἄλφιτα πεφυραμένα, καὶ οἱ
rowing with-wine and oil barley-meal kneaded and the
μὲν ὕπνον ᾑροῦντο κατὰ μέρος, οἱ δὲ ἤλαυνον.
indeed sleep took by turns the-others and rowed
κατὰ τύχην δὲ πνεύματος οὐδενὸς ἐναντιωθέντος καὶ τῆς 49.4
by chance and wind none having-opposed and the
μὲν προτέρας νεὼς οὐ σπουδῇ πλεούσης ἐπὶ πρᾶγμα
indeed earlier ship not in-haste sailing on business
ἀλλόκοτον, ταύτης δὲ τοιούτῳ τρόπῳ ἐπειγομένης, ἡ μὲν
monstrous this but in-such manner hurrying the indeed
ἔφθασε τοσοῦτον ὅσον Πάχητα ἀνεγνωκέναι τὸ ψήφισμα
arrived-first so-much as Paches to-have-read the decree
καὶ μέλλειν δράσειν τὰ δεδογμένα, ἡ δ' ὑστέρα αὐτῆς
and to-be-about to-do the things-decided the but later than-it
ἐπικατάγεται καὶ διεκώλυσε μὴ διαφθεῖραι. παρὰ τοσοῦτον
puts-in and prevented not to-destroy by so-much
μὲν ἡ Μυτιλήνη ἦλθε κινδύνου.
indeed — Mytilene came of-danger

50.1 τοὺς δ' ἄλλους ἄνδρας οὓς ὁ Πάχης ἀπέπεμψεν ὡς
the and other men whom — Paches sent-off as
αἰτιωτάτους ὄντας τῆς ἀποστάσεως Κλέωνος γνώμῃ
most-guilty being of-the revolt by-Cleon's opinion
διέφθειραν οἱ Ἀθηναῖοι (ἦσαν δὲ ὀλίγῳ πλείους χιλίων),
killed the Athenians they-were and by-a-little more than-a-thousand
καὶ Μυτιληναίων τείχη καθεῖλον καὶ ναῦς παρέλαβον.
and of-Mytilenaeans walls pulled-down and ships took-over

50.2 ὕστερον δὲ φόρον μὲν οὐκ ἔταξαν Λεσβίοις, κλήρους δὲ
later and tribute indeed not imposed on-Lesbians lots but
ποιήσαντες τῆς γῆς πλὴν τῆς Μηθυμναίων τρισχιλίους
having-made of-the land except the of-Methymnaeans three-thousand
τριακοσίους μὲν τοῖς θεοῖς ἱεροὺς ἐξεῖλον, ἐπὶ δὲ τοὺς
three-hundred indeed for-the gods sacred set-apart to but the
ἄλλους σφῶν αὐτῶν κληρούχους τοὺς λαχόντας ἀπέπεμψαν·
others of-them selves allotment-holders those chosen-by-lot sent-out
οἷς ἀργύριον Λέσβιοι ταξάμενοι τοῦ κλήρου ἑκάστου
to-whom money Lesbians having-agreed of-the lot each
τοῦ ἐνιαυτοῦ δύο μνᾶς φέρειν αὐτοὶ εἰργάζοντο τὴν γῆν.
the year two minae to-pay themselves worked the land

50.3 παρέλαβον δὲ καὶ τὰ ἐν τῇ ἠπείρῳ πολίσματα οἱ
took-over and also the on the mainland towns the
Ἀθηναῖοι ὅσων Μυτιληναῖοι ἐκράτουν, καὶ ὑπήκουον
Athenians as-many-as Mytilenaeans controlled and were-subject
ὕστερον Ἀθηναίων. τὰ μὲν κατὰ Λέσβον οὕτως ἐγένετο.
later to-Athenians the indeed about Lesbos thus happened

Nicias takes Minoa off Megara to watch the harbor of Nisaea. The Plataeans, starving and unable to resist, are offered terms by the Spartan commander, who wants the city given up rather than taken, so that it need not be returned at a peace: they may surrender and be judged by Spartans, the guilty punished, no one beyond justice. They accept. Five judges arrive from Sparta, bring no charge, and ask them one question only: whether they have done any service to the Lacedaemonians and their allies in this war. Asking to speak at length, they put forward Astymachus and Lacon, the Spartans' proxenus.

ἐν δὲ τῷ αὐτῷ θέρει μετὰ τὴν Λέσβου ἅλωσιν Ἀθηναῖοι 51.1
in and the same summer after the of-Lesbos capture Athenians
Νικίου τοῦ Νικηράτου στρατηγοῦντος ἐστράτευσαν ἐπὶ
Nicias the son-of-Niceratus being-general marched against
Μινῴαν τὴν νῆσον, ἣ κεῖται πρὸ Μεγάρων· ἐχρῶντο
Minoa the island which lies before Megara used
δὲ αὐτῇ πύργον ἐνοικοδομήσαντες οἱ Μεγαρῆς φρουρίῳ.
and it a-tower having-built-on-it the Megarians as-fort
ἐβούλετο δὲ Νικίας τὴν φυλακὴν αὐτόθεν δι' ἐλάσσονος 51.2
wished and Nicias the watch from-there through shorter-distance
τοῖς Ἀθηναίοις καὶ μὴ ἀπὸ τοῦ Βουδόρου καὶ τῆς
for-the Athenians and not from — Budorum and —
Σαλαμῖνος εἶναι, τούς τε Πελοποννησίους, ὅπως μὴ
Salamis to-be the both Peloponnesians that not
ποιῶνται ἔκπλους αὐτόθεν λανθάνοντες τριήρων τε, οἷον
they-make sailings-out from-there escaping-notice of-triremes both such-as
καὶ τὸ πρὶν γενόμενον, καὶ λῃστῶν ἐκπομπαῖς, τοῖς τε
also the before having-happened and of-pirates by-sendings-out the both
Μεγαρεῦσιν ἅμα μηδὲν ἐσπλεῖν.
Megarians at-the-same-time nothing to-sail-in

51.3 ἑλὼν οὖν ἀπὸ τῆς Νισαίας πρῶτον δύο πύργω
having-taken then from — Nisaea first two towers
προύχοντε μηχαναῖς ἐκ θαλάσσης καὶ τὸν ἔσπλουν ἐς
projecting with-engines from sea and the entrance into
τὸ μεταξὺ τῆς νήσου ἐλευθερώσας ἀπετείχιζε καὶ τὸ ἐκ
the between of-the island having-cleared he-walled-off also the from
τῆς ἠπείρου, ᾗ κατὰ γέφυραν διὰ τενάγους ἐπιβοήθεια
the mainland where by bridge through shallows help
ἦν τῇ νήσῳ οὐ πολὺ διεχούσῃ τῆς ἠπείρου.
was to-the island not far being-distant from-the mainland

51.4 ὡς δὲ τοῦτο ἐξειργάσαντο ἐν ἡμέραις ὀλίγαις, ὕστερον
when and this they-had-completed in days few later
δὴ καὶ ἐν τῇ νήσῳ τεῖχος ἐγκαταλιπὼν καὶ φρουρὰν
indeed also in the island wall having-left and garrison
ἀνεχώρησε τῷ στρατῷ.
he-withdrew with-the army

52.1 ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ θέρους τούτου καὶ οἱ
about and the same times in-the summer this also the
Πλαταιῆς οὐκέτι ἔχοντες σῖτον οὐδὲ δυνάμενοι πολιορκεῖσθαι
Plataeans no-longer having food nor being-able to-be-besieged
ξυνέβησαν τοῖς Πελοποννησίοις τοιῷδε τρόπῳ.
came-to-terms with-the Peloponnesians in-such manner

52.2 προσέβαλλον αὐτῶν τῷ τείχει, οἱ δὲ οὐκ ἐδύναντο
they-attacked their the wall they and not could
ἀμύνεσθαι. γνοὺς δὲ ὁ Λακεδαιμόνιος ἄρχων τὴν
to-defend-themselves having-perceived and the Lacedaemonian commander the
ἀσθένειαν αὐτῶν βίᾳ μὲν οὐκ ἐβούλετο ἑλεῖν (εἰρημένον
weakness their by-force indeed not wished to-take said
γὰρ ἦν αὐτῷ ἐκ Λακεδαίμονος, ὅπως, εἰ σπονδαὶ γίγνοιντό
for it-was to-him from Lacedaemon that if truce should-be-made
ποτε πρὸς Ἀθηναίους καὶ ξυγχωροῖεν ὅσα πολέμῳ χωρία
ever with Athenians and they-should-agree as-many-as by-war places

ἔχουσιν ἑκάτεροι ἀποδίδοσθαι, μὴ ἀνάδοτος εἴη ἡ Πλάταια
hold each-side to-be-given-back not to-be-returned should-be — Plataea
ὡς αὐτῶν ἑκόντων προσχωρησάντων), προσπέμπει δὲ
as of-themselves willingly having-come-over sends and
αὐτοῖς κήρυκα λέγοντα, εἰ βούλονται παραδοῦναι τὴν
to-them herald saying if they-wish to-hand-over the
πόλιν ἑκόντες τοῖς Λακεδαιμονίοις καὶ δικασταῖς ἐκείνοις
city willingly to-the Lacedaemonians and as-judges them
χρήσασθαι, τούς τε ἀδίκους κολάζειν, παρὰ δίκην δὲ οὐδένα.
to-use the both guilty to-punish contrary-to justice but no-one
τοσαῦτα μὲν ὁ κῆρυξ εἶπεν· οἱ δέ (ἦσαν γὰρ ἤδη 52.3
so-much indeed the herald said they and they-were for already
ἐν τῷ ἀσθενεστάτῳ) παρέδοσαν τὴν πόλιν. καὶ τοὺς
in the weakest-state handed-over the city and the
Πλαταιᾶς ἔτρεφον οἱ Πελοποννήσιοι ἡμέρας τινάς, ἐν ὅσῳ
Plataeans fed the Peloponnesians days some in as-long
οἱ ἐκ τῆς Λακεδαίμονος δικασταὶ πέντε ἄνδρες ἀφίκοντο.
the from — Lacedaemon judges five men came
ἐλθόντων δὲ αὐτῶν κατηγορία μὲν οὐδεμία προυτέθη, 52.4
having-come and them accusation indeed none was-put-forward
ἠρώτων δὲ αὐτοὺς ἐπικαλεσάμενοι τοσοῦτον μόνον, εἴ
they-asked but them having-summoned so-much only if
τι Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους ἐν τῷ πολέμῳ
in-any-way Lacedaemonians and the allies in the war
τῷ καθεστῶτι ἀγαθὸν εἰργασμένοι εἰσίν.
the present good having-done they-are
οἱ δ' ἔλεγον αἰτησάμενοι μακρότερα εἰπεῖν καὶ προτάξαντες 52.5
they and spoke having-asked at-greater-length to-speak and having-put-forward
σφῶν αὐτῶν Ἀστύμαχόν τε τὸν Ἀσωπολάου καὶ Λάκωνα
of-them selves Astymachus both the son-of-Asopolaus and Lacon

τὸν Αἰειμνήστου πρόξενον ὄντα Λακεδαιμονίων· καὶ
the son-of-Aeimnestus proxenus being of-Lacedaemonians and
ἐπελθόντες ἔλεγον τοιάδε.
having-come-forward spoke as-follows

XII · THE PLATAEAN PLEA

The Plataeans fear the question is a trap and the verdict decided. They recall that they alone of the Boeotians fought the Persians, at sea at Artemisium and at Plataea beside Pausanias, sent a third of their men to help Sparta after the earthquake, and joined Athens only because Sparta sent them there. Thebes attacked them in peace and in a holy month. The Plataeans honor the tombs of the Spartans' own fathers each year; it would be monstrous for Sparta to wipe out of Greece the city whose name stands on the Delphic tripod. They beg not to be handed to Thebes, the worst of their enemies.

53.1 Τὴν μὲν παράδοσιν τῆς πόλεως, ὦ Λακεδαιμόνιοι,
the indeed surrender of-the city O Lacedaemonians
πιστεύσαντες ὑμῖν ἐποιησάμεθα, οὐ τοιάνδε δίκην οἰόμενοι
trusting you we-made not such trial thinking
ὑφέξειν, νομιμωτέραν δέ τινα ἔσεσθαι, καὶ ἐν δικασταῖς
to-undergo more-lawful but some to-be and among judges
οὐκ ἂν ἄλλοις δεξάμενοι, ὥσπερ καὶ ἐσμέν, γενέσθαι,
not — others having-accepted as also we-are to-be
ἡγούμενοι τὸ ἴσον μάλιστ' ἂν φέρεσθαι.
thinking the fair most — to-obtain

53.2 νῦν δὲ φοβούμεθα μὴ ἀμφοτέρων ἅμα ἡμαρτήκαμεν·
now but we-fear lest in-both at-the-same-time we-have-been-mistaken
τόν τε γὰρ ἀγῶνα περὶ τῶν δεινοτάτων εἶναι εἰκότως
the both for trial about the most-terrible-things to-be reasonably
ὑποπτεύομεν καὶ ὑμᾶς μὴ οὐ κοινοὶ ἀποβῆτε, τεκμαιρόμενοι
we-suspect and you lest not impartial you-turn-out inferring-it

προκατηγορίας τε ἡμῶν οὐ προγεγενημένης ᾗ χρὴ
previous-accusation both of-us not having-been-made to-which one-must
ἀντειπεῖν (ἀλλ' αὐτοὶ λόγον ᾐτησάμεθα) τό τε ἐπερώτημα
to-answer but ourselves speech asked the both question
βραχὺ ὄν, ᾧ τὰ μὲν ἀληθῆ ἀποκρίνασθαι ἐναντία
short being in-which the indeed true to-answer adverse
γίγνεται, τὰ δὲ ψευδῆ ἔλεγχον ἔχει.
becomes the but false refutation has
πανταχόθεν δὲ ἄποροι καθεστῶτες ἀναγκαζόμεθα καὶ 53.3
from-every-side and helpless being-placed we-are-compelled also
ἀσφαλέστερον δοκεῖ εἶναι εἰπόντας τι κινδυνεύειν· καὶ
safer it-seems to-be having-said something to-run-risks and
γὰρ ὁ μὴ ῥηθεὶς λόγος τοῖς ὧδ' ἔχουσιν αἰτίαν ἂν
for the not spoken speech for-those so being blame —
παράσχοι ὡς, εἰ ἐλέχθη, σωτήριος ἂν ἦν.
would-give that if it-had-been-spoken saving — it-would-have-been
χαλεπῶς δὲ ἔχει ἡμῖν πρὸς τοῖς ἄλλοις καὶ ἡ 53.4
difficult and is for-us in-addition-to the other-things also the
πειθώ. ἀγνῶτες μὲν γὰρ ὄντες ἀλλήλων ἐπεσενεγκάμενοι
persuasion strangers indeed for being to-one-another having-brought-in
μαρτύρια ὧν ἄπειροι ἦτε ὠφελούμεθ' ἄν· νῦν
testimonies of-which unacquainted you-were we-would-be-benefited — now
δὲ πρὸς εἰδότας πάντα λελέξεται, καὶ δέδιμεν οὐχὶ μὴ
but to knowing-men all will-be-said and we-fear not lest
προκαταγνόντες ἡμῶν τὰς ἀρετὰς ἧσσους εἶναι τῶν
having-prejudged our the virtues less to-be than-the
ὑμετέρων ἔγκλημα αὐτὸ ποιῆτε, ἀλλὰ μὴ ἄλλοις χάριν
yours charge it you-make but lest to-others favor
φέροντες ἐπὶ διεγνωσμένην κρίσιν καθιστώμεθα.
bringing for already-decided judgment we-are-put

54.1 παρεχόμενοι δὲ ὅμως ἃ ἔχομεν δίκαια πρός τε
offering but nevertheless what we-have just-claims regarding both
τὰ Θηβαίων διάφορα καὶ ἐς ὑμᾶς καὶ τοὺς ἄλλους
the of-Thebans quarrels and toward you and the other
Ἕλληνας, τῶν εὖ δεδραμένων ὑπόμνησιν ποιησόμεθα καὶ
Greeks of-the well done reminder we-will-make and
πείθειν πειρασόμεθα.
to-persuade we-will-try

54.2 Φαμὲν γὰρ πρὸς τὸ ἐρώτημα τὸ βραχύ, εἴ τι
we-say for to the question the short if anything
Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους ἐν τῷ πολέμῳ τῷδε
Lacedaemonians and the allies in the war this
ἀγαθὸν πεποιήκαμεν, εἰ μὲν ὡς πολεμίους ἐρωτᾶτε, οὐκ
good we-have-done if indeed as enemies you-ask not
ἀδικεῖσθαι ὑμᾶς μὴ εὖ παθόντας, φίλους δὲ νομίζοντας
to-be-wronged you not well having-been-treated as-friends but thinking-us
αὐτοὺς ἁμαρτάνειν μᾶλλον τοὺς ἡμῖν ἐπιστρατεύσαντας.
yourselves to-err rather those against-us having-marched

54.3 τὰ δ' ἐν τῇ εἰρήνῃ καὶ πρὸς τὸν Μῆδον ἀγαθοὶ γεγενήμεθα,
the but in the peace and against the Mede good we-have-been
τὴν μὲν οὐ λύσαντες νῦν πρότεροι, τῷ δὲ ξυνεπιθέμενοι
the indeed not having-broken now first the but having-joined-in-attacking
τότε ἐς ἐλευθερίαν τῆς Ἑλλάδος μόνοι Βοιωτῶν.
then for freedom — of-Greece alone of-Boeotians

54.4 καὶ γὰρ ἠπειρῶταί τε ὄντες ἐναυμαχήσαμεν ἐπ' Ἀρτεμισίῳ,
and for mainlanders both being we-fought-at-sea at Artemisium
μάχῃ τε τῇ ἐν τῇ ἡμετέρᾳ γῇ γενομένῃ παρεγενόμεθα
in-battle both the in the our land having-happened we-were-present
ὑμῖν τε καὶ Παυσανίᾳ· εἴ τέ τι ἄλλο κατ' ἐκεῖνον
with-you both and Pausanias if and anything other at that

τὸν χρόνον ἐγένετο ἐπικίνδυνον τοῖς Ἕλλησι, πάντων
the time happened dangerous to-the Greeks in-all
παρὰ δύναμιν μετέσχομεν.
beyond power we-took-part
καὶ ὑμῖν, ὦ Λακεδαιμόνιοι, ἰδίᾳ, ὅτεπερ δὴ μέγιστος 54.5
and to-you O Lacedaemonians privately when-very indeed greatest
φόβος περιέστη τὴν Σπάρτην μετὰ τὸν σεισμὸν τῶν ἐς
fear surrounded — Sparta after the earthquake of-the to
Ἰθώμην Εἱλώτων ἀποστάντων, τὸ τρίτον μέρος ἡμῶν αὐτῶν
Ithome Helots having-revolted the third part of-us ourselves
ἐξεπέμψαμεν ἐς ἐπικουρίαν· ὧν οὐκ εἰκὸς ἀμνημονεῖν.
we-sent-out for assistance of-which not reasonable to-forget
Καὶ τὰ μὲν παλαιὰ καὶ μέγιστα τοιοῦτοι ἠξιώσαμεν 55.1
and the indeed old and greatest-things such we-thought-fit
εἶναι, πολέμιοι δὲ ἐγενόμεθα ὕστερον. ὑμεῖς δὲ αἴτιοι·
to-be enemies and we-became later you but responsible
δεομένων γὰρ ξυμμαχίας ὅτε Θηβαῖοι ἡμᾶς ἐβιάσαντο,
asking for alliance when Thebans us forced
ὑμεῖς ἀπεώσασθε καὶ πρὸς Ἀθηναίους ἐκελεύετε τραπέσθαι
you rejected and to Athenians bade to-turn
ὡς ἐγγὺς ὄντας, ὑμῶν δὲ μακρὰν ἀποικούντων.
as near being you but far dwelling-away
ἐν μέντοι τῷ πολέμῳ οὐδὲν ἐκπρεπέστερον ὑπὸ ἡμῶν 55.2
in however the war nothing extraordinary by us
οὔτε ἐπάθετε οὔτε ἐμελλήσατε.
neither you-suffered nor were-about-to
εἰ δ' ἀποστῆναι Ἀθηναίων οὐκ ἠθελήσαμεν ὑμῶν 55.3
if and to-revolt from-Athenians not we-were-willing you
κελευσάντων, οὐκ ἠδικοῦμεν· καὶ γὰρ ἐκεῖνοι ἐβοήθουν
having-bidden not we-did-wrong and for they helped
ἡμῖν ἐναντία Θηβαίοις ὅτε ὑμεῖς ἀπωκνεῖτε, καὶ προδοῦναι
us against Thebans when you shrank and to-betray

αὐτοὺς οὐκέτι ἦν καλόν, ἄλλως τε καὶ οὓς εὖ παθών
them no-longer was honorable otherwise both and whom well having-been-treated
τις καὶ αὐτὸς δεόμενος προσηγάγετο ξυμμάχους καὶ
one also himself asking won-over as-allies and
πολιτείας μετέλαβεν, ἰέναι δὲ ἐς τὰ παραγγελλόμενα
of-citizenship had-share to-go and to the commands
εἰκὸς ἦν προθύμως.
reasonable it-was eagerly

55.4 ἃ δὲ ἑκάτεροι ἐξηγεῖσθε τοῖς ξυμμάχοις, οὐχ οἱ ἑπόμενοι
what and each-of-you lead the allies not the following
αἴτιοι εἴ τι μὴ καλῶς ἐδρᾶτο, ἀλλ᾽ οἱ ἄγοντες ἐπὶ
responsible if anything not well was-done but those leading to
τὰ μὴ ὀρθῶς ἔχοντα.
the not rightly being

56.1 Θηβαῖοι δὲ πολλὰ μὲν καὶ ἄλλα ἡμᾶς ἠδίκησαν, τὸ
Thebans and many indeed also other-ways us wronged the
δὲ τελευταῖον αὐτοὶ ξύνιστε, δι᾽ ὅπερ καὶ τάδε
and last yourselves know-with-us because-of which-very also these-things
πάσχομεν.
we-suffer

56.2 πόλιν γὰρ αὐτοὺς τὴν ἡμετέραν καταλαμβάνοντας ἐν
city for them the our seizing in
σπονδαῖς καὶ προσέτι ἱερομηνίᾳ ὀρθῶς τε ἐτιμωρησάμεθα
truce and besides at-holy-month rightly both we-punished
κατὰ τὸν πᾶσι νόμον καθεστῶτα, τὸν ἐπιόντα πολέμιον
according-to the for-all custom established the attacking enemy
ὅσιον εἶναι ἀμύνεσθαι, καὶ νῦν οὐκ ἂν εἰκότως δι᾽
holy to-be to-repel and now not — reasonably because-of
αὐτοὺς βλαπτοίμεθα.
them we-should-be-harmed

εἰ γὰρ τῷ αὐτίκα χρησίμῳ ὑμῶν τε καὶ ἐκείνων πολεμίῳ 56.3
if for by-the immediate advantage of-you both and of-them hostile
τὸ δίκαιον λήψεσθε, τοῦ μὲν ὀρθοῦ φανεῖσθε οὐκ ἀληθεῖς
the just you-will-take of-the indeed right you-will-appear not true
κριταὶ ὄντες, τὸ δὲ ξυμφέρον μᾶλλον θεραπεύοντες.
judges being the but advantage rather serving
καίτοι εἰ νῦν ὑμῖν ὠφέλιμοι δοκοῦσιν εἶναι, πολὺ καὶ ἡμεῖς 56.4
and-yet if now to-you useful they-seem to-be much also we
καὶ οἱ ἄλλοι Ἕλληνες μᾶλλον τότε ὅτε ἐν μείζονι κινδύνῳ
and the other Greeks more then when in greater danger
ἦτε. νῦν μὲν γὰρ ἑτέροις ὑμεῖς ἐπέρχεσθε δεινοί, ἐν
you-were now indeed for for-others you attack formidable in
ἐκείνῳ δὲ τῷ καιρῷ, ὅτε πᾶσι δουλείαν ἐπέφερεν ὁ
that but the crisis when to-all slavery brought the
βάρβαρος, οἵδε μετ᾽ αὐτοῦ ἦσαν.
barbarian these with him were
καὶ δίκαιον ἡμῶν τῆς νῦν ἁμαρτίας, εἰ ἄρα ἡμάρτηταί 56.5
and just of-our the present error if indeed has-been-erred
τι, ἀντιθεῖναι τὴν τότε προθυμίαν· καὶ μείζω τε πρὸς
anything to-set-against the then zeal and greater both against
ἐλάσσω εὑρήσετε καὶ ἐν καιροῖς οἷς σπάνιον ἦν τῶν
lesser you-will-find and in times in-which rare it-was of-the
Ἑλλήνων τινὰ ἀρετὴν τῇ Ξέρξου δυνάμει ἀντιτάξασθαι,
Greeks any valor to-the of-Xerxes power to-oppose
ἐπῃνοῦντό τε μᾶλλον οἱ μὴ τὰ ξύμφορα πρὸς τὴν ἔφοδον
were-praised both rather those not the advantageous toward the attack
αὑτοῖς ἀσφαλείᾳ πράσσοντες, ἐθέλοντες δὲ τολμᾶν μετὰ
for-themselves with-safety doing being-willing but to-dare with
κινδύνων τὰ βέλτιστα.
dangers the best-things

56.6 ὧν ἡμεῖς γενόμενοι καὶ τιμηθέντες ἐς τὰ πρῶτα νῦν
of-whom we having-become and having-been-honored for the first now
ἐπὶ τοῖς αὐτοῖς δέδιμεν μὴ διαφθαρῶμεν, Ἀθηναίους
on the same-grounds we-fear lest we-be-destroyed Athenians
ἑλόμενοι δικαίως μᾶλλον ἢ ὑμᾶς κερδαλέως.
having-chosen justly rather than you profitably

56.7 καίτοι χρὴ ταὐτὰ περὶ τῶν αὐτῶν ὁμοίως φαίνεσθαι
and-yet one-must the-same-things about the same alike to-appear
γιγνώσκοντας, καὶ τὸ ξυμφέρον μὴ ἄλλο τι νομίσαι
judging and the advantage not other anything to-think
ἢ τῶν ξυμμάχων τοῖς ἀγαθοῖς ὅταν αἰεὶ βέβαιον τὴν
than of-the allies for-the good whenever always firm the
χάριν τῆς ἀρετῆς ἔχωσι καὶ τὸ παραυτίκα που ὑμῖν
gratitude for-the valor they-have and the immediate somehow for-you
ὠφέλιμον καθιστῆται.
useful is-established

57.1 Προσκέψασθέ τε ὅτι νῦν μὲν παράδειγμα τοῖς πολλοῖς τῶν
consider-also both that now indeed example to-the many of-the
Ἑλλήνων ἀνδραγαθίας νομίζεσθε· εἰ δὲ περὶ ἡμῶν γνώσεσθε
Greeks of-bravery you-are-regarded if but about us you-will-decide
μὴ τὰ εἰκότα (οὐ γὰρ ἀφανῆ κρινεῖτε τὴν δίκην τήνδε,
not the reasonable not for obscure you-will-judge the judgment this
ἐπαινούμενοι δὲ περὶ οὐδ' ἡμῶν μεμπτῶν), ὁρᾶτε ὅπως μὴ
being-praised but about not-even us blameworthy see how lest
οὐκ ἀποδέξωνται ἀνδρῶν ἀγαθῶν πέρι αὐτοὺς ἀμείνους ὄντας
not they-accept of-men good about yourselves better being
ἀπρεπές τι ἐπιγνῶναι, οὐδὲ πρὸς ἱεροῖς τοῖς κοινοῖς
unseemly something to-determine nor at temples the common
σκῦλα ἀπὸ ἡμῶν τῶν εὐεργετῶν τῆς Ἑλλάδος ἀνατεθῆναι.
spoils from us the benefactors — of-Greece to-be-dedicated

δεινὸν δὲ δόξει εἶναι Πλάταιαν Λακεδαιμονίους πορθῆσαι, 57.2
terrible and it-will-seem to-be Plataea Lacedaemonians to-sack
καὶ τοὺς μὲν πατέρας ἀναγράψαι ἐς τὸν τρίποδα τὸν ἐν
and the indeed fathers to-inscribe on the tripod the at
Δελφοῖς δι᾽ ἀρετὴν τὴν πόλιν, ὑμᾶς δὲ καὶ ἐκ παντὸς
Delphi because-of valor the city you but even from all
τοῦ Ἑλληνικοῦ πανοικεσίᾳ διὰ Θηβαίους ἐξαλεῖψαι.
the Greek-world with-whole-households because-of Thebans to-wipe-out
ἐς τοῦτο γὰρ δὴ ξυμφορᾶς προκεχωρήκαμεν, οἵτινες 57.3
to this for indeed of-misfortune we-have-come who
Μήδων τε κρατησάντων ἀπωλλύμεθα καὶ νῦν ἐν ὑμῖν τοῖς
Medes both having-prevailed were-to-perish and now before you the
πρὶν φιλτάτοις Θηβαίων ἡσσώμεθα καὶ δύο ἀγῶνας τοὺς
formerly dearest than-Thebans we-are-worsted and two contests the
μεγίστους ὑπέστημεν, τότε μέν, τὴν πόλιν εἰ μὴ παρέδομεν,
greatest we-underwent then indeed the city if not we-surrendered
λιμῷ διαφθαρῆναι, νῦν δὲ θανάτου δίκῃ κρίνεσθαι.
by-famine to-be-destroyed now and on-capital charge to-be-judged
καὶ περιεώσμεθα ἐκ πάντων Πλαταιῆς οἱ παρὰ δύναμιν 57.4
and we-have-been-thrust-aside from all Plataeans who beyond power
πρόθυμοι ἐς τοὺς Ἕλληνας ἐρῆμοι καὶ ἀτιμώρητοι· καὶ
eager toward the Greeks deserted and unavenged and
οὔτε τῶν τότε ξυμμάχων ὠφελεῖ οὐδείς, ὑμεῖς τε, ὦ
neither of-the then allies helps anyone you both O
Λακεδαιμόνιοι, ἡ μόνη ἐλπίς, δέδιμεν μὴ οὐ βέβαιοι ἦτε.
Lacedaemonians the only hope we-fear lest not steadfast you-be
Καίτοι ἀξιοῦμέν γε καὶ θεῶν ἕνεκα τῶν ξυμμαχικῶν ποτὲ 58.1
and-yet we-ask at-least both of-gods for-the-sake the allied once
γενομένων καὶ τῆς ἀρετῆς τῆς ἐς τοὺς Ἕλληνας καμφθῆναι
having-been and of-the valor the toward the Greeks to-be-bent
ὑμᾶς καὶ μεταγνῶναι εἴ τι ὑπὸ Θηβαίων ἐπείσθητε,
you and to-change-your-minds if anything by Thebans you-were-persuaded

τήν τε δωρεὰν ἀνταπαιτῆσαι αὐτοὺς μὴ κτείνειν οὓς μὴ
the both gift to-ask-back them not to-kill whom not
ὑμῖν πρέπει, σώφρονά τε ἀντὶ αἰσχρᾶς κομίσασθαι χάριν,
for-you it-befits prudent both instead-of shameful to-get gratitude
καὶ μὴ ἡδονὴν δόντας ἄλλοις κακίαν αὐτοὺς ἀντιλαβεῖν·
and not pleasure having-given to-others baseness yourselves to-receive-in-return
58.2 βραχὺ γὰρ τὸ τὰ ἡμέτερα σώματα διαφθεῖραι, ἐπίπονον δὲ
short for the the our bodies to-destroy laborious but
τὴν δύσκλειαν αὐτοῦ ἀφανίσαι. οὐκ ἐχθροὺς γὰρ ἡμᾶς εἰκότως
the infamy of-it to-wipe-out not enemies for us justly
τιμωρήσεσθε, ἀλλ' εὔνους, κατ' ἀνάγκην πολεμήσαντας.
you-will-punish but well-disposed by necessity having-made-war
58.3 ὥστε καὶ τῶν σωμάτων ἄδειαν ποιοῦντες ὅσια ἂν
so-that also of-the bodies immunity making holy-things —
δικάζοιτε καὶ προνοοῦντες ὅτι ἑκόντας τε ἐλάβετε καὶ
you-would-judge and considering that willing both you-took-us and
χεῖρας προϊσχομένους (ὁ δὲ νόμος τοῖς Ἕλλησι μὴ κτείνειν
hands holding-out the and custom for-the Greeks not to-kill
τούτους), ἔτι δὲ καὶ εὐεργέτας γεγενημένους διὰ παντός.
these still and also benefactors having-been through all
58.4 ἀποβλέψατε γὰρ ἐς πατέρων τῶν ὑμετέρων θήκας, οὓς
look for to of-fathers the your tombs whom
ἀποθανόντας ὑπὸ Μήδων καὶ ταφέντας ἐν τῇ ἡμετέρᾳ
having-died by Medes and buried in the our-land
ἐτιμῶμεν κατὰ ἔτος ἕκαστον δημοσίᾳ ἐσθήμασί τε καὶ
we-honored by year each publicly with-garments both and
τοῖς ἄλλοις νομίμοις, ὅσα τε ἡ γῆ ἡμῶν ἀνεδίδου
the other customary-rites as-many-as and the land our produced
ὡραῖα, πάντων ἀπαρχὰς ἐπιφέροντες, εὖνοι μὲν ἐκ
seasonable of-all first-fruits bringing well-disposed indeed from

φιλίας χώρας, ξύμμαχοι δὲ ὁμαίχμοις ποτὲ γενομένοις.
friendly country allies and to-comrades once having-been
ὧν ὑμεῖς τοὐναντίον ἂν δράσαιτε μὴ ὀρθῶς γνόντες.
of-which you the-opposite — would-do not rightly having-judged
σκέψασθέ τε· Παυσανίας μὲν γὰρ ἔθαπτεν αὐτοὺς νομίζων 58.5
consider both Pausanias indeed for buried them thinking
ἐν γῇ τε φιλίᾳ τιθέναι καὶ παρ᾽ ἀνδράσι τοιούτοις· ὑμεῖς
in land both friendly to-lay and among men such you
δὲ εἰ κτενεῖτε ἡμᾶς καὶ χώραν τὴν Πλαταιίδα Θηβαΐδα
but if you-will-kill us and land the Plataean Theban
ποιήσετε, τί ἄλλο ἢ ἐν πολεμίᾳ τε καὶ παρὰ τοῖς
will-make what else than in hostile both and among the
αὐθένταις πατέρας τοὺς ὑμετέρους καὶ ξυγγενεῖς ἀτίμους
murderers fathers the your and kinsmen deprived
γερῶν ὧν νῦν ἴσχουσι καταλείψετε; πρὸς δὲ καὶ γῆν ἐν
of-honors which now they-hold will-you-leave besides and also land in
ᾗ ἠλευθερώθησαν οἱ Ἕλληνες δουλώσετε, ἱερά τε θεῶν
which were-freed the Greeks will-you-enslave temples both of-gods
οἷς εὐξάμενοι Μήδων ἐκράτησαν ἐρημοῦτε καὶ θυσίας
to-whom having-prayed Medes they-overcame you-make-desolate and sacrifices
τὰς πατρίους τῶν ἑσσαμένων καὶ κτισάντων ἀφαιρήσεσθε.
the ancestral of-those having-dedicated and founded you-will-take-away
Οὐ πρὸς τῆς ὑμετέρας δόξης, ὦ Λακεδαιμόνιοι, τάδε, 59.1
not consistent-with the your glory O Lacedaemonians these
οὔτε ἐς τὰ κοινὰ τῶν Ἑλλήνων νόμιμα καὶ ἐς τοὺς
neither against the common of-the Greeks customs and against the
προγόνους ἁμαρτάνειν οὔτε ἡμᾶς τοὺς εὐεργέτας ἀλλοτρίας
ancestors to-err nor us the benefactors of-another
ἕνεκα ἔχθρας μὴ αὐτοὺς ἀδικηθέντας διαφθεῖραι, φείσασθαι
for-the-sake enmity not yourselves wronged to-destroy to-spare
δὲ καὶ ἐπικλασθῆναι τῇ γνώμῃ οἴκτῳ σώφρονι λαβόντας,
but and to-be-softened in-the mind with-pity prudent having-taken

μὴ ὧν πεισόμεθα μόνον δεινότητα κατανοοῦντας, ἀλλ'
not of-what we-shall-suffer only the-terror considering but
οἷοί τε ἂν ὄντες πάθοιμεν καὶ ὡς ἀστάθμητον τὸ
what-sort both — being we-should-suffer and how incalculable the
τῆς ξυμφορᾶς ᾧτινί ποτ' ἂν καὶ ἀναξίῳ ξυμπέσοι.
of-the misfortune on-whom ever — even unworthy it-may-fall
59.2 ἡμεῖς τε, ὡς πρέπον ἡμῖν καὶ ὡς ἡ χρεία προάγει,
we both as is-fitting for-us and as the need leads
αἰτούμεθα ὑμᾶς, θεοὺς τοὺς ὁμοβωμίους καὶ κοινοὺς
ask you gods those of-the-common-altars and common
τῶν Ἑλλήνων ἐπιβοώμενοι, πεῖσαι τάδε· προφερόμενοι
of-the Greeks calling-on to-persuade these-things putting-forward
ὅρκους οὓς οἱ πατέρες ὑμῶν ὤμοσαν μὴ ἀμνημονεῖν
oaths which the fathers your swore not to-forget
ἱκέται γιγνόμεθα ὑμῶν τῶν πατρῴων τάφων καὶ
suppliants we-become of-you of-the ancestral tombs and
ἐπικαλούμεθα τοὺς κεκμηκότας μὴ γενέσθαι ὑπὸ Θηβαίοις
we-call-on the dead not to-become under Thebans
μηδὲ τοῖς ἐχθίστοις φίλτατοι ὄντες παραδοθῆναι. ἡμέρας τε
nor to-the most-hostile dearest being to-be-banded-over of-day both
ἀναμιμνῄσκομεν ἐκείνης ᾗ τὰ λαμπρότατα μετ' αὐτῶν
we-remind-you that in-which the most-brilliant-things with them
πράξαντες νῦν ἐν τῇδε τὰ δεινότατα κινδυνεύομεν παθεῖν.
having-done now in this-day the most-terrible-things we-are-in-danger to-suffer
59.3 ὅπερ δὲ ἀναγκαῖόν τε καὶ χαλεπώτατον τοῖς ὧδε
which-very and necessary both and most-difficult for-those thus
ἔχουσι, λόγου τελευτᾶν, διότι καὶ τοῦ βίου ὁ κίνδυνος
being of-speech to-end because also of-the life the danger
ἐγγὺς μετ' αὐτοῦ, παυόμενοι λέγομεν ἤδη ὅτι οὐ Θηβαίοις
near with it ceasing we-say now that not to-Thebans
παρέδομεν τὴν πόλιν (εἱλόμεθα γὰρ ἂν πρό γε
we-surrendered the city we-would-have-chosen for — before at-least

τούτου τῷ αἰσχίστῳ ὀλέθρῳ λιμῷ τελευτῆσαι), ὑμῖν
this by-the most-shameful death by-starvation to-die in-you
δὲ πιστεύσαντες προσήλθομεν (καὶ δίκαιον, εἰ μὴ πείθομεν,
but trusting we-came and just if not we-persuade
ἐς τὰ αὐτὰ καταστήσαντας τὸν ξυντυχόντα κίνδυνον ἐᾶσαι
to the same having-restored the chancing danger to-let
ἡμᾶς αὐτοὺς ἑλέσθαι),
us ourselves to-choose
ἐπισκήπτομέν τε ἅμα μὴ Πλαταιῆς ὄντες οἱ 59.4
we-charge both at-the-same-time not Plataeans being the
προθυμότατοι περὶ τοὺς Ἕλληνας γενόμενοι Θηβαίοις τοῖς
most-eager toward the Greeks having-been to-Thebans the
ἡμῖν ἐχθίστοις ἐκ τῶν ὑμετέρων χειρῶν καὶ τῆς ὑμετέρας
to-us most-hostile from the your hands and the your
πίστεως ἱκέται ὄντες, ὦ Λακεδαιμόνιοι, παραδοθῆναι,
faith suppliants being O Lacedaemonians to-be-handed-over
γενέσθαι δὲ σωτῆρας ἡμῶν καὶ μὴ τοὺς ἄλλους Ἕλληνας
to-become but saviors of-us and not the other Greeks
ἐλευθεροῦντας ἡμᾶς διολέσαι.'
freeing us to-destroy

The Thebans, fearing the Spartans will yield, ask to answer the long Plataean speech. They founded Plataea, and the Plataeans broke away to Athens. Thebes Medized only under a narrow oligarchy, against its laws, and later freed Boeotia at Coronea. The Plataeans Atticized by choice against all Greece, helped Athens enslave Aegina, and refused neutrality. The night attack was invited by leading Plataeans and harmed no one, while the Plataeans killed their prisoners against their promise. Old virtues should not save men who now do shameful things, and the Spartans should give judgment by deeds, not fine words.

60.1 τοιαῦτα μὲν οἱ Πλαταιῆς εἶπον. οἱ δὲ Θηβαῖοι δείσαντες
such-things indeed the Plataeans said the and Thebans fearing
πρὸς τὸν λόγον αὐτῶν μὴ οἱ Λακεδαιμόνιοί τι
in-view-of the speech their lest the Lacedaemonians in-some-way
ἐνδῶσι, παρελθόντες ἔφασαν καὶ αὐτοὶ βούλεσθαι εἰπεῖν,
give-way having-come-forward said also themselves to-wish to-speak
ἐπειδὴ καὶ ἐκείνοις παρὰ γνώμην τὴν αὑτῶν μακρότερος
since also to-them contrary-to judgment the their-own longer
λόγος ἐδόθη τῆς πρὸς τὸ ἐρώτημα ἀποκρίσεως. ὡς
speech had-been-given than-the to the question answer when
δ' ἐκέλευσαν, ἔλεγον τοιάδε.
and they-bade they-spoke as-follows

61.1 Τοὺς μὲν λόγους οὐκ ἂν ἠτησάμεθα εἰπεῖν, εἰ καὶ αὐτοὶ
the indeed speeches not — we-would-have-asked to-speak if also themselves
βραχέως τὸ ἐρωτηθὲν ἀπεκρίναντο καὶ μὴ ἐπὶ ἡμᾶς
briefly the question had-answered and not against us
τραπόμενοι κατηγορίαν ἐποιήσαντο καὶ περὶ αὑτῶν ἔξω τῶν
having-turned accusation had-made and about themselves outside the
προκειμένων καὶ ἅμα οὐδὲ ἠτιαμένων πολλὴν τὴν
matters-proposed and at-the-same-time not-even of-things-charged long the
ἀπολογίαν καὶ ἔπαινον ὧν οὐδεὶς ἐμέμψατο. νῦν δὲ πρὸς

μὲν τὰ ἀντειπεῖν δεῖ, τῶν δὲ ἔλεγχον ποιήσασθαι,
indeed the-one to-answer one-must of-the-other and refutation to-make
ἵνα μήτε ἡ ἡμετέρα αὐτοὺς κακία ὠφελῇ μήτε ἡ τούτων
so-that neither the our them baseness may-help nor the their
δόξα, τὸ δ' ἀληθὲς περὶ ἀμφοτέρων ἀκούσαντες κρίνητε.
glory the but truth about both having-heard you-may-judge
'Ἡμεῖς δὲ αὐτοῖς διάφοροι ἐγενόμεθα πρῶτον ὅτι ἡμῶν 61.2
we and with-them at-variance became first because we
κτισάντων Πλάταιαν ὕστερον τῆς ἄλλης Βοιωτίας καὶ ἄλλα
having-founded Plataea later than-the other Boeotia and other
χωρία μετ' αὐτῆς, ἃ ξυμμείκτους ἀνθρώπους ἐξελάσαντες
places with it which mixed people having-expelled
ἔσχομεν, οὐκ ἠξίουν οὗτοι, ὥσπερ ἐτάχθη τὸ πρῶτον,
we-held not thought-fit these as was-arranged the first
ἡγεμονεύεσθαι ὑφ' ἡμῶν, ἔξω δὲ τῶν ἄλλων Βοιωτῶν
to-be-led by us outside and the other Boeotians
παραβαίνοντες τὰ πάτρια, ἐπειδὴ προσηναγκάζοντο,
transgressing the ancestral-customs when they-were-being-compelled
προσεχώρησαν πρὸς Ἀθηναίους καὶ μετ' αὐτῶν πολλὰ
went-over to Athenians and with them much
ἡμᾶς ἔβλαπτον, ἀνθ' ὧν καὶ ἀντέπασχον.
us harmed in-return-for which also they-suffered-in-return
'Ἐπειδὴ δὲ καὶ ὁ βάρβαρος ἦλθεν ἐπὶ τὴν Ἑλλάδα, 62.1
when and also the barbarian came against — Greece
φασὶ μόνοι Βοιωτῶν οὐ μηδίσαι, καὶ τούτῳ μάλιστα
they-say alone of-Boeotians not to-have-Medized and in-this most
αὐτοί τε ἀγάλλονται καὶ ἡμᾶς λοιδοροῦσιν.
themselves both pride-themselves and us revile

62.2 ἡμεῖς δὲ μηδίσαι μὲν αὐτοὺς οὔ φαμεν διότι οὐδ'
we and to-have-Medized indeed them not we-say because not-even
Ἀθηναίους, τῇ μέντοι αὐτῇ ἰδέᾳ ὕστερον ἰόντων Ἀθηναίων
Athenians in-the however same fashion later going Athenians
ἐπὶ τοὺς Ἕλληνας μόνους αὖ Βοιωτῶν ἀττικίσαι.
against the Greeks alone again of-Boeotians to-have-Atticized
62.3 καίτοι σκέψασθε ἐν οἵῳ εἴδει ἑκάτεροι ἡμῶν τοῦτο
and-yet consider in what form each of-us this
ἔπραξαν. ἡμῖν μὲν γὰρ ἡ πόλις τότε ἐτύγχανεν οὔτε κατ'
did for-us indeed for the city then happened neither by
ὀλιγαρχίαν ἰσόνομον πολιτεύουσα οὔτε κατὰ δημοκρατίαν·
oligarchy equal-in-rights governing nor by democracy
ὅπερ δέ ἐστι νόμοις μὲν καὶ τῷ σωφρονεστάτῳ
which-very but is to-laws indeed and to-the most-moderate
ἐναντιώτατον, ἐγγυτάτω δὲ τυράννου, δυναστεία ὀλίγων
most-opposed nearest and to-tyrant dynasty of-few
ἀνδρῶν εἶχε τὰ πράγματα.
men held the affairs
62.4 καὶ οὗτοι ἰδίας δυνάμεις ἐλπίσαντες ἔτι μᾶλλον σχήσειν
and these private powers hoping still more to-get
εἰ τὰ τοῦ Μήδου κρατήσειε, κατέχοντες ἰσχύι τὸ πλῆθος
if the of-the Mede should-prevail holding-down by-force the multitude
ἐπηγάγοντο αὐτόν· καὶ ἡ ξύμπασα πόλις οὐκ αὐτοκράτωρ
brought-in him and the whole city not sovereign
οὖσα ἑαυτῆς τοῦτ' ἔπραξεν, οὐδ' ἄξιον αὐτῇ ὀνειδίσαι
being of-itself this did nor fair against-it to-reproach
ὧν μὴ μετὰ νόμων ἥμαρτεν.
for-what not with laws it-erred
62.5 ἐπειδὴ γοῦν ὅ τε Μῆδος ἀπῆλθε καὶ τοὺς νόμους
when at-any-rate the both Mede departed and the laws
ἔλαβε, σκέψασθαι χρή, Ἀθηναίων ὕστερον ἐπιόντων τήν
it-got to-consider it-is-necessary Athenians later attacking the

τε ἄλλην Ἑλλάδα καὶ τὴν ἡμετέραν χώραν πειρωμένων
both other Greece and the our country trying
ὑφ᾽ αὐτοῖς ποιεῖσθαι καὶ κατὰ στάσιν ἤδη ἐχόντων αὐτῆς
under themselves to-bring and by faction already holding of-it
τὰ πολλά, εἰ μαχόμενοι ἐν Κορωνείᾳ καὶ νικήσαντες
the most-part if fighting at Coronea and having-won
αὐτοὺς ἠλευθερώσαμεν τὴν Βοιωτίαν καὶ τοὺς ἄλλους
them we-freed — Boeotia and the others
νῦν προθύμως ξυνελευθεροῦμεν, ἵππους τε παρέχοντες καὶ
now eagerly we-help-free horses both providing and
παρασκευὴν ὅσην οὐκ ἄλλοι τῶν ξυμμάχων.
armament as-much-as not others of-the allies
Καὶ τὰ μὲν ἐς τὸν μηδισμὸν τοσαῦτα ἀπολογούμεθα· 63.1
and the indeed regarding the medism so-much we-say-in-defense
ὡς δὲ ὑμεῖς μᾶλλόν τε ἠδικήκατε τοὺς Ἕλληνας καὶ
how but you more both have-wronged the Greeks and
ἀξιώτεροί ἐστε πάσης ζημίας, πειρασόμεθα ἀποφαίνειν.
more-deserving are of-every penalty we-will-try to-show
ἐγένεσθε ἐπὶ τῇ ἡμετέρᾳ τιμωρίᾳ, ὡς φατέ, Ἀθηναίων 63.2
you-became for the our punishment as you-say of-Athenians
ξύμμαχοι καὶ πολῖται. οὐκοῦν χρῆν τὰ πρὸς ἡμᾶς μόνον
allies and citizens then-surely it-was-necessary the against us only
ὑμᾶς ἐπάγεσθαι αὐτοὺς καὶ μὴ ξυνεπιέναι μετ᾽ αὐτῶν ἄλλοις,
you to-bring-in them and not to-attack-with with them others
ὑπάρχον γε ὑμῖν, εἴ τι καὶ ἄκοντες προσήγεσθε
it-being-possible at-least for-you if anything even unwilling you-were-led
ὑπ᾽ Ἀθηναίων, τῆς τῶν Λακεδαιμονίων τῶνδε ἤδη ἐπὶ
by Athenians of-the of-the Lacedaemonians these already against
τῷ Μήδῳ ξυμμαχίας γεγενημένης, ἣν αὐτοὶ μάλιστα
the Mede alliance having-been-made which yourselves most
προβάλλεσθε· ἱκανή γε ἦν ἡμᾶς τε ὑμῶν ἀποτρέπειν,
put-forward sufficient at-least it-was us both from-you to-turn-away

καί, τὸ μέγιστον, ἀδεῶς παρέχειν βουλεύεσθαι. ἀλλ'
and the greatest-thing without-fear to-allow to-deliberate but
ἑκόντες καὶ οὐ βιαζόμενοι ἔτι εἵλεσθε μᾶλλον τὰ Ἀθηναίων.
willingly and not being-forced still you-chose rather the of-Athenians
63.3 καὶ λέγετε ὡς αἰσχρὸν ἦν προδοῦναι τοὺς εὐεργέτας· πολὺ
and you-say that shameful it-was to-betray the benefactors much
δέ γε αἴσχιον καὶ ἀδικώτερον τοὺς πάντας Ἕλληνας
but at-least more-shameful and more-unjust the all Greeks
καταπροδοῦναι, οἷς ξυνωμόσατε, ἢ Ἀθηναίους μόνους,
to-betray-utterly with-whom you-swore than Athenians alone
τοὺς μὲν καταδουλουμένους τὴν Ἑλλάδα, τοὺς δὲ
the indeed enslaving — Greece the but
ἐλευθεροῦντας.
freeing
63.4 καὶ οὐκ ἴσην αὐτοῖς τὴν χάριν ἀνταπέδοτε οὐδὲ αἰσχύνης
and not equal to-them the favor you-returned nor from-shame
ἀπηλλαγμένην· ὑμεῖς μὲν γὰρ ἀδικούμενοι αὐτούς, ὡς φατέ,
free you indeed for being-wronged them as you-say
ἐπηγάγεσθε, τοῖς δὲ ἀδικοῦσιν ἄλλους ξυνεργοὶ κατέστητε.
brought-in to-the but wrongdoing others accomplices you-became
καίτοι τὰς ὁμοίας χάριτας μὴ ἀντιδιδόναι αἰσχρὸν μᾶλλον
and-yet the like favors not to-return shameful more
ἢ τὰς μετὰ δικαιοσύνης μὲν ὀφειληθείσας, ἐς ἀδικίαν
than the with justice indeed owed to injustice
δὲ ἀποδιδομένας.
but being-repaid
64.1 δῆλόν τε ἐποιήσατε οὐδὲ τότε τῶν Ἑλλήνων ἕνεκα μόνοι
clear both you-made not-even then of-the Greeks for-the-sake alone
οὐ μηδίσαντες, ἀλλ' ὅτι οὐδ' Ἀθηναῖοι, ὑμεῖς δὲ τοῖς
not having-Medized but because not-even Athenians you but with-the-ones
μὲν ταὐτὰ βουλόμενοι ποιεῖν, τοῖς δὲ τἀναντία.
indeed the-same wishing to-do with-the-others but the-opposite

καὶ νῦν ἀξιοῦτε, ἀφ᾽ ὧν δι᾽ ἑτέρους ἐγένεσθε ἀγαθοί, ἀπὸ 64.2
and now you-think-fit from what because-of others you-became good from
τούτων ὠφελεῖσθαι. ἀλλ᾽ οὐκ εἰκός· ὥσπερ δὲ Ἀθηναίους
these to-be-benefited but not reasonable as but Athenians
εἵλεσθε, τούτοις ξυναγωνίζεσθε, καὶ μὴ προφέρετε τὴν τότε
you-chose with-these fight-alongside and not bring-forward the then
γενομένην ξυνωμοσίαν ὡς χρὴ ἀπ᾽ αὐτῆς νῦν σῴζεσθαι.
made sworn-alliance as one-must from it now to-be-saved
ἀπελίπετε γὰρ αὐτὴν καὶ παραβάντες ξυγκατεδουλοῦσθε 64.3
you-abandoned for it and having-transgressed you-helped-enslave
μᾶλλον Αἰγινήτας καὶ ἄλλους τινὰς τῶν ξυνομοσάντων ἢ
rather Aeginetans and others some of-those having-sworn-with than
διεκωλύετε, καὶ ταῦτα οὔτε ἄκοντες ἔχοντές τε τοὺς νόμους
you-prevented and these neither unwilling having both the laws
οὕσπερ μέχρι τοῦ δεῦρο καὶ οὐδενὸς ὑμᾶς βιασαμένου ὥσπερ
which-very until the present and no-one you having-forced as
ἡμᾶς. τὴν τελευταίαν τε πρὶν περιτειχίζεσθαι πρόκλησιν
us the last both before to-be-walled-in proposal
ἐς ἡσυχίαν ἡμῶν, ὥστε μηδετέροις ἀμύνειν, οὐκ ἐδέχεσθε.
for quiet of-us so-as neither-side to-help not you-accepted
τίνες ἂν οὖν ὑμῶν δικαιότερον πᾶσι τοῖς Ἕλλησι μισοῖντο, 64.4
who — then than-you more-justly by-all the Greeks would-be-hated
οἵτινες ἐπὶ τῷ ἐκείνων κακῷ ἀνδραγαθίαν προύθεσθε; καὶ ἃ
who for the their harm bravery displayed and what
μέν ποτε χρηστοὶ ἐγένεσθε, ὡς φατέ, οὐ προσήκοντα νῦν
indeed once good you-were as you-say not fitting now
ἐπεδείξατε, ἃ δὲ ἡ φύσις αἰεὶ ἐβούλετο, ἐξηλέγχθη ἐς τὸ
you-showed what but the nature always wished was-proved to the
ἀληθές· μετὰ γὰρ Ἀθηναίων ἄδικον ὁδὸν ἰόντων ἐχωρήσατε.
truth with for Athenians unjust road going you-went

64.5 Τὰ μὲν οὖν ἐς τὸν ἡμέτερόν τε ἀκούσιον μηδισμὸν
the indeed then regarding the our both involuntary medism
καὶ τὸν ὑμέτερον ἑκούσιον ἀττικισμὸν τοιαῦτα ἀποφαίνομεν·
and the your voluntary atticism such we-set-forth
65.1 ἃ δὲ τελευταῖά φατε ἀδικηθῆναι, παρανόμως γὰρ
what and last you-say to-have-been-wronged unlawfully for
ἐλθεῖν ἡμᾶς ἐν σπονδαῖς καὶ ἱερομηνίᾳ ἐπὶ τὴν ὑμετέραν
to-have-come us in truce and holy-month against the your
πόλιν, οὐ νομίζομεν οὐδ' ἐν τούτοις ὑμῶν μᾶλλον ἁμαρτεῖν.
city not we-think not-even in these than-you more to-have-erred
65.2 εἰ μὲν γὰρ ἡμεῖς αὐτοὶ πρός τε τὴν πόλιν ἐλθόντες
if indeed for we ourselves against both the city having-come
ἐμαχόμεθα καὶ τὴν γῆν ἐδῃοῦμεν ὡς πολέμιοι, ἀδικοῦμεν·
fought and the land ravaged as enemies we-do-wrong
εἰ δὲ ἄνδρες ὑμῶν οἱ πρῶτοι καὶ χρήμασι καὶ γένει,
if but men your the first both in-money and in-birth
βουλόμενοι τῆς μὲν ἔξω ξυμμαχίας ὑμᾶς παῦσαι, ἐς δὲ
wishing from-the indeed outside alliance you to-stop to and
τὰ κοινὰ τῶν πάντων Βοιωτῶν πάτρια καταστῆσαι,
the common of-the all Boeotians ancestral-customs to-restore
ἐπεκαλέσαντο ἑκόντες, τί ἀδικοῦμεν; οἱ γὰρ ἄγοντες
invited willingly how do-we-do-wrong those for leading
παρανομοῦσι μᾶλλον τῶν ἑπομένων.
transgress more than-those following
65.3 ἀλλ' οὔτ' ἐκεῖνοι, ὡς ἡμεῖς κρίνομεν, οὔτε ἡμεῖς· πολῖται δὲ
but neither they as we judge nor we citizens and
ὄντες ὥσπερ ὑμεῖς καὶ πλείω παραβαλλόμενοι, τὸ ἑαυτῶν
being like you and more risking the their-own
τεῖχος ἀνοίξαντες καὶ ἐς τὴν αὑτῶν πόλιν φιλίως,
wall having-opened and into the their-own city in-friendly-fashion
οὐ πολεμίως κομίσαντες ἐβούλοντο τούς τε ὑμῶν χείρους
not hostilely having-brought wished the both of-you worse

μηκέτι μᾶλλον γενέσθαι τούς τε ἀμείνους τὰ ἄξια ἔχειν,
no-longer more to-become the both better the deserved to-have
σωφρονισταὶ ὄντες τῆς γνώμης καὶ τῶν σωμάτων τὴν
correctors being of-the mind and of-the bodies the
πόλιν οὐκ ἀλλοτριοῦντες ἀλλ' ἐς τὴν ξυγγένειαν οἰκειοῦντες,
city not estranging but into the kinship making-it-akin
ἐχθροὺς οὐδενὶ καθιστάντες, ἅπασι δ' ὁμοίως ἐνσπόνδους.
enemies to-no-one making to-all but alike treaty-partners
τεκμήριον δὲ ὡς οὐ πολεμίως ἐπράσσομεν· οὔτε γὰρ 66.1
proof and that not hostilely we-acted neither for
ἠδικήσαμεν οὐδένα, προείπομέν τε τὸν βουλόμενον
we-wronged anyone we-proclaimed both the-one wishing
κατὰ τὰ τῶν πάντων Βοιωτῶν πάτρια πολιτεύειν
according-to the of-the all Boeotians ancestral-customs to-be-a-citizen
ἰέναι πρὸς ἡμᾶς.
to-come to us
καὶ ὑμεῖς ἄσμενοι χωρήσαντες καὶ ξύμβασιν ποιησάμενοι 66.2
and you gladly having-come and agreement having-made
τὸ μὲν πρῶτον ἡσυχάζετε, ὕστερον δὲ κατανοήσαντες ἡμᾶς
the indeed first kept-quiet later but having-perceived us
ὀλίγους ὄντας, εἰ ἄρα καὶ ἐδοκοῦμέν τι ἀνεπιεικέστερον
few being if indeed also we-seemed something rather-unreasonably
πρᾶξαι οὐ μετὰ τοῦ πλήθους ὑμῶν ἐσελθόντες, τὰ μὲν
to-have-done not with the multitude your having-entered the indeed
ὁμοῖα οὐκ ἀνταπέδοτε ἡμῖν, μήτε νεωτερίσαι ἔργῳ λόγοις
same not you-returned to-us neither to-innovate in-deed by-words
τε πείθειν ὥστε ἐξελθεῖν, ἐπιθέμενοι δὲ παρὰ τὴν
both to-persuade so-that to-go-out having-attacked but contrary-to the
ξύμβασιν, οὓς μὲν ἐν χερσὶν ἀπεκτείνατε, οὐχ ὁμοίως
agreement those-whom indeed in hands you-killed not alike
ἀλγοῦμεν (κατὰ νόμον γὰρ δή τινα ἔπασχον), οὓς
we-grieve according-to custom for indeed some they-suffered those-whom

δὲ χεῖρας προϊσχομένους καὶ ζωγρήσαντες ὑποσχόμενοί τε
but hands holding-out and having-taken-alive having-promised both
ἡμῖν ὕστερον μὴ κτενεῖν παρανόμως διεφθείρατε, πῶς οὐ
us later not to-kill unlawfully you-destroyed how not
δεινὰ εἴργασθε;
terrible-things have-you-done

66.3 καὶ ταῦτα τρεῖς ἀδικίας ἐν ὀλίγῳ πράξαντες, τήν τε λυθεῖσαν
and these three wrongs in short having-done the both broken
ὁμολογίαν καὶ τῶν ἀνδρῶν τὸν ὕστερον θάνατον καὶ τὴν περὶ
agreement and of-the men the later death and the about
αὐτῶν ἡμῖν μὴ κτενεῖν ψευσθεῖσαν ὑπόσχεσιν, ἢν τὰ ἐν τοῖς
them to-us not to-kill falsified promise if the in the
ἀγροῖς ὑμῖν μὴ ἀδικῶμεν, ὅμως φατὲ ἡμᾶς παρανομῆσαι
fields to-you not we-harm nevertheless you-say us to-have-transgressed
καὶ αὐτοὶ ἀξιοῦτε μὴ ἀντιδοῦναι δίκην. οὔκ, ἤν γε οὗτοι τὰ
and yourselves think-fit not to-pay-in-return penalty not if at-least these the
ὀρθὰ γιγνώσκωσιν· πάντων δὲ αὐτῶν ἕνεκα κολασθήσεσθε.
right judge of-all but these for-the-sake you-will-be-punished

67.1 Καὶ ταῦτα, ὦ Λακεδαιμόνιοι, τούτου ἕνεκα ἐπεξήλθομεν
and these O Lacedaemonians of-this for-the-sake we-have-gone-through
καὶ ὑπὲρ ὑμῶν καὶ ἡμῶν, ἵνα ὑμεῖς μὲν εἰδῆτε
both on-behalf-of you and us so-that you indeed may-know
δικαίως αὐτῶν καταγνωσόμενοι, ἡμεῖς δὲ ἔτι ὁσιώτερον
justly them going-to-condemn we and still more-righteously
τετιμωρημένοι.
having-taken-vengeance

67.2 καὶ μὴ παλαιὰς ἀρετάς, εἴ τις ἄρα καὶ ἐγένετο, ἀκούοντες
and not old virtues if any indeed even existed hearing
ἐπικλασθῆτε, ἃς χρὴ τοῖς μὲν ἀδικουμένοις ἐπικούρους
be-softened which ought for-the indeed wronged helpers
εἶναι, τοῖς δὲ αἰσχρόν τι δρῶσι διπλασίας ζημίας,
to-be for-those but shameful something doing double penalties

ὅτι οὐκ ἐκ προσηκόντων ἁμαρτάνουσιν. μηδὲ ὀλοφυρμῷ
because not from fitting-motives they-err nor by-lamentation
καὶ οἴκτῳ ὠφελείσθων, πατέρων τε τάφους τῶν ὑμετέρων
and pity let-them-be-benefited of-fathers both tombs the your
ἐπιβοώμενοι καὶ τὴν σφετέραν ἐρημίαν.
calling-on and the their-own desolation
καὶ γὰρ ἡμεῖς ἀνταποφαίνομεν πολλῷ δεινότερα παθοῦσαν 67.3
and for we show-in-return much more-terrible-things having-suffered
τὴν ὑπὸ τούτων ἡλικίαν ἡμῶν διεφθαρμένην, ὧν πατέρες οἱ
the by these youth our destroyed of-whom fathers the
μὲν πρὸς ὑμᾶς τὴν Βοιωτίαν ἄγοντες ἀπέθανον ἐν Κορωνείᾳ,
indeed to you — Boeotia bringing died at Coronea
οἱ δὲ πρεσβῦται λελειμμένοι καὶ οἰκίαι ἐρῆμοι πολλῷ
the and old-men left-behind and houses desolate much
δικαιοτέραν ὑμῶν ἱκετείαν ποιοῦνται τούσδε τιμωρήσασθαι.
more-just of-you supplication make these to-punish
οἴκτου τε ἀξιώτεροι τυγχάνειν οἱ ἀπρεπές τι 67.4
of-pity both more-worthy to-obtain those unseemly something
πάσχοντες τῶν ἀνθρώπων, οἱ δὲ δικαίως, ὥσπερ οἵδε,
suffering of-the men those but justly as these
τὰ ἐναντία ἐπίχαρτοι εἶναι.
the opposite objects-of-rejoicing to-be
καὶ τὴν νῦν ἐρημίαν δι' ἑαυτοὺς ἔχουσιν· τοὺς γὰρ 67.5
and the present desolation because-of themselves they-have the for
ἀμείνους ξυμμάχους ἑκόντες ἀπεώσαντο. παρενόμησάν
better allies willingly they-rejected transgressed
τε οὐ προπαθόντες ὑφ' ἡμῶν, μίσει δὲ πλέον ἢ
and not having-suffered-first by us by-hatred but more than
δίκῃ κρίναντες καὶ οὐκ ἀνταποδόντες νῦν τὴν ἴσην
by-justice having-judged and not having-paid-back now the equal
τιμωρίαν· ἔννομα γὰρ πείσονται καὶ οὐχὶ ἐκ μάχης
vengeance lawful-things for they-will-suffer and not from battle

χεῖρας προϊσχόμενοι, ὥσπερ φασίν, ἀλλ᾽ ἀπὸ ξυμβάσεως
hands holding-out as they-say but from agreement
ἐς δίκην σφᾶς αὐτοὺς παραδόντες.
to trial them selves having-surrendered
67.6 ἀμύνατε οὖν, ὦ Λακεδαιμόνιοι, καὶ τῷ τῶν Ἑλλήνων
avenge then O Lacedaemonians both the of-the Greeks
νόμῳ ὑπὸ τῶνδε παραβαθέντι, καὶ ἡμῖν ἄνομα παθοῦσιν
law by these transgressed and to-us lawless-things having-suffered
ἀνταπόδοτε χάριν δικαίαν ὧν πρόθυμοι γεγενήμεθα, καὶ
repay favor just of-what eager we-have-been and
μὴ τοῖς τῶνδε λόγοις περιωσθῶμεν ἐν ὑμῖν, ποιήσατε
not by-the of-these words let-us-be-thrust-aside in you make
δὲ τοῖς Ἕλλησι παράδειγμα οὐ λόγων τοὺς ἀγῶνας
but for-the Greeks example not of-words the contests
προθήσοντες ἀλλ᾽ ἔργων, ὧν ἀγαθῶν μὲν ὄντων
going-to-propose but of-deeds of-which good indeed being
βραχεῖα ἡ ἀπαγγελία ἀρκεῖ, ἁμαρτανομένων δὲ λόγοι
short the report suffices being-done-amiss but words
ἔπεσι κοσμηθέντες προκαλύμματα γίγνονται.
with-phrases adorned screens become
67.7 ἀλλ᾽ ἢν οἱ ἡγεμόνες, ὥσπερ νῦν ὑμεῖς, κεφαλαιώσαντες
but if the leaders as now you having-summed-up
πρὸς τοὺς ξύμπαντας διαγνώμας ποιήσησθε, ἧσσόν τις
toward the all decisions make less anyone
ἐπ᾽ ἀδίκοις ἔργοις λόγους καλοὺς ζητήσει.᾽
for unjust deeds words fine will-seek

The Spartan judges hold that the Plataeans refused neutrality and so are enemies. They ask each man whether he has done Sparta and its allies any good in the war, and kill every man who answers no: at least two hundred Plataeans and twenty-five Athenians. The women are enslaved. Thebes lets Megarian exiles and its Plataean partisans live in the town for a year, then razes it, builds an inn and a stone temple by the Heraeum, dedicates couches to Hera, and leases the land for ten years to Thebans. Sparta's harshness serves Thebes, useful in the new war, and Plataea ends in the ninety-third year of its Athenian alliance.

τοιαῦτα δὲ οἱ Θηβαῖοι εἶπον. οἱ δὲ Λακεδαιμόνιοι δικασταὶ 68.1
such-things and the Thebans said the and Lacedaemonian judges
νομίζοντες τὸ ἐπερώτημα σφίσιν ὀρθῶς ἕξειν, εἴ τι
thinking the question for-them rightly to-hold if in-any-way
ἐν τῷ πολέμῳ ὑπ᾽ αὐτῶν ἀγαθὸν πεπόνθασι, διότι τόν τε
in the war from them good they-have-received because the both
ἄλλον χρόνον ἠξίουν δῆθεν αὐτοὺς κατὰ τὰς παλαιὰς
other time they-asked supposedly them according-to the old
Παυσανίου μετὰ τὸν Μῆδον σπονδὰς ἡσυχάζειν καὶ ὅτε
of-Pausanias after the Mede treaty to-keep-quiet and when
ὕστερον ἃ πρὸ τοῦ περιτειχίζεσθαι προείχοντο αὐτοῖς,
later what before the to-be-walled-in they-proposed to-them
κοινοὺς εἶναι κατ᾽ ἐκεῖνα, ὡς οὐκ ἐδέξαντο, ἡγούμενοι τῇ
neutral to-be according-to those as not they-accepted thinking by-the
ἑαυτῶν δικαίᾳ βουλήσει ἔκσπονδοι ἤδη ὑπ᾽ αὐτῶν κακῶς
their-own just intention outside-the-treaty already by them badly
πεπονθέναι, αὖθις τὸ αὐτὸ ἕνα ἕκαστον παραγαγόντες καὶ
to-have-suffered again the same one each bringing-forward and
ἐρωτῶντες, εἴ τι Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους
asking if in-any-way Lacedaemonians and the allies

ἀγαθὸν ἐν τῷ πολέμῳ δεδρακότες εἰσίν, ὁπότε μὴ φαῖεν,
good in the war having-done they-are whenever not they-said
ἀπάγοντες ἀπέκτεινον καὶ ἐξαίρετον ἐποιήσαντο οὐδένα.
leading-away killed and exception made none

68.2 διέφθειραν δὲ Πλαταιῶν μὲν αὐτῶν οὐκ ἐλάσσους
they-killed and of-Plataeans indeed themselves not fewer
διακοσίων, Ἀθηναίων δὲ πέντε καὶ εἴκοσιν, οἳ
than-two-hundred of-Athenians and five and twenty who
ξυνεπολιορκοῦντο· γυναῖκας δὲ ἠνδραπόδισαν.
were-besieged-with-them women and they-enslaved

68.3 τὴν δὲ πόλιν ἐνιαυτὸν μέν τινα Μεγαρέων ἀνδράσι κατὰ
the and city for-a-year indeed some of-Megarians to-men by
στάσιν ἐκπεπτωκόσι καὶ ὅσοι τὰ σφέτερα φρονοῦντες
faction exiled and as-many-as the their-own favoring
Πλαταιῶν περιῆσαν ἔδοσαν ἐνοικεῖν· ὕστερον δὲ καθελόντες
of-Plataeans survived gave to-inhabit later but having-razed
αὐτὴν ἐς ἔδαφος πᾶσαν ἐκ τῶν θεμελίων ᾠκοδόμησαν
it to ground all from the foundations they-built
πρὸς τῷ Ἡραίῳ καταγώγιον διακοσίων ποδῶν πανταχῇ,
by — Heraeum inn of-two-hundred feet every-way
κύκλῳ οἰκήματα ἔχον κάτωθεν καὶ ἄνωθεν, καὶ ὀροφαῖς καὶ
in-a-circle rooms having below and above and with-roofs and
θυρώμασι τοῖς τῶν Πλαταιῶν ἐχρήσαντο, καὶ τοῖς ἄλλοις
doors the of-the Plataeans they-used and the other
ἃ ἦν ἐν τῷ τείχει ἔπιπλα, χαλκὸς καὶ σίδηρος, κλίνας
which were in the wall furnishings bronze and iron couches
κατασκευάσαντες ἀνέθεσαν τῇ Ἥρᾳ, καὶ νεὼν ἑκατόμπεδον
having-made they-dedicated — to-Hera and temple hundred-foot
λίθινον ᾠκοδόμησαν αὐτῇ. τὴν δὲ γῆν δημοσιώσαντες
stone they-built for-her the and land having-confiscated
ἀπεμίσθωσαν ἐπὶ δέκα ἔτη, καὶ ἐνέμοντο Θηβαῖοι.
they-leased for ten years and occupied Thebans

σχεδὸν δέ τι καὶ τὸ ξύμπαν περὶ Πλαταιῶν οἱ 68.4
nearly and somewhat also the whole about Plataeans the
Λακεδαιμόνιοι οὕτως ἀποτετραμμένοι ἐγένοντο Θηβαίων
Lacedaemonians thus averse became of-Thebans
ἕνεκα, νομίζοντες ἐς τὸν πόλεμον αὐτοὺς ἄρτι τότε
for-the-sake thinking for the war them just then
καθιστάμενον ὠφελίμους εἶναι.
beginning useful to-be
καὶ τὰ μὲν κατὰ Πλάταιαν ἔτει τρίτῳ καὶ ἐνενηκοστῷ 68.5
and the indeed about Plataea in-year third and ninetieth
ἐπειδὴ Ἀθηναίων ξύμμαχοι ἐγένοντο οὕτως ἐτελεύτησεν.
since of-Athenians allies they-became thus ended

XV · CIVIL WAR AT CORCYRA

Corcyraean prisoners, released by Corinth to win the island, bring Peithias to trial for enslaving Corcyra to Athens; acquitted, he prosecutes five rich men for cutting vine-props in a sacred grove, and they burst into the council and kill him and others, about sixty in all. Fighting follows in the city, and the people win, the women throwing tiles; the oligarchs burn houses round the market. Nicostratus arranges a truce, but the oligarchs, fearing to be sent to Athens, take refuge at temples. Alcidas' fleet defeats the Corcyraeans, but turns back when sixty Athenian ships approach, and the people kill everyone they can of their enemies for seven days.

αἱ δὲ τεσσαράκοντα νῆες τῶν Πελοποννησίων αἱ 69.1
the and forty ships of-the Peloponnesians those
Λεσβίοις βοηθοὶ ἐλθοῦσαι, ὡς τότε φεύγουσαι διὰ τοῦ
to-Lesbians as-helpers having-gone when then fleeing through the
πελάγους ἔκ τε τῶν Ἀθηναίων ἐπιδιωχθεῖσαι καὶ πρὸς
open-sea by both the Athenians having-been-pursued and off
τῇ Κρήτῃ χειμασθεῖσαι καὶ ἀπ' αὐτῆς σποράδες πρὸς
— Crete having-been-storm-tossed and from it scattered to

τὴν Πελοπόννησον κατηνέχθησαν, καταλαμβάνουσιν ἐν
— *Peloponnese* *were-carried-down* *find* *at*
τῇ Κυλλήνῃ τρεῖς καὶ δέκα τριήρεις Λευκαδίων καὶ
— *Cyllene* *three* *and* *ten* *triremes* *of-Leucadians* *and*
Ἀμπρακιωτῶν καὶ Βρασίδαν τὸν Τέλλιδος ξύμβουλον
Ambraciots *and* *Brasidas* *the* *son-of-Tellis* *adviser*
Ἀλκίδᾳ ἐπεληλυθότα.
to-Alcidas *having-arrived*

69.2 ἐβούλοντο γὰρ οἱ Λακεδαιμόνιοι, ὡς τῆς Λέσβου
wished *for* *the* *Lacedaemonians* *since* — *of-Lesbos*
ἡμαρτήκεσαν, πλέον τὸ ναυτικὸν ποιήσαντες ἐς τὴν Κέρκυραν
they-had-failed *greater* *the* *navy* *having-made* *to* — *Corcyra*
πλεῦσαι στασιάζουσαν, δώδεκα μὲν ναυσὶ μόναις παρόντων
to-sail *being-in-faction* *twelve* *indeed* *with-ships* *only* *being-present*
Ἀθηναίων περὶ Ναύπακτον, πρὶν δὲ πλέον τι ἐπιβοηθῆσαι
Athenians *about* *Naupactus* *before* *but* *greater* *any* *to-come-to-help*
ἐκ τῶν Ἀθηνῶν ναυτικόν, ὅπως προφθάσωσι, καὶ
from — *Athens* *navy* *so-that* *they-might-forestall* *and*
παρεσκευάζοντο ὅ τε Βρασίδας καὶ ὁ Ἀλκίδας πρὸς ταῦτα.
prepared — *both* *Brasidas* *and* — *Alcidas* *for* *this*

70.1 οἱ γὰρ Κερκυραῖοι ἐστασίαζον, ἐπειδὴ οἱ αἰχμάλωτοι ἦλθον
the *for* *Corcyraeans* *were-in-faction* *since* *the* *prisoners* *came*
αὐτοῖς οἱ ἐκ τῶν περὶ Ἐπίδαμνον ναυμαχιῶν ὑπὸ Κορινθίων
to-them *those* *from* *the* *about* *Epidamnus* *sea-battles* *by* *Corinthians*
ἀφεθέντες, τῷ μὲν λόγῳ ὀκτακοσίων ταλάντων τοῖς
released *in-the* *indeed* *word* *for-eight-hundred* *talents* *to-the*
προξένοις διηγγυημένοι, ἔργῳ δὲ πεπεισμένοι Κορινθίοις
proxenoi *having-been-pledged* *in-deed* *but* *having-been-persuaded* *for-Corinthians*
Κέρκυραν προσποιῆσαι. καὶ ἔπρασσον οὗτοι, ἕκαστον τῶν
Corcyra *to-win-over* *and* *negotiated* *these* *each* *of-the*
πολιτῶν μετιόντες, ὅπως ἀποστήσωσιν Ἀθηναίων τὴν πόλιν.
citizens *approaching* *so-that* *they-might-detach* *from-Athenians* *the* *city*

καὶ ἀφικομένης Ἀττικῆς τε νεὼς καὶ Κορινθίας πρέσβεις 70.2
and having-arrived Attic both ship and Corinthian envoys
ἀγουσῶν καὶ ἐς λόγους καταστάντων ἐψηφίσαντο
bringing and to talks having-come voted
Κερκυραίοι Ἀθηναίοις μὲν ξύμμαχοι εἶναι κατὰ τὰ
Corcyraeans to-Athenians indeed allies to-be according-to the
ξυγκείμενα, Πελοποννησίοις δὲ φίλοι ὥσπερ καὶ πρότερον.
agreements to-Peloponnesians but friends as also before
καὶ (ἦν γὰρ Πειθίας ἐθελοπρόξενός τε τῶν Ἀθηναίων καὶ 70.3
and was for Peithias volunteer-proxenus both of-the Athenians and
τοῦ δήμου προειστήκει) ὑπάγουσιν αὐτὸν οὗτοι οἱ ἄνδρες
of-the people was-leader bring-to-trial him these the men
ἐς δίκην, λέγοντες Ἀθηναίοις τὴν Κέρκυραν καταδουλοῦν.
to trial saying for-Athenians — Corcyra to-enslave
ὁ δὲ ἀποφυγὼν ἀνθυπάγει αὐτῶν τοὺς 70.4
he and having-been-acquitted brings-to-trial-in-turn of-them the
πλουσιωτάτους πέντε ἄνδρας, φάσκων τέμνειν χάρακας
richest five men alleging to-cut vine-poles
ἐκ τοῦ τε Διὸς τοῦ τεμένους καὶ τοῦ Ἀλκίνου· ζημία
from — both of-Zeus the precinct and — of-Alcinous penalty
δὲ καθ' ἑκάστην χάρακα ἐπέκειτο στατήρ.
and for each vine-pole was-imposed stater
ὀφλόντων δὲ αὐτῶν καὶ πρὸς τὰ ἱερὰ ἱκετῶν 70.5
having-been-convicted and them and at the shrines suppliants
καθεζομένων διὰ πλῆθος τῆς ζημίας, ὅπως ταξάμενοι
sitting because-of greatness of-the penalty so-that having-arranged
ἀποδῶσιν, ὁ Πειθίας (ἐτύγχανε γὰρ καὶ βουλῆς ὤν)
they-might-pay — Peithias he-happened for also of-council being
πείθει ὥστε τῷ νόμῳ χρήσασθαι.
persuades so-as the law to-apply

70.6 οἱ δ' ἐπειδὴ τῷ τε νόμῳ ἐξείργοντο καὶ ἅμα
they and since by-the both law they-were-shut-out and at-the-same-time
ἐπυνθάνοντο τὸν Πειθίαν, ἕως ἔτι βουλῆς ἐστί, μέλλειν τὸ
they-learned — Peithias while still of-council he-is to-be-about the
πλῆθος ἀναπείσειν τοὺς αὐτοὺς Ἀθηναίοις φίλους τε καὶ
multitude to-persuade the same for-Athenians friends both and
ἐχθροὺς νομίζειν, ξυνίσταντό τε καὶ λαβόντες ἐγχειρίδια
enemies to-consider banded-together both and having-taken daggers
ἐξαπιναίως ἐς τὴν βουλὴν ἐσελθόντες τόν τε Πειθίαν
suddenly into the council having-entered — both Peithias
κτείνουσι καὶ ἄλλους τῶν τε βουλευτῶν καὶ ἰδιωτῶν ἐς
kill and others of-the both councilors and private-men to
ἑξήκοντα· οἱ δέ τινες τῆς αὐτῆς γνώμης τῷ Πειθίᾳ
sixty they and some of-the same opinion — with-Peithias
ὀλίγοι ἐς τὴν Ἀττικὴν τριήρη κατέφυγον ἔτι παροῦσαν.
few to the Attic trireme fled still being-there
71.1 δράσαντες δὲ τοῦτο καὶ ξυγκαλέσαντες Κερκυραίους εἶπον
having-done and this and having-called-together Corcyraeans they-said
ὅτι ταῦτα καὶ βέλτιστα εἴη καὶ ἥκιστ' ἂν δουλωθεῖεν
that these both best were and least — they-would-be-enslaved
ὑπ' Ἀθηναίων, τό τε λοιπὸν μηδετέρους δέχεσθαι ἀλλ' ἢ
by Athenians the both future neither-side to-receive except than
μιᾷ νηὶ ἡσυχάζοντας, τὸ δὲ πλέον πολέμιον ἡγεῖσθαι.
with-one ship keeping-quiet the but more enemy to-consider
ὡς δὲ εἶπον, καὶ ἐπικυρῶσαι ἠνάγκασαν τὴν γνώμην.
as and they-said also to-ratify they-compelled the motion
71.2 πέμπουσι δὲ καὶ ἐς τὰς Ἀθήνας εὐθὺς πρέσβεις περί τε
they-send and also to — Athens at-once envoys about both
τῶν πεπραγμένων διδάξοντας ὡς ξυνέφερε καὶ τοὺς ἐκεῖ
the things-done going-to-explain as it-was-expedient and those there

καταπεφευγότας πείσοντας μηδὲν ἀνεπιτήδειον πράσσειν,
having-fled going-to-persuade nothing harmful to-do
ὅπως μή τις ἐπιστροφὴ γένηται.
so-that not any reaction should-happen
ἐλθόντων δὲ οἱ Ἀθηναῖοι τούς τε πρέσβεις ὡς νεωτερίζοντας 72.1
having-come and the Athenians the both envoys as revolutionaries
ξυλλαβόντες, καὶ ὅσους ἔπεισαν, κατέθεντο ἐς Αἴγιναν.
having-arrested and as-many-as they-persuaded deposited at Aegina
ἐν δὲ τούτῳ τῶν Κερκυραίων οἱ ἔχοντες τὰ πράγματα 72.2
in and this of-the Corcyraeans those holding the affairs
ἐλθούσης τριήρους Κορινθίας καὶ Λακεδαιμονίων πρέσβεων
having-come trireme Corinthian and of-Lacedaemonians envoys
ἐπιτίθενται τῷ δήμῳ, καὶ μαχόμενοι ἐνίκησαν.
attack the people and fighting won
ἀφικομένης δὲ νυκτὸς ὁ μὲν δῆμος ἐς τὴν ἀκρόπολιν καὶ 72.3
having-come and night the indeed people to the acropolis and
τὰ μετέωρα τῆς πόλεως καταφεύγει καὶ αὐτοῦ ξυλλεγεὶς
the high-parts of-the city flees and there having-gathered
ἱδρύθη, καὶ τὸν Ὑλλαϊκὸν λιμένα εἶχον· οἱ δὲ τήν τε
settled and the Hyllaic harbor held they and the both
ἀγορὰν κατέλαβον, οὗπερ οἱ πολλοὶ ᾤκουν αὐτῶν, καὶ
market-place seized where-very the most lived of-them and
τὸν λιμένα τὸν πρὸς αὐτῇ καὶ πρὸς τὴν ἤπειρον.
the harbor the toward it and toward the mainland
τῇ δ' ὑστεραίᾳ ἠκροβολίσαντό τε ὀλίγα καὶ ἐς 73.1
on-the and next-day they-skirmished both a-little and to
τοὺς ἀγροὺς περιέπεμπον ἀμφότεροι, τοὺς δούλους
the fields sent-round both-sides the slaves
παρακαλοῦντές τε καὶ ἐλευθερίαν ὑπισχνούμενοι· καὶ τῷ
summoning both and freedom promising and to-the

μὲν δήμῳ τῶν οἰκετῶν τὸ πλῆθος παρεγένετο ξύμμαχον,
indeed people of-the servants the multitude came-over as-ally
τοῖς δ᾽ ἑτέροις ἐκ τῆς ἠπείρου ἐπίκουροι ὀκτακόσιοι.
to-the but others from the mainland auxiliaries eight-hundred
74.1 διαλιπούσης δ᾽ ἡμέρας μάχη αὖθις γίγνεται καὶ νικᾷ ὁ δῆμος
having-intervened and a-day battle again takes-place and wins the people
χωρίων τε ἰσχύι καὶ πλήθει προύχων· αἵ τε γυναῖκες
of-positions both by-strength and in-number excelling the both women
αὐτοῖς τολμηρῶς ξυνεπελάβοντο βάλλουσαι ἀπὸ τῶν οἰκιῶν
with-them boldly joined-in pelting from the houses
τῷ κεράμῳ καὶ παρὰ φύσιν ὑπομένουσαι τὸν θόρυβον.
with-the tiles and beyond nature enduring the uproar
74.2 γενομένης δὲ τῆς τροπῆς περὶ δείλην ὀψίαν, δείσαντες οἱ
having-happened and the rout about evening late having-feared the
ὀλίγοι μὴ αὐτοβοεὶ ὁ δῆμος τοῦ τε νεωρίου κρατήσειεν
few lest at-the-first-shout the people of-the both dockyard should-master
ἐπελθὼν καὶ σφᾶς διαφθείρειεν, ἐμπιπρᾶσι τὰς οἰκίας
having-come-on and them should-destroy set-fire-to the houses
τὰς ἐν κύκλῳ τῆς ἀγορᾶς καὶ τὰς ξυνοικίας, ὅπως μὴ
the in circle of-the market-place and the tenements so-that not
ᾖ ἔφοδος, φειδόμενοι οὔτε οἰκείας οὔτε ἀλλοτρίας,
there-be approach sparing neither own nor others'
ὥστε καὶ χρήματα πολλὰ ἐμπόρων κατεκαύθη καὶ ἡ
so-that also goods much of-merchants were-burned-up and the
πόλις ἐκινδύνευσε πᾶσα διαφθαρῆναι, εἰ ἄνεμος ἐπεγένετο
city was-in-danger all to-be-destroyed if wind had-come-on
τῇ φλογὶ ἐπίφορος ἐς αὐτήν.
to-the flame carrying toward it
74.3 καὶ οἱ μὲν παυσάμενοι τῆς μάχης ὡς ἑκάτεροι
and they indeed having-ceased from-the battle as each-side
ἡσυχάσαντες τὴν νύκτα ἐν φυλακῇ ἦσαν· καὶ ἡ Κορινθία
having-kept-quiet the night on guard were and the Corinthian

ναῦς τοῦ δήμου κεκρατηκότος ὑπεξανήγετο, καὶ τῶν
ship the people having-prevailed slipped-out and of-the
ἐπικούρων οἱ πολλοὶ ἐς τὴν ἤπειρον λαθόντες διεκομίσθησαν.
auxiliaries the most to the mainland secretly crossed-over
τῇ δὲ ἐπιγιγνομένῃ ἡμέρᾳ Νικόστρατος ὁ Διειτρέφους 75.1
on-the and following day Nicostratus the son-of-Diitrephes
Ἀθηναίων στρατηγὸς παραγίγνεται βοηθῶν ἐκ Ναυπάκτου
of-Athenians general arrives coming-to-help from Naupactus
δώδεκα ναυσὶ καὶ Μεσσηνίων πεντακοσίοις ὁπλίταις·
with-twelve ships and of-Messenians with-five-hundred hoplites
ξύμβασίν τε ἔπρασσε καὶ πείθει ὥστε ξυγχωρῆσαι
agreement both negotiated and persuades so-as to-come-to-terms
ἀλλήλοις δέκα μὲν ἄνδρας τοὺς αἰτιωτάτους κρῖναι,
with-one-another ten indeed men the most-guilty to-try
οἳ οὐκέτι ἔμειναν, τοὺς δ' ἄλλους οἰκεῖν σπονδὰς πρὸς
who no-longer remained the but others to-live treaty with
ἀλλήλους ποιησαμένους καὶ πρὸς Ἀθηναίους, ὥστε τοὺς
one-another having-made and with Athenians so-as the
αὐτοὺς ἐχθροὺς καὶ φίλους νομίζειν.
same enemies and friends to-consider
καὶ ὁ μὲν ταῦτα πράξας ἔμελλεν ἀποπλεύσεσθαι· οἱ 75.2
and he indeed these having-done was-about to-sail-away the
δὲ τοῦ δήμου προστάται πείθουσιν αὐτὸν πέντε μὲν
but of-the people leaders persuade him five indeed
ναῦς τῶν αὐτοῦ σφίσι καταλιπεῖν, ὅπως ἧσσόν τι
ships of-the his to-them to-leave so-that less somewhat
ἐν κινήσει ὦσιν οἱ ἐναντίοι, ἴσας δὲ αὐτοὶ πληρώσαντες
in movement might-be the opponents equal but themselves having-manned
ἐκ σφῶν αὐτῶν ξυμπέμψειν.
from them selves to-send-with-him

75.3 καὶ ὁ μὲν ξυνεχώρησεν, οἱ δὲ τοὺς ἐχθροὺς κατέλεγον
and he indeed agreed they but the enemies enlisted
ἐς τὰς ναῦς. δείσαντες δὲ ἐκεῖνοι μὴ ἐς τὰς Ἀθήνας
for the ships having-feared and those lest to — Athens
ἀποπεμφθῶσι καθίζουσιν ἐς τὸ τῶν Διοσκόρων ἱερόν.
they-be-sent-off sit-down in the — of-Dioscuri temple
75.4 Νικόστρατος δὲ αὐτοὺς ἀνίστη τε καὶ παρεμυθεῖτο. ὡς
Nicostratus and them raised both and consoled when
δ' οὐκ ἔπειθεν, ὁ δῆμος ὁπλισθεὶς ἐπὶ τῇ προφάσει
but not be-persuaded the people having-armed-itself on the pretext
ταύτῃ, ὡς οὐδὲν αὐτῶν ὑγιὲς διανοουμένων τῇ τοῦ μὴ
this as nothing of-them sound intending by-the of-the not
ξυμπλεῖν ἀπιστίᾳ, τά τε ὅπλα αὐτῶν ἐκ τῶν οἰκιῶν
to-sail-with distrust the both arms their from the houses
ἔλαβε καὶ αὐτῶν τινὰς οἷς ἐπέτυχον, εἰ μὴ Νικόστρατος
took and of-them some whom they-came-upon if not Nicostratus
ἐκώλυσε, διέφθειραν ἄν.
had-prevented they-would-have-killed —
75.5 ὁρῶντες δὲ οἱ ἄλλοι τὰ γιγνόμενα καθίζουσιν ἐς τὸ
seeing and the others the happenings sit in —
Ἥραιον ἱκέται καὶ γίγνονται οὐκ ἐλάσσους τετρακοσίων.
Heraeum suppliants and are not fewer than-four-hundred
ὁ δὲ δῆμος δείσας μή τι νεωτερίσωσιν ἀνίστησί
the but people having-feared lest something they-should-attempt raises
τε αὐτοὺς πείσας καὶ διακομίζει ἐς τὴν πρὸ τοῦ
both them having-persuaded and conveys to the before —
Ἡραίου νῆσον, καὶ τὰ ἐπιτήδεια ἐκεῖσε αὐτοῖς διεπέμπετο.
Heraeum island and the necessities there to-them were-sent
76.1 τῆς δὲ στάσεως ἐν τούτῳ οὔσης τετάρτῃ ἢ πέμπτῃ
of-the and faction at this being on-the-fourth or on-the-fifth
ἡμέρᾳ μετὰ τὴν τῶν ἀνδρῶν ἐς τὴν νῆσον διακομιδὴν
day after the of-the men to the island conveyance

αἱ ἐκ τῆς Κυλλήνης Πελοποννησίων νῆες, μετὰ τὸν
the from — Cyllene Peloponnesian ships after the
ἐκ τῆς Ἰωνίας πλοῦν ἔφορμοι οὖσαι, παραγίγνονται
from — Ionia voyage lying-at-anchor being arrive
τρεῖς καὶ πεντήκοντα· ἦρχε δὲ αὐτῶν Ἀλκίδας, ὅσπερ
three and fifty commanded and them Alcidas who-very
καὶ πρότερον, καὶ Βρασίδας αὐτῷ ξύμβουλος ἐπέπλει.
also before and Brasidas to-him adviser sailed-on-board
ὁρμισάμενοι δὲ ἐς Σύβοτα λιμένα τῆς ἠπείρου ἅμα
having-anchored and at Sybota harbor of-the mainland together-with
ἕῳ ἐπέπλεον τῇ Κερκύρᾳ.
dawn they-sailed-against — Corcyra
οἱ δὲ πολλῷ θορύβῳ καὶ πεφοβημένοι τά τ᾽ ἐν τῇ πόλει 77.1
they and in-much confusion and frightened-by the both in the city
καὶ τὸν ἐπίπλουν παρεσκευάζοντό τε ἅμα ἑξήκοντα
and the attack prepared both at-the-same-time sixty
ναῦς καὶ τὰς αἰεὶ πληρουμένας ἐξέπεμπον πρὸς τοὺς
ships and the always being-manned sent-out against the
ἐναντίους, παραινούντων Ἀθηναίων σφᾶς τε ἐᾶσαι πρῶτον
opponents advising Athenians them both to-allow first
ἐκπλεῦσαι καὶ ὕστερον πάσαις ἅμα ἐκείνους ἐπιγενέσθαι.
to-sail-out and later with-all at-once those to-follow
ὡς δὲ αὐτοῖς πρὸς τοῖς πολεμίοις ἦσαν σποράδες αἱ νῆες, 77.2
when and to-them near the enemies were scattered the ships
δύο μὲν εὐθὺς ἠτομόλησαν, ἐν ἑτέραις δὲ ἀλλήλοις οἱ
two indeed at-once deserted in others and one-another those
ἐμπλέοντες ἐμάχοντο, ἦν δὲ οὐδεὶς κόσμος τῶν ποιουμένων.
on-board fought was and no order of-the things-being-done
ἰδόντες δὲ οἱ Πελοποννήσιοι τὴν ταραχὴν εἴκοσι μὲν 77.3
having-seen and the Peloponnesians the confusion twenty indeed
ναυσὶ πρὸς τοὺς Κερκυραίους ἐτάξαντο, ταῖς δὲ λοιπαῖς
with-ships against the Corcyraeans were-drawn-up with-the but rest

πρὸς τὰς δώδεκα ναῦς τῶν Ἀθηναίων, ὧν ἦσαν αἱ δύο
against the twelve ships of-the Athenians of-which were the two
Σαλαμινία καὶ Πάραλος.
Salaminia and Paralus

78.1 καὶ οἱ μὲν Κερκυραῖοι κακῶς τε καὶ κατ' ὀλίγας
and the indeed Corcyraeans badly both and in few
προσπίπτοντες ἐταλαιπώρουν τὸ καθ' αὑτούς· οἱ δ'
attacking suffered the on their-side the but
Ἀθηναῖοι φοβούμενοι τὸ πλῆθος καὶ τὴν περικύκλωσιν
Athenians fearing the number and the encirclement
ἁθρόαις μὲν οὐ προσέπιπτον οὐδὲ κατὰ μέσον ταῖς
in-a-body indeed not attacked nor at center the
ἐφ' ἑαυτοὺς τεταγμέναις, προσβαλόντες δὲ κατὰ κέρας
against themselves drawn-up having-attacked but on wing
καταδύουσι μίαν ναῦν. καὶ μετὰ ταῦτα κύκλον ταξαμένων
they-sink one ship and after this circle having-formed
αὐτῶν περιέπλεον καὶ ἐπειρῶντο θορυβεῖν.
them they-sailed-round and tried to-throw-into-confusion

78.2 γνόντες δὲ οἱ πρὸς τοῖς Κερκυραίοις καὶ δείσαντες μὴ
having-perceived and those against the Corcyraeans and having-feared lest
ὅπερ ἐν Ναυπάκτῳ γένοιτο, ἐπιβοηθοῦσι, καὶ γενόμεναι
what-very at Naupactus should-happen come-to-help and having-become
ἁθρόαι αἱ νῆες ἅμα τὸν ἐπίπλουν τοῖς Ἀθηναίοις
in-a-body the ships at-the-same-time the attack on-the Athenians
ἐποιοῦντο.
made

78.3 οἱ δ' ὑπεχώρουν ἤδη πρύμναν κρουόμενοι καὶ ἅμα
they and withdrew already stern backing-water and at-the-same-time
τὰς τῶν Κερκυραίων ἐβούλοντο προκαταφυγεῖν ὅτι
the of-the Corcyraeans they-wished to-get-to-refuge-first as

μάλιστα, ἑαυτῶν σχολῇ τε ὑποχωρούντων καὶ πρὸς σφᾶς
much themselves slowly both withdrawing and against them
τεταγμένων τῶν ἐναντίων.
drawn-up the opponents
ἡ μὲν οὖν ναυμαχία τοιαύτη γενομένη ἐτελεύτα ἐς ἡλίου 78.4
the indeed then sea-battle such having-been ended at sun's
δύσιν,
setting
καὶ οἱ Κερκυραῖοι δείσαντες μὴ σφίσιν ἐπιπλεύσαντες ἐπὶ 79.1
and the Corcyraeans having-feared lest them having-sailed-against against
τὴν πόλιν ὡς κρατοῦντες οἱ πολέμιοι ἢ τοὺς ἐκ τῆς
the city as being-victorious the enemies either those from the
νήσου ἀναλάβωσιν ἢ καὶ ἄλλο τι νεωτερίσωσι, τούς
island should-take-up or also other anything should-attempt the
τε ἐκ τῆς νήσου πάλιν ἐς τὸ Ἥραιον διεκόμισαν καὶ
both from the island again to — Heraeum conveyed and
τὴν πόλιν ἐφύλασσον.
the city guarded
οἱ δ' ἐπὶ μὲν τὴν πόλιν οὐκ ἐτόλμησαν πλεῦσαι 79.2
they and against indeed the city not dared to-sail
κρατοῦντες τῇ ναυμαχίᾳ, τρεῖς δὲ καὶ δέκα ναῦς ἔχοντες
being-victorious in-the sea-battle three but and ten ships having
τῶν Κερκυραίων ἀπέπλευσαν ἐς τὴν ἤπειρον, ὅθενπερ
of-the Corcyraeans sailed-off to the mainland from-where-very
ἀνηγάγοντο.
they-had-put-out
τῇ δ' ὑστεραίᾳ ἐπὶ μὲν τὴν πόλιν οὐδὲν μᾶλλον 79.3
on-the and next-day against indeed the city nothing more
ἐπέπλεον, καίπερ ἐν πολλῇ ταραχῇ καὶ φόβῳ ὄντας καὶ
sailed although in much confusion and fear being and
Βρασίδου παραινοῦντος, ὡς λέγεται, Ἀλκίδᾳ, ἰσοψήφου
Brasidas advising as is-said to-Alcidas equal-in-vote

δὲ οὐκ ὄντος· ἐπὶ δὲ τὴν Λευκίμμην τὸ ἀκρωτήριον
but not being to but — Leucimme the headland
ἀποβάντες ἐπόρθουν τοὺς ἀγρούς.
having-landed they-ravaged the fields

80.1 ὁ δὲ δῆμος τῶν Κερκυραίων ἐν τούτῳ περιδεὴς γενόμενος
the and people of-the Corcyraeans in this terrified having-become
μὴ ἐπιπλεύσωσιν αἱ νῆες, τοῖς τε ἱκέταις ᾖσαν ἐς
lest should-sail-against the ships with-the both suppliants went to
λόγους καὶ τοῖς ἄλλοις, ὅπως σωθήσεται ἡ πόλις, καί
talks and with-the others how will-be-saved the city and
τινας αὐτῶν ἔπεισαν ἐς τὰς ναῦς ἐσβῆναι· ἐπλήρωσαν
some of-them they-persuaded into the ships to-embark manned
γὰρ ὅμως τριάκοντα προσδεχόμενοι τὸν ἐπίπλουν.
for nevertheless thirty expecting the attack

80.2 οἱ δὲ Πελοποννήσιοι μέχρι μέσου ἡμέρας δηώσαντες τὴν
the and Peloponnesians until middle of-day having-ravaged the
γῆν ἀπέπλευσαν, καὶ ὑπὸ νύκτα αὐτοῖς ἐφρυκτωρήθησαν
land sailed-off and under night to-them were-signaled-by-beacon
ἑξήκοντα νῆες Ἀθηναίων προσπλέουσαι ἀπὸ Λευκάδος·
sixty ships of-Athenians sailing-toward-them from Leucas
ἃς οἱ Ἀθηναῖοι πυνθανόμενοι τὴν στάσιν καὶ τὰς μετ᾽
which the Athenians learning the faction and the with
Ἀλκίδου ναῦς ἐπὶ Κέρκυραν μελλούσας πλεῖν ἀπέστειλαν
Alcidas ships to Corcyra going to-sail had-sent
καὶ Εὐρυμέδοντα τὸν Θουκλέους στρατηγόν.
and Eurymedon the son-of-Thucles as-general

81.1 οἱ μὲν οὖν Πελοποννήσιοι τῆς νυκτὸς εὐθὺς κατὰ τάχος
the indeed then Peloponnesians of-the night at-once with speed
ἐκομίζοντο ἐπ᾽ οἴκου παρὰ τὴν γῆν· καὶ ὑπερενεγκόντες
traveled toward home along the land and having-hauled-over

τὸν Λευκαδίων ἰσθμὸν τὰς ναῦς, ὅπως μὴ περιπλέοντες
the of-Leucadians isthmus the ships so-that not sailing-round
ὀφθῶσιν, ἀποκομίζονται.
they-be-seen get-away
Κερκυραῖοι δὲ αἰσθόμενοι τάς τε Ἀττικὰς ναῦς 81.2
Corcyraeans and having-perceived the both Attic ships
προσπλεούσας τάς τε τῶν πολεμίων οἰχομένας, λαβόντες
sailing-toward-them the both of-the enemies gone having-taken
τούς τε Μεσσηνίους ἐς τὴν πόλιν ἤγαγον πρότερον
the both Messenians into the city brought before
ἔξω ὄντας, καὶ τὰς ναῦς περιπλεῦσαι κελεύσαντες ἃς
outside being and the ships to-sail-round having-ordered which
ἐπλήρωσαν ἐς τὸν Ὑλλαϊκὸν λιμένα, ἐν ὅσῳ περιεκομίζοντο,
they-had-manned to the Hyllaic harbor in as-long they-were-sailing-round
τῶν ἐχθρῶν εἴ τινα λάβοιεν, ἀπέκτεινον· καὶ ἐκ τῶν νεῶν
of-the enemies if any they-caught they-killed and from the ships
ὅσους ἔπεισαν ἐσβῆναι ἐκβιβάζοντες ἀπεχρῶντο, ἐς
as-many-as they-had-persuaded to-embark putting-ashore they-made-away-with to
τὸ Ἥραιόν τε ἐλθόντες τῶν ἱκετῶν ὡς πεντήκοντα ἄνδρας
— Heraeum both having-gone of-the suppliants about fifty men
δίκην ὑποσχεῖν ἔπεισαν καὶ κατέγνωσαν πάντων θάνατον.
trial to-undergo persuaded and condemned of-all death
οἱ δὲ πολλοὶ τῶν ἱκετῶν, ὅσοι οὐκ ἐπείσθησαν, ὡς 81.3
the but most of-the suppliants as-many-as not were-persuaded when
ἑώρων τὰ γιγνόμενα, διέφθειρον αὐτοῦ ἐν τῷ ἱερῷ
they-saw the happenings destroyed there in the temple
ἀλλήλους, καὶ ἐκ τῶν δένδρων τινὲς ἀπήγχοντο, οἱ δ'
one-another and from the trees some hanged-themselves the and
ὡς ἕκαστοι ἐδύναντο ἀνηλοῦντο.
as each could made-away-with-themselves

81.4 ἡμέρας τε ἑπτά, ἃς ἀφικόμενος ὁ Εὐρυμέδων ταῖς
days both seven which having-arrived — Eurymedon with-the
ἑξήκοντα ναυσὶ παρέμεινε, Κερκυραῖοι σφῶν αὐτῶν
sixty ships stayed Corcyraeans of-them selves
τοὺς ἐχθροὺς δοκοῦντας εἶναι ἐφόνευον, τὴν μὲν αἰτίαν
the enemies seeming to-be slaughtered the indeed charge
ἐπιφέροντες τοῖς τὸν δῆμον καταλύουσιν, ἀπέθανον
bringing against-those the people overthrowing died
δέ τινες καὶ ἰδίας ἔχθρας ἕνεκα, καὶ ἄλλοι χρημάτων
and some also of-private enmity for-the-sake and others of-money
σφίσιν ὀφειλομένων ὑπὸ τῶν λαβόντων·
to-them owed by those having-borrowed

81.5 πᾶσά τε ἰδέα κατέστη θανάτου, καὶ οἷον φιλεῖ ἐν τῷ
every both form arose of-death and such-as is-wont in the
τοιούτῳ γίγνεσθαι, οὐδὲν ὅτι οὐ ξυνέβη καὶ ἔτι περαιτέρω.
such-a-time to-happen nothing that not happened and still further
καὶ γὰρ πατὴρ παῖδα ἀπέκτεινε καὶ ἀπὸ τῶν ἱερῶν
and for father son killed and from the temples
ἀπεσπῶντο καὶ πρὸς αὐτοῖς ἐκτείνοντο, οἱ δέ τινες καὶ
were-dragged and at them were-killed they and some even
περιοικοδομηθέντες ἐν τοῦ Διονύσου τῷ ἱερῷ ἀπέθανον.
walled-up in — of-Dionysus the temple died

Civil war spreads through Greece, as each party calls in Athens or Sparta, and Corcyra first dares most of its crimes. War, a violent teacher, brings men's tempers down to their circumstances. Words change their meaning: reckless daring becomes loyalty, prudent delay cowardice, moderation a cloak for unmanliness; the hothead is trusted and the man who objects suspected. Party outweighs kinship, oaths hold only while no one can break them, and simplicity is laughed out of existence. The cause is power sought through greed and ambition. The crude outwit the clever, and the moderate citizens perish between the two sides.

οὕτως ὠμὴ ἡ στάσις προυχώρησε, καὶ ἔδοξε μᾶλλον, διότι 82.1
so savage the civil-strife proceeded and seemed more because
ἐν τοῖς πρώτη ἐγένετο, ἐπεὶ ὕστερόν γε καὶ πᾶν ὡς
among the first it-happened since later at-least even all as
εἰπεῖν τὸ Ἑλληνικὸν ἐκινήθη, διαφορῶν οὐσῶν ἑκασταχοῦ
to-say the Greek-world was-convulsed quarrels being everywhere
τοῖς τε τῶν δήμων προστάταις τοὺς Ἀθηναίους ἐπάγεσθαι
for-the both of-the commons leaders the Athenians to-bring-in
καὶ τοῖς ὀλίγοις τοὺς Λακεδαιμονίους. καὶ ἐν μὲν εἰρήνῃ
and for-the few the Lacedaemonians and in indeed peace
οὐκ ἂν ἐχόντων πρόφασιν οὐδ' ἑτοίμων παρακαλεῖν αὐτούς,
not — having pretext nor ready to-call-in them
πολεμουμένων δὲ καὶ ξυμμαχίας ἅμα ἑκατέροις
being-at-war and and alliance at-the-same-time for-each-side
τῇ τῶν ἐναντίων κακώσει καὶ σφίσιν αὐτοῖς ἐκ τοῦ
for-the of-the opponents harm and for-them selves from the
αὐτοῦ προσποιήσει ῥᾳδίως αἱ ἐπαγωγαὶ τοῖς νεωτερίζειν
same acquisition easily the bringings-in for-those to-revolutionize
τι βουλομένοις ἐπορίζοντο.
anything wishing were-provided

82.2 καὶ ἐπέπεσε πολλὰ καὶ χαλεπὰ κατὰ στάσιν ταῖς πόλεσι,
and fell-upon many and grievous-things through civil-strife the cities
γιγνόμενα μὲν καὶ αἰεὶ ἐσόμενα, ἕως ἂν ἡ αὐτὴ φύσις
happening indeed and always going-to-be while — the same nature
ἀνθρώπων ᾖ, μᾶλλον δὲ καὶ ἡσυχαίτερα καὶ τοῖς εἴδεσι
of-men be more but and milder and in-the forms
διηλλαγμένα, ὡς ἂν ἕκασται αἱ μεταβολαὶ τῶν ξυντυχιῶν
varied as — each the changes of-the circumstances
ἐφιστῶνται. ἐν μὲν γὰρ εἰρήνῃ καὶ ἀγαθοῖς πράγμασιν
present-themselves in indeed for peace and good affairs
αἵ τε πόλεις καὶ οἱ ἰδιῶται ἀμείνους τὰς γνώμας ἔχουσι
the both cities and the private-men better the minds have
διὰ τὸ μὴ ἐς ἀκουσίους ἀνάγκας πίπτειν· ὁ δὲ πόλεμος
because-of the not into involuntary necessities to-fall the but war
ὑφελὼν τὴν εὐπορίαν τοῦ καθ᾽ ἡμέραν βίαιος διδάσκαλος
having-taken-away the easy-supply of-the by day violent teacher
καὶ πρὸς τὰ παρόντα τὰς ὀργὰς τῶν πολλῶν ὁμοιοῖ.
and to the present-circumstances the passions of-the many assimilates
82.3 ἐστασίαζέ τε οὖν τὰ τῶν πόλεων, καὶ τὰ ἐφυστερίζοντά
were-in-faction both then the of-the cities and the lagging-behind
που πύστει τῶν προγενομένων πολὺ ἐπέφερε τὴν
somehow by-hearing of-the things-previously-done far carried the
ὑπερβολὴν τοῦ καινοῦσθαι τὰς διανοίας τῶν τ᾽
excess of-the to-innovate the designs of-the both
ἐπιχειρήσεων περιτεχνήσει καὶ τῶν τιμωριῶν ἀτοπίᾳ.
attempts by-ingenuity and of-the revenges by-strangeness
82.4 καὶ τὴν εἰωθυῖαν ἀξίωσιν τῶν ὀνομάτων ἐς τὰ ἔργα
and the accustomed value of-the names in-relation-to the deeds
ἀντήλλαξαν τῇ δικαιώσει. τόλμα μὲν γὰρ ἀλόγιστος
they-exchanged in-the justification daring indeed for reckless
ἀνδρεία φιλέταιρος ἐνομίσθη, μέλλησις δὲ προμηθὴς δειλία
courage loyal-to-party was-considered hesitation but prudent cowardice

εὐπρεπής, τὸ δὲ σῶφρον τοῦ ἀνάνδρου πρόσχημα, καὶ τὸ
specious the and moderate of-the unmanly cloak and the
πρὸς ἅπαν ξυνετὸν ἐπὶ πᾶν ἀργόν· τὸ δ᾽ ἐμπλήκτως ὀξὺ
toward all intelligent toward all idle the and frantically sharp
ἀνδρὸς μοίρᾳ προσετέθη, ἀσφαλείᾳ δὲ τὸ ἐπιβουλεύσασθαι
to-a-man's portion was-added in-safety and the to-plot
ἀποτροπῆς πρόφασις εὔλογος.
of-desertion pretext plausible
καὶ ὁ μὲν χαλεπαίνων πιστὸς αἰεί, ὁ δ᾽ ἀντιλέγων 82.5
and the indeed angry trustworthy always the but speaking-against
αὐτῷ ὕποπτος. ἐπιβουλεύσας δέ τις τυχὼν ξυνετὸς
him suspected having-plotted and anyone having-succeeded intelligent
καὶ ὑπονοήσας ἔτι δεινότερος· προβουλεύσας δὲ ὅπως
and having-suspected still cleverer having-planned-ahead but so-that
μηδὲν αὐτῶν δεήσει, τῆς τε ἑταιρίας διαλυτὴς καὶ
nothing of-them will-be-needed of-the both party dissolver and
τοὺς ἐναντίους ἐκπεπληγμένος. ἁπλῶς δὲ ὁ φθάσας
the opponents having-been-terrified simply but the-one having-anticipated
τὸν μέλλοντα κακόν τι δρᾶν ἐπῃνεῖτο, καὶ ὁ
the-one going evil something to-do was-praised and the-one
ἐπικελεύσας τὸν μὴ διανοούμενον.
having-urged-on the-one not intending
καὶ μὴν καὶ τὸ ξυγγενὲς τοῦ ἑταιρικοῦ ἀλλοτριώτερον 82.6
and indeed also the kinship than-the party more-alien
ἐγένετο διὰ τὸ ἑτοιμότερον εἶναι ἀπροφασίστως τολμᾶν·
became because-of the readier to-be without-excuse to-dare
οὐ γὰρ μετὰ τῶν κειμένων νόμων ὠφελίας αἱ τοιαῦται
not for with the established laws benefits the such
ξύνοδοι, ἀλλὰ παρὰ τοὺς καθεστῶτας πλεονεξίᾳ. καὶ τὰς
associations but against the existing in-greed and the

ἐς σφᾶς αὐτοὺς πίστεις οὐ τῷ θείῳ νόμῳ μᾶλλον
toward them selves pledges not by-the divine law rather
ἐκρατύνοντο ἢ τῷ κοινῇ τι παρανομῆσαι.
were-confirmed than by-the in-common something to-transgress

82.7 τά τε ἀπὸ τῶν ἐναντίων καλῶς λεγόμενα ἐνεδέχοντο
the both from the opponents well spoken they-accepted
ἔργων φυλακῇ, εἰ προύχοιεν, καὶ οὐ γενναιότητι.
of-deeds by-guarding if they-had-the-upper-hand and not with-generosity
ἀντιτιμωρήσασθαί τέ τινα περὶ πλείονος ἦν ἢ αὐτὸν μὴ
to-take-revenge and on-anyone of more was than oneself not
προπαθεῖν. καὶ ὅρκοι εἴ που ἄρα γένοιντο ξυναλλαγῆς,
to-suffer-first and oaths if anywhere indeed should-be-made of-reconciliation
ἐν τῷ αὐτίκα πρὸς τὸ ἄπορον ἑκατέρῳ διδόμενοι ἴσχυον
in the moment for the difficulty to-each given held-good
οὐκ ἐχόντων ἄλλοθεν δύναμιν· ἐν δὲ τῷ παρατυχόντι
not having from-elsewhere power in but the opportunity
ὁ φθάσας θαρσῆσαι, εἰ ἴδοι ἄφαρκτον, ἥδιον
the-one having-been-first to-take-courage if he-saw unguarded more-pleasantly
διὰ τὴν πίστιν ἐτιμωρεῖτο ἢ ἀπὸ τοῦ προφανοῦς, καὶ
because-of the trust took-revenge than from the open and
τό τε ἀσφαλὲς ἐλογίζετο καὶ ὅτι ἀπάτῃ περιγενόμενος
the both safety he-reckoned and that by-deceit having-prevailed
ξυνέσεως ἀγώνισμα προσελάμβανεν. ῥᾷον δ' οἱ πολλοὶ
of-intelligence prize he-won-besides more-easily and the many
κακοῦργοι ὄντες δεξιοὶ κέκληνται ἢ ἀμαθεῖς ἀγαθοί, καὶ
villains being clever are-called than stupid good and
τῷ μὲν αἰσχύνονται, ἐπὶ δὲ τῷ ἀγάλλονται.
at-the-one indeed they-are-ashamed in but the-other they-glory

82.8 πάντων δ' αὐτῶν αἴτιον ἀρχὴ ἡ διὰ πλεονεξίαν καὶ
of-all and these cause rule the because-of greed and
φιλοτιμίαν· ἐκ δ' αὐτῶν καὶ ἐς τὸ φιλονικεῖν καθισταμένων
ambition from and these also into the to-contend being-established

τὸ πρόθυμον. οἱ γὰρ ἐν ταῖς πόλεσι προστάντες μετὰ
the zeal the for in the cities presiding with
ὀνόματος ἑκάτεροι εὐπρεποῦς, πλήθους τε ἰσονομίας
name each-side specious of-multitude both equality
πολιτικῆς καὶ ἀριστοκρατίας σώφρονος προτιμήσει, τὰ
political and of-aristocracy moderate by-preferring the
μὲν κοινὰ λόγῳ θεραπεύοντες ἆθλα ἐποιοῦντο, παντὶ δὲ
indeed public-things in-word serving prizes made by-every but
τρόπῳ ἀγωνιζόμενοι ἀλλήλων περιγίγνεσθαι ἐτόλμησάν τε
means struggling one-another to-get-the-better-of dared both
τὰ δεινότατα ἐπεξῇσάν τε τὰς τιμωρίας ἔτι μείζους, οὐ
the most-terrible-things went-on both the revenges still greater not
μέχρι τοῦ δικαίου καὶ τῇ πόλει ξυμφόρου προτιθέντες, ἐς
up-to the just and to-the city expedient setting-forth to
δὲ τὸ ἑκατέροις που αἰεὶ ἡδονὴν ἔχον ὁρίζοντες, καὶ ἢ
but the to-each-side somehow always pleasure having limiting and either
μετὰ ψήφου ἀδίκου καταγνώσεως ἢ χειρὶ κτώμενοι τὸ
with vote unjust of-condemnation or by-hand acquiring the
κρατεῖν ἑτοῖμοι ἦσαν τὴν αὐτίκα φιλονικίαν ἐκπιμπλάναι.
to-prevail ready they-were the momentary rivalry to-satisfy
ὥστε εὐσεβείᾳ μὲν οὐδέτεροι ἐνόμιζον, εὐπρεπείᾳ δὲ λόγου
so-that by-piety indeed neither-side respected by-speciousness but of-speech
οἷς ξυμβαίη ἐπιφθόνως τι διαπράξασθαι, ἄμεινον
those-to-whom it-happened invidiously anything to-accomplish better
ἤκουον. τὰ δὲ μέσα τῶν πολιτῶν ὑπ᾽ ἀμφοτέρων ἢ
were-spoken-of the but middle of-the citizens by both either
ὅτι οὐ ξυνηγωνίζοντο ἢ φθόνῳ τοῦ περιεῖναι διεφθείροντο.
because not they-joined-the-struggle or by-envy of-the to-survive were-destroyed
οὕτω πᾶσα ἰδέα κατέστη κακοτροπίας διὰ τὰς στάσεις 83.1
thus every form arose of-wickedness because-of the civil-strifes
τῷ Ἑλληνικῷ, καὶ τὸ εὔηθες, οὗ τὸ γενναῖον πλεῖστον
in-the Greek-world and the simplicity of-which the nobility most

μετέχει, καταγελασθὲν ἠφανίσθη, τὸ δὲ ἀντιτετάχθαι
partakes having-been-laughed-at disappeared the but to-be-ranged-against
ἀλλήλοις τῇ γνώμῃ ἀπίστως ἐπὶ πολὺ διήνεγκεν·
one-another in-the mind distrustfully to far prevailed

83.2 οὐ γὰρ ἦν ὁ διαλύσων οὔτε λόγος ἐχυρὸς οὔτε
not for there-was the-one going-to-reconcile neither word secure nor
ὅρκος φοβερός, κρείσσους δὲ ὄντες ἅπαντες λογισμῷ ἐς τὸ
oath fearful superior but being all in-reckoning to the
ἀνέλπιστον τοῦ βεβαίου μὴ παθεῖν μᾶλλον προυσκόπουν
hopelessness of-the security not to-suffer rather they-provided
ἢ πιστεῦσαι ἐδύναντο.
than to-trust they-were-able

83.3 καὶ οἱ φαυλότεροι γνώμην ὡς τὰ πλείω περιεγίγνοντο·
and the meaner in-intelligence as the more prevailed
τῷ γὰρ δεδιέναι τό τε αὑτῶν ἐνδεὲς καὶ τὸ τῶν
by-the for to-fear the both their-own deficiency and the of-the
ἐναντίων ξυνετόν, μὴ λόγοις τε ἧσσους ὦσι καὶ
opponents intelligence lest in-words both worse they-be and
ἐκ τοῦ πολυτρόπου αὐτῶν τῆς γνώμης φθάσωσι
from the versatility their of-the intelligence they-be-anticipated
προεπιβουλευόμενοι, τολμηρῶς πρὸς τὰ ἔργα ἐχώρουν.
being-plotted-against-first boldly to the deeds went

83.4 οἱ δὲ καταφρονοῦντες κἂν προαισθέσθαι καὶ ἔργῳ οὐδὲν
they but despising even to-perceive-beforehand and by-deed nothing
σφᾶς δεῖν λαμβάνειν ἃ γνώμῃ ἔξεστιν, ἄφαρκτοι μᾶλλον
them to-need to-get what by-wit it-is-possible unguarded more
διεφθείροντο.
were-destroyed

84.1 [ἐν δ' οὖν τῇ Κερκύρᾳ τὰ πολλὰ αὐτῶν προυτολμήθη, καὶ
in and then — Corcyra the most of-these were-first-dared and
ὁπόσα ὕβρει μὲν ἀρχόμενοι τὸ πλέον ἢ σωφροσύνῃ
as-many-as with-insolence indeed being-ruled the more than with-moderation

ὑπὸ τῶν τὴν τιμωρίαν παρασχόντων οἱ ἀνταμυνόμενοι
by those the vengeance having-given those retaliating
δράσειαν, πενίας δὲ τῆς εἰωθυίας ἀπαλλαξείοντές τινες,
might-do of-poverty and the accustomed wishing-to-be-rid some
μάλιστα δ' ἂν διὰ πάθους, ἐπιθυμοῦντες τὰ τῶν πέλας
most and — through passion desiring the of-the neighbors
ἔχειν, παρὰ δίκην γιγνώσκοιεν, οἵ τε μὴ ἐπὶ πλεονεξίᾳ,
to-have contrary-to justice might-decide those both not for greed
ἀπὸ ἴσου δὲ μάλιστα ἐπιόντες ἀπαιδευσίᾳ ὀργῆς πλεῖστον
from equal and most attacking by-lack-of-discipline of-passion most
ἐκφερόμενοι ὠμῶς καὶ ἀπαραιτήτως ἐπέλθοιεν.
being-carried-away savagely and implacably might-attack
ξυνταραχθέντος τε τοῦ βίου ἐς τὸν καιρὸν τοῦτον 84.2
having-been-thrown-into-confusion both the life into the crisis this
τῇ πόλει καὶ τῶν νόμων κρατήσασα ἡ ἀνθρωπεία
for-the city and of-the laws having-mastered the human
φύσις, εἰωθυῖα καὶ παρὰ τοὺς νόμους ἀδικεῖν, ἀσμένη
nature accustomed even against the laws to-do-wrong gladly
ἐδήλωσεν ἀκρατὴς μὲν ὀργῆς οὖσα, κρείσσων δὲ τοῦ
showed uncontrolled indeed of-passion being stronger but than-the
δικαίου, πολεμία δὲ τοῦ προύχοντος· οὐ γὰρ ἂν τοῦ τε
just hostile but to-the superior not for — than-the both
ὁσίου τὸ τιμωρεῖσθαι προυτίθεσαν τοῦ τε μὴ ἀδικεῖν τὸ
holy the to-take-revenge they-would-prefer than-the both not to-do-wrong the
κερδαίνειν, ἐν ᾧ μὴ βλάπτουσαν ἰσχὺν εἶχε τὸ φθονεῖν.
to-gain in which not harmful strength had the to-envy
ἀξιοῦσί τε τοὺς κοινοὺς περὶ τῶν τοιούτων οἱ ἄνθρωποι 84.3
think-fit both the common about the such-things the men
νόμους, ἀφ' ὧν ἅπασιν ἐλπὶς ὑπόκειται σφαλεῖσι κἂν
laws from which for-all hope lies having-failed even
αὐτοὺς διασῴζεσθαι, ἐν ἄλλων τιμωρίαις προκαταλύειν
themselves to-be-saved in others' revenges to-abolish-first

καὶ μὴ ὑπολείπεσθαι, εἴ ποτε ἄρα τις κινδυνεύσας τινὸς
and not to-leave if ever indeed anyone being-in-danger any
δεήσεται αὐτῶν.]
will-need of-them

XVII · THE EXILES ON ISTONE

Eurymedon and the Athenians sail away. Later about five hundred of the Corcyraean exiles take forts on the mainland and harry the island, where famine follows; failing to win help from Sparta or Corinth, they cross with mercenaries, burn their boats to leave themselves no choice, fortify Mount Istone, and control the countryside.

85.1 οἱ μὲν οὖν κατὰ τὴν πόλιν Κερκυραῖοι τοιαύταις ὀργαῖς
the indeed then in the city Corcyraeans such passions
ταῖς πρώταις ἐς ἀλλήλους ἐχρήσαντο, καὶ ὁ Εὐρυμέδων
the first toward one-another used and — Eurymedon
καὶ οἱ Ἀθηναῖοι ἀπέπλευσαν ταῖς ναυσίν·
and the Athenians sailed-away with-the ships
85.2 ὕστερον δὲ οἱ φεύγοντες τῶν Κερκυραίων (διεσώθησαν
later and the exiles of-the Corcyraeans escaped
γὰρ αὐτῶν ἐς πεντακοσίους) τείχη τε λαβόντες, ἃ ἦν
for of-them about five-hundred forts both having-taken which were
ἐν τῇ ἠπείρῳ, ἐκράτουν τῆς πέραν οἰκείας γῆς καὶ ἐξ
on the mainland were-masters of-the opposite own land and from
αὐτῆς ὁρμώμενοι ἐλήζοντο τοὺς ἐν τῇ νήσῳ καὶ πολλὰ
it setting-out plundered those on the island and much
ἔβλαπτον, καὶ λιμὸς ἰσχυρὸς ἐγένετο ἐν τῇ πόλει.
harmed and famine severe arose in the city

ἐπρεσβεύοντο δὲ καὶ ἐς τὴν Λακεδαίμονα καὶ Κόρινθον 85.3
they-sent-envoys and also to — Lacedaemon and Corinth
περὶ καθόδου· καὶ ὡς οὐδὲν αὐτοῖς ἐπράσσετο, ὕστερον
about return and as nothing for-them was-accomplished later
χρόνῳ πλοῖα καὶ ἐπικούρους παρασκευασάμενοι διέβησαν
in-time boats and auxiliaries having-prepared crossed
ἐς τὴν νῆσον ἑξακόσιοι μάλιστα οἱ πάντες, καὶ τὰ πλοῖα
to the island six-hundred about the all and the boats
ἐμπρήσαντες, ὅπως ἀπόγνοια ᾖ τοῦ ἄλλο τι ἢ
having-burned so-that despair might-be of-the other anything than
κρατεῖν τῆς γῆς, ἀναβάντες ἐς τὸ ὄρος τὴν Ἰστώνην,
to-master the land having-gone-up to the mountain — Istone
τεῖχος ἐνοικοδομησάμενοι ἔφθειρον τοὺς ἐν τῇ πόλει καὶ
wall having-built-in they-harmed those in the city and
τῆς γῆς ἐκράτουν.
the land were-masters-of

Athens sends twenty ships to Sicily under Laches and Charoeades to help the Leontines against Syracuse, as kin and allies, but really to stop grain from reaching the Peloponnese and to test whether Sicily might be brought under their control. That winter the plague returns to Athens, costing four thousand four hundred hoplites and three hundred cavalry in all, and earthquakes shake Athens, Euboea, and Boeotia. The Athenians in Sicily raid the Aeolian islands, where people believe Hephaestus works his forge on Hiera.

86.1 τοῦ δ' αὐτοῦ θέρους τελευτῶντος Ἀθηναῖοι εἴκοσι ναῦς
in-the and same summer ending Athenians twenty ships
ἔστειλαν ἐς Σικελίαν καὶ Λάχητα τὸν Μελανώπου
sent to Sicily and Laches the son-of-Melanopus
στρατηγὸν αὐτῶν καὶ Χαροιάδην τὸν Εὐφιλήτου.
as-general of-them and Charoeades the son-of-Euphiletus
86.2 οἱ γὰρ Συρακόσιοι καὶ Λεοντῖνοι ἐς πόλεμον ἀλλήλοις
the for Syracusans and Leontines into war with-one-another
καθέστασαν. ξύμμαχοι δὲ τοῖς μὲν Συρακοσίοις ἦσαν
had-come allies and to-the indeed Syracusans were
πλὴν Καμαριναίων αἱ ἄλλαι Δωρίδες πόλεις, αἵπερ καὶ
except Camarinaeans the other Dorian cities which-very also
πρὸς τὴν τῶν Λακεδαιμονίων τὸ πρῶτον ἀρχομένου τοῦ
to the of-the Lacedaemonians the first beginning the
πολέμου ξυμμαχίαν ἐτάχθησαν, οὐ μέντοι ξυνεπολέμησάν
war alliance were-ranged not however fought-with
γε, τοῖς δὲ Λεοντίνοις αἱ Χαλκιδικαὶ πόλεις καὶ
at-least to-the but Leontines the Chalcidian cities and
Καμάρινα· τῆς δὲ Ἰταλίας Λοκροὶ μὲν Συρακοσίων ἦσαν,
Camarina — and of-Italy Locrians indeed of-Syracusans were
Ῥηγῖνοι δὲ κατὰ τὸ ξυγγενὲς Λεοντίνων.
Rhegians but according-to the kinship of-Leontines

ἐς οὖν τὰς Ἀθήνας πέμψαντες οἱ τῶν Λεοντίνων ξύμμαχοι 86.3
to then — Athens having-sent the of-the Leontines allies
κατά τε παλαιὰν ξυμμαχίαν καὶ ὅτι Ἴωνες ἦσαν
according-to both old alliance and because Ionians they-were
πείθουσι τοὺς Ἀθηναίους πέμψαι σφίσι ναῦς· ὑπὸ γὰρ τῶν
persuade the Athenians to-send to-them ships by for the
Συρακοσίων τῆς τε γῆς εἴργοντο καὶ τῆς θαλάσσης.
Syracusans from-the both land they-were-shut-out and from-the sea
καὶ ἔπεμψαν οἱ Ἀθηναῖοι τῆς μὲν οἰκειότητος προφάσει, 86.4
and sent the Athenians of-the indeed kinship on-pretext
βουλόμενοι δὲ μήτε σῖτον ἐς τὴν Πελοπόννησον ἄγεσθαι
wishing but neither grain to — Peloponnese to-be-brought
αὐτόθεν πρόπειράν τε ποιούμενοι εἰ σφίσι δυνατὰ εἴη
from-there preliminary-test both making if for-them possible would-be
τὰ ἐν τῇ Σικελίᾳ πράγματα ὑποχείρια γενέσθαι.
the in — Sicily affairs subject to-become
καταστάντες οὖν ἐς Ῥήγιον τῆς Ἰταλίας τὸν πόλεμον 86.5
having-established-themselves then at Rhegium — of-Italy the war
ἐποιοῦντο μετὰ τῶν ξυμμάχων. καὶ τὸ θέρος ἐτελεύτα.
they-made with the allies and the summer ended
τοῦ δ' ἐπιγιγνομένου χειμῶνος ἡ νόσος τὸ δεύτερον 87.1
in-the and following winter the disease the second-time
ἐπέπεσε τοῖς Ἀθηναίοις, ἐκλιποῦσα μὲν οὐδένα χρόνον τὸ
fell-upon the Athenians having-left indeed no time the
παντάπασιν, ἐγένετο δέ τις ὅμως διοκωχή.
altogether there-was and some nevertheless respite
παρέμεινε δὲ τὸ μὲν ὕστερον οὐκ ἔλασσον ἐνιαυτοῦ, τὸ 87.2
it-remained and the indeed later not less than-a-year the
δὲ πρότερον καὶ δύο ἔτη, ὥστε Ἀθηναίους γε μὴ εἶναι
and earlier even two years so-that for-Athenians at-least not to-be
ὅτι μᾶλλον τούτου ἐπίεσε καὶ ἐκάκωσε τὴν δύναμιν·
anything more than-this pressed and harmed the power

87.3 τετρακοσίων γὰρ ὁπλιτῶν καὶ τετρακισχιλίων οὐκ ἐλάσσους
of-four-hundred for hoplites and four-thousand not fewer
ἀπέθανον ἐκ τῶν τάξεων καὶ τριακοσίων ἱππέων, τοῦ
died from the ranks and of-three-hundred cavalry of-the
δὲ ἄλλου ὄχλου ἀνεξεύρετος ἀριθμός.
and other crowd undiscoverable number

87.4 ἐγένοντο δὲ καὶ οἱ πολλοὶ σεισμοὶ τότε τῆς γῆς, ἔν τε
occurred and also the many earthquakes then of-the earth in both
Ἀθήναις καὶ ἐν Εὐβοίᾳ καὶ ἐν Βοιωτοῖς καὶ μάλιστα
Athens and in Euboea and among Boeotians and especially
ἐν Ὀρχομενῷ τῷ Βοιωτίῳ.
at Orchomenus the Boeotian

88.1 καὶ οἱ μὲν ἐν Σικελίᾳ Ἀθηναῖοι καὶ Ῥηγῖνοι τοῦ αὐτοῦ
and the indeed in Sicily Athenians and Rhegians in-the same
χειμῶνος τριάκοντα ναυσὶ στρατεύουσιν ἐπὶ τὰς Αἰόλου
winter with-thirty ships march against the of-Aeolus
νήσους καλουμένας· θέρους γὰρ δι' ἀνυδρίαν ἀδύνατα
islands called in-summer for because-of lack-of-water impossible
ἦν ἐπιστρατεύειν.
it-was to-make-an-expedition

88.2 νέμονται δὲ Λιπαραῖοι αὐτάς, Κνιδίων ἄποικοι ὄντες.
occupy and Liparaeans them of-Cnidians colonists being
οἰκοῦσι δ' ἐν μιᾷ τῶν νήσων οὐ μεγάλῃ, καλεῖται δὲ
they-dwell and in one of-the islands not large is-called and
Λιπάρα· τὰς δὲ ἄλλας ἐκ ταύτης ὁρμώμενοι γεωργοῦσι,
Lipara the but others from this setting-out they-farm
Διδύμην καὶ Στρογγύλην καὶ Ἱεράν.
Didyme and Strongyle and Hiera

88.3 νομίζουσι δὲ οἱ ἐκείνῃ ἄνθρωποι ἐν τῇ Ἱερᾷ ὡς ὁ
think and the there men in — Hiera that —
Ἥφαιστος χαλκεύει, ὅτι τὴν νύκτα φαίνεται πῦρ
Hephaestus works-as-smith because the night appears fire

ἀναδιδοῦσα πολὺ καὶ τὴν ἡμέραν καπνόν. κεῖνται δὲ
sending-up much and the day smoke lie and
αἱ νῆσοι αὗται κατὰ τὴν Σικελῶν καὶ Μεσσηνίων γῆν,
the islands these off the of-Sicels and Messenians land
ξύμμαχοι δ' ἦσαν Συρακοσίων.
allies and they-were of-Syracusans
τεμόντες δ' οἱ Ἀθηναῖοι τὴν γῆν, ὡς οὐ προσεχώρουν, 88.4
having-ravaged and the Athenians the land as not they-came-over
ἀπέπλευσαν ἐς τὸ Ῥήγιον. καὶ ὁ χειμὼν ἐτελεύτα, καὶ
sailed-away to — Rhegium and the winter ended and
πέμπτον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε ὃν Θουκυδίδης
fifth year for-the war ended this which Thucydides
ξυνέγραψεν.
wrote-up

XIX · WAVES, BATTLES, AND HERACLEA

Earthquakes turn back a Peloponnesian invasion, and the sea floods Orobiae and Atalante and draws back at Peparethus; Thucydides explains how the shock drives the sea back and then hurls it in. In Sicily Laches takes Mylae and wins over Messene. Nicias ravages Melos, which refuses to join Athens, and lands at Oropus, and his hoplites and the Athenians from the city win a battle at Tanagra. Sparta founds Heraclea in Trachis for the Trachinians and Dorians, near Thermopylae and Euboea, but the Thessalians harry it and the Spartan governors' harshness leaves it thinly peopled.

τοῦ δ' ἐπιγιγνομένου θέρους Πελοποννήσιοι καὶ οἱ 89.1
in-the and following summer Peloponnesians and the
ξύμμαχοι μέχρι μὲν τοῦ Ἰσθμοῦ ἦλθον ὡς ἐς τὴν
allies as-far-as indeed the Isthmus came as into —
Ἀττικὴν ἐσβαλοῦντες, Ἄγιδος τοῦ Ἀρχιδάμου ἡγουμένου
Attica going-to-invade Agis the son-of-Archidamus leading

Λακεδαιμονίων βασιλέως, σεισμῶν δὲ γενομένων πολλῶν
of-Lacedaemonians king earthquakes but having-occurred many
ἀπετράποντο πάλιν καὶ οὐκ ἐγένετο ἐσβολή.
they-turned-back back and not took-place invasion

89.2 καὶ περὶ τούτους τοὺς χρόνους, τῶν σεισμῶν κατεχόντων,
and about these the times of-the earthquakes prevailing
τῆς Εὐβοίας ἐν Ὀροβίαις ἡ θάλασσα ἐπανελθοῦσα ἀπὸ τῆς
— *of-Euboea at Orobiae the sea having-come-back from the*
τότε οὔσης γῆς καὶ κυματωθεῖσα ἐπῆλθε τῆς πόλεως μέρος
then being land and having-become-a-wave came-over of-the city part
τι, καὶ τὸ μὲν κατέκλυσε, τὸ δ' ὑπενόστησε, καὶ θάλασσα
some and the indeed flooded the and subsided and sea
νῦν ἐστὶ πρότερον οὖσα γῆ· καὶ ἀνθρώπους διέφθειρεν
now is before being land and men destroyed
ὅσοι μὴ ἐδύναντο φθῆναι πρὸς τὰ μετέωρα ἀναδραμόντες.
as-many-as not could to-get-first to the heights having-run-up

89.3 καὶ περὶ Ἀταλάντην τὴν ἐπὶ Λοκροῖς τοῖς Ὀπουντίοις
and about Atalante the off Locrians the Opuntian
νῆσον παραπλησία γίγνεται ἐπίκλυσις, καὶ τοῦ τε φρουρίου
island similar happens inundation and of-the both fort
τῶν Ἀθηναίων παρεῖλε καὶ δύο νεῶν ἀνειλκυσμένων
of-the Athenians carried-away-part and of-two ships hauled-up
τὴν ἑτέραν κατέαξεν.
the one smashed

89.4 ἐγένετο δὲ καὶ ἐν Πεπαρήθῳ κύματος ἐπαναχώρησίς τις,
happened and also at Peparethus of-wave retreat some
οὐ μέντοι ἐπέκλυσέ γε· καὶ σεισμὸς τοῦ τείχους τι
not however it-flooded at-least and earthquake of-the wall some
κατέβαλε καὶ τὸ πρυτανεῖον καὶ ἄλλας οἰκίας ὀλίγας.
threw-down and the town-hall and other houses few

αἴτιον δ᾽ ἔγωγε νομίζω τοῦ τοιούτου, ᾗ ἰσχυρότατος 89.5
cause and I-at-least think of-the such where strongest
ὁ σεισμὸς ἐγένετο, κατὰ τοῦτο ἀποστέλλειν τε τὴν
the earthquake happened at this to-draw-back both the
θάλασσαν καὶ ἐξαπίνης πάλιν ἐπισπωμένην βιαιότερον τὴν
sea and suddenly again rushing-back more-violently the
ἐπίκλυσιν ποιεῖν· ἄνευ δὲ σεισμοῦ οὐκ ἄν μοι δοκεῖ τὸ
inundation to-make without and earthquake not — to-me it-seems the
τοιοῦτο ξυμβῆναι γενέσθαι.
such-a-thing to-happen to-occur
τοῦ δ᾽ αὐτοῦ θέρους ἐπολέμουν μὲν καὶ ἄλλοι, ὡς 90.1
in-the and same summer made-war indeed also others as
ἑκάστοις ξυνέβαινεν, ἐν τῇ Σικελίᾳ καὶ αὐτοὶ οἱ
to-each it-happened in — Sicily and themselves the
Σικελιῶται ἐπ᾽ ἀλλήλους στρατεύοντες καὶ οἱ Ἀθηναῖοι
Siceliots against one-another campaigning and the Athenians
ξὺν τοῖς σφετέροις ξυμμάχοις· ἃ δὲ λόγου μάλιστα
with the their-own allies what but of-mention most
ἄξια ἢ μετὰ τῶν Ἀθηναίων οἱ ξύμμαχοι ἔπραξαν ἢ
worthy either with the Athenians the allies did or
πρὸς τοὺς Ἀθηναίους οἱ ἀντιπόλεμοι, τούτων μνησθήσομαι.
against the Athenians the enemies these I-will-record
Χαροιάδου γὰρ ἤδη τοῦ Ἀθηναίων στρατηγοῦ τεθνηκότος 90.2
Charoeades for already the of-Athenians general having-died
ὑπὸ Συρακοσίων πολέμῳ Λάχης ἅπασαν ἔχων τῶν νεῶν
by Syracusans in-war Laches all holding of-the ships
τὴν ἀρχὴν ἐστράτευσε μετὰ τῶν ξυμμάχων ἐπὶ Μυλὰς
the command campaigned with the allies against Mylae
τὰς Μεσσηνίων. ἔτυχον δὲ δύο φυλαὶ ἐν ταῖς Μυλαῖς τῶν
the of-Messenians happened and two tribes in — Mylae of-the

Μεσσηνίων φρουροῦσαι καί τινα καὶ ἐνέδραν πεποιημέναι
Messenians garrisoning and some also ambush having-made
τοῖς ἀπὸ τῶν νεῶν.
for-those from the ships
90.3 οἱ δὲ Ἀθηναῖοι καὶ οἱ ξύμμαχοι τούς τε ἐκ τῆς ἐνέδρας
the and Athenians and the allies the both from the ambush
τρέπουσι καὶ διαφθείρουσι πολλούς, καὶ τῷ ἐρύματι
rout and kill many and the stronghold
προσβαλόντες ἠνάγκασαν ὁμολογίᾳ τήν τε ἀκρόπολιν
having-attacked compelled by-agreement the both acropolis
παραδοῦναι καὶ ἐπὶ Μεσσήνην ξυστρατεῦσαι.
to-hand-over and against Messene to-join-the-campaign
90.4 καὶ μετὰ τοῦτο ἐπελθόντων οἱ Μεσσήνιοι τῶν τε
and after this having-come-against-them the Messenians the both
Ἀθηναίων καὶ τῶν ξυμμάχων προσεχώρησαν καὶ αὐτοί,
Athenians and the allies came-over also themselves
ὁμήρους τε δόντες καὶ τὰ ἄλλα πιστὰ παρασχόμενοι.
hostages both having-given and the other pledges having-provided
91.1 τοῦ δ' αὐτοῦ θέρους οἱ Ἀθηναῖοι τριάκοντα μὲν ναῦς
in-the and same summer the Athenians thirty indeed ships
ἔστειλαν περὶ Πελοπόννησον, ὧν ἐστρατήγει Δημοσθένης
sent round Peloponnese of-which commanded Demosthenes
τε ὁ Ἀλκισθένους καὶ Προκλῆς ὁ Θεοδώρου, ἑξήκοντα
both the son-of-Alcisthenes and Procles the son-of-Theodorus sixty
δὲ ἐς Μῆλον καὶ δισχιλίους ὁπλίτας· ἐστρατήγει δὲ
and to Melos and two-thousand hoplites commanded and
αὐτῶν Νικίας ὁ Νικηράτου.
them Nicias the son-of-Niceratus

τοὺς γὰρ Μηλίους ὄντας νησιώτας καὶ οὐκ ἐθέλοντας 91.2
the for Melians being islanders and not willing
ὑπακούειν οὐδὲ ἐς τὸ αὐτῶν ξυμμαχικὸν ἰέναι ἐβούλοντο
to-obey nor into the their alliance to-come they-wished
προσαγαγέσθαι.
to-bring-over
ὡς δὲ αὐτοῖς δηουμένης τῆς γῆς οὐ προσεχώρουν, 91.3
when but them being-ravaged the land not they-came-over
ἄραντες ἐκ τῆς Μήλου αὐτοὶ μὲν ἔπλευσαν ἐς Ὠρωπὸν
having-set-out from — Melos themselves indeed sailed to Oropus
τῆς Γραϊκῆς, ὑπὸ νύκτα δὲ σχόντες εὐθὺς ἐπορεύοντο οἱ
— *of-Graean-land under night and having-put-in at-once marched the*
ὁπλῖται ἀπὸ τῶν νεῶν πεζῇ ἐς Τάναγραν τῆς Βοιωτίας.
hoplites from the ships on-foot to Tanagra — of-Boeotia
οἱ δὲ ἐκ τῆς πόλεως πανδημεὶ Ἀθηναῖοι, Ἱππονίκου 91.4
the and from the city in-full-force Athenians Hipponicus
τε τοῦ Καλλίου στρατηγοῦντος καὶ Εὐρυμέδοντος τοῦ
both the son-of-Callias being-general and Eurymedon the
Θουκλέους, ἀπὸ σημείου ἐς τὸ αὐτὸ κατὰ γῆν ἀπήντων.
son-of-Thucles from signal to the same by land met
καὶ στρατοπεδευσάμενοι ταύτην τὴν ἡμέραν ἐν τῇ 91.5
and having-encamped this the day in —
Τανάγρᾳ ἐδῄουν καὶ ἐνηυλίσαντο. καὶ τῇ ὑστεραίᾳ
Tanagra they-ravaged and bivouacked and on-the next-day
μάχῃ κρατήσαντες τοὺς ἐπεξελθόντας τῶν Ταναγραίων
in-battle having-defeated those having-sallied of-the Tanagraeans
καὶ Θηβαίων τινὰς προσβεβοηθηκότας καὶ ὅπλα λαβόντες
and Thebans some having-come-to-help and arms having-taken
καὶ τροπαῖον στήσαντες ἀνεχώρησαν, οἱ μὲν ἐς τὴν
and trophy having-set-up withdrew the-ones indeed to the
πόλιν, οἱ δὲ ἐπὶ τὰς ναῦς.
city the-others and to the ships

91.6 καὶ παραπλεύσας ὁ Νικίας ταῖς ἑξήκοντα ναυσὶ τῆς
and having-sailed-along — Nicias with-the sixty ships —
Λοκρίδος τὰ ἐπιθαλάσσια ἔτεμε καὶ ἀνεχώρησεν ἐπ᾽
of-Locris the coastal-parts ravaged and withdrew toward
οἴκου.
home

92.1 ὑπὸ δὲ τὸν χρόνον τοῦτον Λακεδαιμόνιοι Ἡράκλειαν τὴν
about and the time this Lacedaemonians Heraclea the
ἐν Τραχινίᾳ ἀποικίαν καθίσταντο ἀπὸ τοιᾶσδε γνώμης.
in Trachinia colony established from such reasoning

92.2 Μηλιῆς οἱ ξύμπαντες εἰσὶ μὲν τρία μέρη, Παράλιοι Ἰριῆς
Malians the all-together are indeed three parts Paralians Irians
Τραχίνιοι· τούτων δὲ οἱ Τραχίνιοι πολέμῳ ἐφθαρμένοι ὑπὸ
Trachinians of-these and the Trachinians by-war ruined by
Οἰταίων ὁμόρων ὄντων, τὸ πρῶτον μελλήσαντες Ἀθηναίοις
Oetaeans neighbors being the first intending to-Athenians
προσθεῖναι σφᾶς αὐτούς, δείσαντες δὲ μὴ οὐ σφίσι πιστοὶ
to-attach them selves having-feared but lest not to-them trustworthy
ὦσι, πέμπουσιν ἐς Λακεδαίμονα, ἑλόμενοι πρεσβευτὴν
they-might-be send to Lacedaemon having-chosen as-envoy
Τεισαμενόν.
Tisamenus

92.3 ξυνεπρεσβεύοντο δὲ αὐτοῖς καὶ Δωριῆς, ἡ μητρόπολις
joined-in-the-embassy and with-them also Dorians the mother-city
τῶν Λακεδαιμονίων, τῶν αὐτῶν δεόμενοι· ὑπὸ γὰρ τῶν
of-the Lacedaemonians the same asking by for the
Οἰταίων καὶ αὐτοὶ ἐφθείροντο.
Oetaeans also themselves were-being-destroyed

92.4 ἀκούσαντες δὲ οἱ Λακεδαιμόνιοι γνώμην εἶχον τὴν ἀποικίαν
having-heard and the Lacedaemonians intention had the colony
ἐκπέμπειν, τοῖς τε Τραχινίοις βουλόμενοι καὶ τοῖς Δωριεῦσι
to-send-out the both Trachinians wishing and the Dorians

τιμωρεῖν, καὶ ἅμα τοῦ πρὸς Ἀθηναίους πολέμου
to-help and at-the-same-time for-the against Athenians war
καλῶς αὐτοῖς ἐδόκει ἡ πόλις καθίστασθαι· ἐπί τε γὰρ τῇ
well to-them seemed the city to-be-founded against both for —
Εὐβοίᾳ ναυτικὸν παρασκευασθῆναι ἄν, ὥστ' ἐκ βραχέος τὴν
Euboea navy to-be-prepared — so-that from short the
διάβασιν γίγνεσθαι, τῆς τε ἐπὶ Θράκης παρόδου χρησίμως
crossing to-happen of-the both to Thrace passage usefully
ἔξειν. τό τε ξύμπαν ὥρμηντο τὸ χωρίον κτίζειν.
it-would-hold the both whole they-were-eager the place to-found
πρῶτον μὲν οὖν ἐν Δελφοῖς τὸν θεὸν ἐπήροντο, κελεύοντος 92.5
first indeed then at Delphi the god they-asked bidding
δὲ ἐξέπεμψαν τοὺς οἰκήτορας αὑτῶν τε καὶ τῶν
and they-sent-out the settlers of-themselves both and of-the
περιοίκων, καὶ τῶν ἄλλων Ἑλλήνων τὸν βουλόμενον
perioeci and of-the other Greeks the-one wishing
ἐκέλευον ἕπεσθαι πλὴν Ἰώνων καὶ Ἀχαιῶν καὶ ἔστιν
they-bade to-follow except Ionians and Achaeans and there-are
ὧν ἄλλων ἐθνῶν. οἰκισταὶ δὲ τρεῖς Λακεδαιμονίων
of-which other peoples founders and three of-Lacedaemonians
ἡγήσαντο, Λέων καὶ Ἀλκίδας καὶ Δαμάγων.
led Leon and Alcidas and Damagon
καταστάντες δὲ ἐτείχισαν τὴν πόλιν ἐκ καινῆς, ἣ 92.6
having-settled and they-walled the city from new which
νῦν Ἡράκλεια καλεῖται, ἀπέχουσα Θερμοπυλῶν σταδίους
now Heraclea is-called being-distant from-Thermopylae stades
μάλιστα τεσσαράκοντα, τῆς δὲ θαλάσσης εἴκοσι. νεώριά
about forty from-the and sea twenty dockyards
τε παρεσκευάζοντο, καὶ εἶρξαν τὸ κατὰ Θερμοπύλας κατ'
both they-prepared and closed-off the at Thermopylae at
αὐτὸ τὸ στενόν, ὅπως εὐφύλακτα αὐτοῖς εἴη.
itself the narrows so-that well-guarded for-them it-might-be

93.1 οἱ δὲ Ἀθηναῖοι τῆς πόλεως ταύτης ξυνοικιζομένης τὸ
the and Athenians the city this being-founded the
πρῶτον ἔδεισάν τε καὶ ἐνόμισαν ἐπὶ τῇ Εὐβοίᾳ μάλιστα
first feared both and thought against — Euboea most
καθίστασθαι, ὅτι βραχύς ἐστιν ὁ διάπλους πρὸς τὸ
to-be-founded because short is the crossing to —
Κήναιον τῆς Εὐβοίας. ἔπειτα μέντοι παρὰ δόξαν αὐτοῖς
Cenaeum — of-Euboea then however contrary-to expectation for-them
ἀπέβη· οὐ γὰρ ἐγένετο ἀπ᾽ αὐτῆς δεινὸν οὐδέν.
it-turned-out not for happened from it terrible nothing

93.2 αἴτιον δὲ ἦν οἵ τε Θεσσαλοὶ ἐν δυνάμει ὄντες τῶν ταύτῃ
cause and was the both Thessalians in power being of-the in-that-region
χωρίων, καὶ ὧν ἐπὶ τῇ γῇ ἐκτίζετο, φοβούμενοι μὴ
places and whose on the land it-was-being-founded fearing lest
σφίσι μεγάλῃ ἰσχύι παροικῶσιν, ἔφθειρον καὶ διὰ παντὸς
to-them with-great strength they-should-dwell-beside harassed and through all
ἐπολέμουν ἀνθρώποις νεοκαταστάτοις, ἕως ἐξετρύχωσαν
made-war on-men newly-settled until they-wore-them-out
γενομένους τὸ πρῶτον καὶ πάνυ πολλούς (πᾶς γάρ τις
having-been the first even very many every for one
Λακεδαιμονίων οἰκιζόντων θαρσαλέως ᾔει, βέβαιον νομίζων
of-Lacedaemonians founding confidently went secure thinking
τὴν πόλιν)· οὐ μέντοι ἥκιστα οἱ ἄρχοντες αὐτῶν τῶν
the city not however least the governors their of-the
Λακεδαιμονίων οἱ ἀφικνούμενοι τὰ πράγματά τε ἔφθειρον
Lacedaemonians those arriving the affairs both ruined
καὶ ἐς ὀλιγανθρωπίαν κατέστησαν, ἐκφοβήσαντες τοὺς
and into scarcity-of-men brought having-frightened-away the
πολλοὺς χαλεπῶς τε καὶ ἔστιν ἃ οὐ καλῶς ἐξηγούμενοι,
many harshly both and there-are what not well governing
ὥστε ῥᾷον ἤδη αὐτῶν οἱ πρόσοικοι ἐπεκράτουν.
so-that more-easily already them the neighbors prevailed-over

Demosthenes, with thirty ships and the western allies, is urged by the Acarnanians to wall off Leucas, but the Messenians persuade him to attack the Aetolians, who live in unwalled villages. Without waiting for his Locrian javelin-men he storms Aegitium, where the Aetolians attack from the hills; when the archers' captain falls, with their guide already dead, his army breaks in ravines and burning woods and loses a hundred and twenty of its best hoplites. Demosthenes stays at Naupactus, fearing Athens. Eurylochus' Peloponnesians win over the Locrians and take Molycrium, but a thousand Acarnanian hoplites save Naupactus, and Eurylochus agrees to help the Ambraciots against Amphilochian Argos.

τοῦ δ' αὐτοῦ θέρους, καὶ περὶ τὸν αὐτὸν χρόνον ὃν 94.1
in-the and same summer and about the same time in-which
ἐν τῇ Μήλῳ οἱ Ἀθηναῖοι κατείχοντο, καὶ οἱ ἀπὸ τῶν
at — Melos the Athenians were-occupied also the from the
τριάκοντα νεῶν Ἀθηναῖοι περὶ Πελοπόννησον ὄντες πρῶτον
thirty ships Athenians round Peloponnese being first
ἐν Ἑλλομενῷ τῆς Λευκαδίας φρουρούς τινας λοχήσαντες
at Ellomenus — of-Leucadia guards some having-ambushed
διέφθειραν, ἔπειτα ὕστερον ἐπὶ Λευκάδα μείζονι στόλῳ
destroyed then later against Leucas with-greater force
ἦλθον, Ἀκαρνᾶσί τε πᾶσιν, οἳ πανδημεὶ πλὴν Οἰνιαδῶν
went with-Acarnanians both all who in-full-force except Oeniadae
ξυνέσποντο, καὶ Ζακυνθίοις καὶ Κεφαλλῆσι καὶ Κερκυραίων
followed and Zacynthians and Cephallenians and of-Corcyraeans
πέντε καὶ δέκα ναυσίν.
five and ten ships
καὶ οἱ μὲν Λευκάδιοι τῆς τε ἔξω γῆς δῃουμένης καὶ τῆς 94.2
and the indeed Leucadians of-the both outside land being-ravaged and of-the
ἐντὸς τοῦ ἰσθμοῦ, ἐν ᾗ καὶ ἡ Λευκάς ἐστι καὶ τὸ ἱερὸν τοῦ
inside the isthmus in which also — Leucas is and the temple —

Ἀπόλλωνος, πλήθει βιαζόμενοι ἡσύχαζον· οἱ δὲ Ἀκαρνᾶνες
of-Apollo by-numbers being-overpowered kept-quiet the but Acarnanians
ἠξίουν Δημοσθένη τὸν στρατηγὸν τῶν Ἀθηναίων ἀποτειχίζειν
asked Demosthenes the general of-the Athenians to-wall-off
αὐτούς, νομίζοντες ῥᾳδίως γ' ἂν ἐκπολιορκῆσαι καὶ
them thinking easily at-least — to-reduce-by-siege and
πόλεως αἰεὶ σφίσι πολεμίας ἀπαλλαγῆναι.
from-city always to-them hostile to-be-freed

94.3 Δημοσθένης δ' ἀναπείθεται κατὰ τὸν χρόνον τοῦτον
Demosthenes but is-persuaded at the time this
ὑπὸ Μεσσηνίων ὡς καλὸν αὐτῷ στρατιᾶς τοσαύτης
by Messenians that fine for-him army so-great
ξυνειλεγμένης Αἰτωλοῖς ἐπιθέσθαι, Ναυπάκτῳ τε πολεμίοις
having-been-gathered Aetolians to-attack to-Naupactus both hostile
οὖσι καί, ἢν κρατήσῃ αὐτῶν, ῥᾳδίως καὶ τὸ ἄλλο
being and if he-prevails over-them easily also the rest-of
Ἤπειρωτικὸν τὸ ταύτῃ Ἀθηναίοις προσποιήσειν.
mainland the there for-Athenians to-win-over

94.4 τὸ γὰρ ἔθνος μέγα μὲν εἶναι τὸ τῶν Αἰτωλῶν καὶ
the for nation great indeed to-be the of-the Aetolians and
μάχιμον, οἰκοῦν δὲ κατὰ κώμας ἀτειχίστους, καὶ ταύτας
warlike dwelling but in villages unwalled and these
διὰ πολλοῦ, καὶ σκευῇ ψιλῇ χρώμενον οὐ χαλεπὸν
through far-apart and equipment light using not difficult
ἀπέφαινον, πρὶν ξυμβοηθῆσαι, καταστραφῆναι.
they-declared before to-help-together to-be-subdued

94.5 ἐπιχειρεῖν δ' ἐκέλευον πρῶτον μὲν Ἀποδωτοῖς, ἔπειτα δὲ
to-attack and they-bade first indeed Apodotians then and
Ὀφιονεῦσι καὶ μετὰ τούτους Εὐρυτᾶσιν, ὅπερ μέγιστον
Ophioneans and after these Eurytanians which-very greatest
μέρος ἐστὶ τῶν Αἰτωλῶν, ἀγνωστότατοι δὲ γλῶσσαν καὶ
part is of-the Aetolians most-unintelligible and in-language and

ὠμοφάγοι εἰσίν, ὡς λέγονται· τούτων γὰρ ληφθέντων
eaters-of-raw-flesh they-are as they-are-said these for having-been-taken
ῥᾳδίως καὶ τἆλλα προσχωρήσειν.
easily also the-rest to-come-over
ὁ δὲ τῶν Μεσσηνίων χάριτι πεισθεὶς καὶ μάλιστα 95.1
he and of-the Messenians by-favor persuaded and most
νομίσας ἄνευ τῆς τῶν Ἀθηναίων δυνάμεως τοῖς
having-thought without the of-the Athenians power with-the
ἠπειρώταις ξυμμάχοις μετὰ τῶν Αἰτωλῶν δύνασθαι ἂν
mainland allies with the Aetolians to-be-able —
κατὰ γῆν ἐλθεῖν ἐπὶ Βοιωτοὺς διὰ Λοκρῶν τῶν Ὀζολῶν
by land to-go against Boeotians through Locrians the Ozolian
ἐς Κυτίνιον τὸ Δωρικόν, ἐν δεξιᾷ ἔχων τὸν Παρνασσόν,
to Cytinium the Dorian on right having — Parnassus
ἕως καταβαίη ἐς Φωκέας, οἳ προθύμως ἐδόκουν κατὰ
until he-should-descend to Phocians who eagerly seemed according-to
τὴν Ἀθηναίων αἰεί ποτε φιλίαν ξυστρατεύσειν ἢ κἂν βίᾳ
the of-Athenians always ever friendship to-join-the-campaign or even by-force
προσαχθῆναι (καὶ Φωκεῦσιν ἤδη ὅμορος ἡ Βοιωτία ἐστίν),
to-be-brought-over and to-Phocians already bordering — Boeotia is
ἄρας οὖν ξύμπαντι τῷ στρατεύματι ἀπὸ τῆς Λευκάδος
having-set-out then with-whole the army from — Leucas
ἀκόντων τῶν Ἀκαρνάνων παρέπλευσεν ἐς Σόλλιον.
unwilling the Acarnanians he-sailed-along to Sollium
κοινώσας δὲ τὴν ἐπίνοιαν τοῖς Ἀκαρνᾶσιν, ὡς οὐ 95.2
having-communicated and the plan to-the Acarnanians as not
προσεδέξαντο διὰ τῆς Λευκάδος τὴν οὐ περιτείχισιν,
they-accepted because-of — of-Leucas the not walling-round
αὐτὸς τῇ λοιπῇ στρατιᾷ, Κεφαλλῆσι καὶ Μεσσηνίοις
himself with-the remaining army with-Cephallenians and Messenians
καὶ Ζακυνθίοις καὶ Ἀθηναίων τριακοσίοις τοῖς ἐπιβάταις
and Zacynthians and of-Athenians three-hundred the marines

τῶν σφετέρων νεῶν (αἱ γὰρ πέντε καὶ δέκα τῶν
of-the their-own ships the for five and ten of-the
Κερκυραίων ἀπῆλθον νῆες), ἐστράτευσεν ἐπ' Αἰτωλούς.
Corcyraeans had-gone-away ships campaigned against Aetolians
95.3 ὥρμᾶτο δὲ ἐξ Οἰνεῶνος τῆς Λοκρίδος. οἱ δὲ Ὀζόλαι οὗτοι
he-set-out and from Oeneon — of-Locris the and Ozolian these
Λοκροὶ ξύμμαχοι ἦσαν, καὶ ἔδει αὐτοὺς πανστρατιᾷ
Locrians allies were and it-was-necessary them in-full-force
ἀπαντῆσαι τοῖς Ἀθηναίοις ἐς τὴν μεσόγειαν· ὄντες γὰρ ὅμοροι
to-meet the Athenians in the interior being for neighbors
τοῖς Αἰτωλοῖς καὶ ὁμόσκευοι μεγάλη ὠφελία ἐδόκουν εἶναι
to-the Aetolians and similarly-armed great help they-seemed to-be
ξυστρατεύοντες μάχης τε ἐμπειρίᾳ τῆς ἐκείνων καὶ χωρίων.
campaigning-with of-battle both by-experience the their and of-places
96.1 αὐλισάμενος δὲ τῷ στρατῷ ἐν τοῦ Διὸς τοῦ Νεμείου τῷ
having-bivouacked and with-the army in — of-Zeus the Nemean the
ἱερῷ, ἐν ᾧ Ἡσίοδος ὁ ποιητὴς λέγεται ὑπὸ τῶν ταύτῃ
temple in which Hesiod the poet is-said by those there
ἀποθανεῖν, χρησθὲν αὐτῷ ἐν Νεμέᾳ τοῦτο παθεῖν,
to-have-died it-having-been-foretold to-him in Nemea this to-suffer
ἅμα τῇ ἕῳ ἄρας ἐπορεύετο ἐς τὴν Αἰτωλίαν.
together-with the dawn having-set-out he-marched into — Aetolia
96.2 καὶ αἱρεῖ τῇ πρώτῃ ἡμέρᾳ Ποτιδανίαν καὶ τῇ δευτέρᾳ
and takes on-the first day Potidania and on-the second
Κροκύλειον καὶ τῇ τρίτῃ Τείχιον, ἔμενέ τε αὐτοῦ καὶ
Crocyleium and on-the third Teichium he-stayed both there and
τὴν λείαν ἐς Εὐπάλιον τῆς Λοκρίδος ἀπέπεμψεν· τὴν
the booty to Eupalium — of-Locris sent-off the
γὰρ γνώμην εἶχε τὰ ἄλλα καταστρεψάμενος οὕτως
for plan he-had the other-things having-subdued so

ἐπὶ Ὀφιονέας, εἰ μὴ βούλοιντο ξυγχωρεῖν, ἐς Ναύπακτον
against Ophioneans if not they-wished to-come-to-terms to Naupactus
ἐπαναχωρήσας στρατεῦσαι ὕστερον.
having-returned to-campaign later
τοὺς δὲ Αἰτωλοὺς οὐκ ἐλάνθανεν αὕτη ἡ παρασκευὴ 96.3
the but Aetolians not escaped-notice this the preparation
οὔτε ὅτε τὸ πρῶτον ἐπεβουλεύετο, ἐπειδή τε ὁ στρατὸς
neither when the first it-was-being-planned when both the army
ἐσεβεβλήκει, πολλῇ χειρὶ ἐπεβοήθουν πάντες, ὥστε καὶ
had-invaded with-great force came-to-help all so-that even
οἱ ἔσχατοι Ὀφιονέων οἱ πρὸς τὸν Μηλιακὸν κόλπον
the furthest of-Ophioneans those toward the Malian gulf
καθήκοντες Βωμιῆς καὶ Καλλιῆς ἐβοήθησαν.
reaching Bomians and Callians came-to-help
τῷ δὲ Δημοσθένει τοιόνδε τι οἱ Μεσσήνιοι παρῄνουν· 97.1
— and to-Demosthenes such something the Messenians advised
ὅπερ καὶ τὸ πρῶτον ἀναδιδάσκοντες αὐτὸν τῶν Αἰτωλῶν
which-very also the first-time instructing him of-the Aetolians
ὡς εἴη ῥᾳδία ἡ αἵρεσις, ἰέναι ἐκέλευον ὅτι τάχιστα ἐπὶ
as would-be easy the capture to-go they-bade as quickly-as-possible against
τὰς κώμας καὶ μὴ μένειν ἕως ἂν ξύμπαντες ἀθροισθέντες
the villages and not to-wait until — all having-been-gathered
ἀντιτάξωνται, τὴν δ' ἐν ποσὶν αἰεὶ πειρᾶσθαι αἱρεῖν.
they-oppose the and at feet always to-try to-take
ὁ δὲ τούτοις τε πεισθεὶς καὶ τῇ τύχῃ ἐλπίσας, ὅτι 97.2
he and by-these both having-been-persuaded and by-the fortune having-hoped because
οὐδὲν αὐτῷ ἠναντιοῦτο, τοὺς Λοκροὺς οὐκ ἀναμείνας οὓς
nothing to-him was-opposed the Locrians not having-waited-for whom
αὐτῷ ἔδει προσβοηθῆσαι (ψιλῶν γὰρ ἀκοντιστῶν
to-him it-was-necessary to-come-to-help of-light-troops for javelin-throwers
ἐνδεὴς ἦν μάλιστα) ἐχώρει ἐπὶ Αἰγιτίου, καὶ κατὰ
lacking he-was most he-went against Aegitium and by

κράτος αἱρεῖ ἐπιών. ὑπέφευγον γὰρ οἱ ἄνθρωποι καὶ
storm takes attacking fled-out-from-under for the men and
ἐκάθηντο ἐπὶ τῶν λόφων τῶν ὑπὲρ τῆς πόλεως· ἦν γὰρ
sat on the hills the above the city it-was for
ἐφ' ὑψηλῶν χωρίων ἀπέχουσα τῆς θαλάσσης ὀγδοήκοντα
on high places being-distant from-the sea eighty
σταδίους μάλιστα.
stades about

97.3 οἱ δὲ Αἰτωλοί (βεβοηθηκότες γὰρ ἤδη ἦσαν ἐπὶ τὸ
the and Aetolians having-come-to-help for already they-were to —
Αἰγίτιον) προσέβαλλον τοῖς Ἀθηναίοις καὶ τοῖς ξυμμάχοις
Aegitium attacked the Athenians and the allies
καταθέοντες ἀπὸ τῶν λόφων ἄλλοι ἄλλοθεν καὶ
running-down from the hills different-men from-different-sides and
ἐσηκόντιζον, καὶ ὅτε μὲν ἐπίοι τὸ τῶν Ἀθηναίων
threw-javelins and when indeed attacked the of-the Athenians
στρατόπεδον, ὑπεχώρουν, ἀναχωροῦσι δὲ ἐπέκειντο· καὶ
army they-retreated withdrawing but they-pressed and
ἦν ἐπὶ πολὺ τοιαύτη ἡ μάχη, διώξεις τε καὶ ὑπαγωγαί,
was for long such the battle pursuits both and retreats
ἐν οἷς ἀμφοτέροις ἥσσους ἦσαν οἱ Ἀθηναῖοι.
in which both inferior were the Athenians

98.1 μέχρι μὲν οὖν οἱ τοξόται εἶχόν τε τὰ βέλη αὐτοῖς καὶ οἷοί
as-long-as indeed then the archers had both the arrows them and able
τε ἦσαν χρῆσθαι, οἱ δὲ ἀντεῖχον (τοξευόμενοι γὰρ οἱ Αἰτωλοὶ
— were to-use they and held-out being-shot-at for the Aetolians
ἄνθρωποι ψιλοὶ ἀνεστέλλοντο)· ἐπειδὴ δὲ τοῦ τε τοξάρχου
men light-armed were-driven-back when but the both archer-captain
ἀποθανόντος οὗτοι διεσκεδάσθησαν καὶ αὐτοὶ ἐκεκμήκεσαν
having-died these were-scattered and themselves were-exhausted
καὶ ἐπὶ πολὺ τῷ αὐτῷ πόνῳ ξυνεχόμενοι, οἵ τε Αἰτωλοὶ
and for long by-the same toil being-pressed the both Aetolians

ἐνέκειντο καὶ ἐσηκόντιζον, οὕτω δὴ τραπόμενοι ἔφευγον,
pressed and threw-javelins so indeed having-turned they-fled
καὶ ἐσπίπτοντες ἔς τε χαράδρας ἀνεκβάτους καὶ χωρία
and falling into both ravines impassable and places
ὧν οὐκ ἦσαν ἔμπειροι διεφθείροντο· καὶ γὰρ ὁ ἡγεμὼν
of-which not they-were experienced were-destroyed and for the guide
αὐτοῖς τῶν ὁδῶν Χρόμων ὁ Μεσσήνιος ἐτύγχανε τεθνηκώς.
to-them of-the roads Chromon the Messenian happened having-died
οἱ δὲ Αἰτωλοὶ ἐσακοντίζοντες πολλοὺς μὲν αὐτοῦ ἐν 98.2
the and Aetolians throwing-javelins many indeed there in
τῇ τροπῇ κατὰ πόδας αἱροῦντες ἄνθρωποι ποδώκεις
the rout at feet catching men swift-footed
καὶ ψιλοὶ διέφθειρον, τοὺς δὲ πλείους τῶν ὁδῶν
and light-armed destroyed the but more of-the roads
ἁμαρτάνοντας καὶ ἐς τὴν ὕλην ἐσφερομένους, ὅθεν διέξοδοι
missing and into the wood being-carried whence ways-out
οὐκ ἦσαν, πῦρ κομισάμενοι περιεπίμπρασαν·
not were fire having-brought burned-around
πᾶσά τε ἰδέα κατέστη τῆς φυγῆς καὶ τοῦ ὀλέθρου 98.3
every both form arose of-the flight and of-the destruction
τῷ στρατοπέδῳ τῶν Ἀθηναίων, μόλις τε ἐπὶ τὴν
for-the army of-the Athenians with-difficulty both to the
θάλασσαν καὶ τὸν Οἰνεῶνα τῆς Λοκρίδος, ὅθεν περ καὶ
sea and — Oeneon — of-Locris whence indeed also
ὡρμήθησαν, οἱ περιγενόμενοι κατέφυγον.
they-had-set-out the survivors fled
ἀπέθανον δὲ τῶν τε ξυμμάχων πολλοὶ καὶ αὐτῶν Ἀθηναίων 98.4
died and of-the both allies many and themselves Athenians
ὁπλῖται περὶ εἴκοσι μάλιστα καὶ ἑκατόν. τοσοῦτοι μὲν τὸ
hoplites about twenty about and a-hundred so-many indeed the
πλῆθος καὶ ἡλικία ἡ αὐτὴ οὗτοι βέλτιστοι δὴ ἄνδρες ἐν
number and age the same these best indeed men in

τῷ πολέμῳ τῷδε ἐκ τῆς Ἀθηναίων πόλεως διεφθάρησαν·
the war this from the of-Athenians city perished
ἀπέθανε δὲ καὶ ὁ ἕτερος στρατηγὸς Προκλῆς.
died and also the other general Procles
98.5 τοὺς δὲ νεκροὺς ὑποσπόνδους ἀνελόμενοι παρὰ τῶν
the and dead under-truce having-recovered from the
Αἰτωλῶν καὶ ἀναχωρήσαντες ἐς Ναύπακτον ὕστερον ἐς
Aetolians and having-withdrawn to Naupactus later to
τὰς Ἀθήνας ταῖς ναυσὶν ἐκομίσθησαν. Δημοσθένης δὲ
— Athens with-the ships were-carried Demosthenes but
περὶ Ναύπακτον καὶ τὰ χωρία ταῦτα ὑπελείφθη, τοῖς
about Naupactus and the places these was-left-behind by-the
πεπραγμένοις φοβούμενος τοὺς Ἀθηναίους.
things-done fearing the Athenians
99.1 κατὰ δὲ τοὺς αὐτοὺς χρόνους καὶ οἱ περὶ Σικελίαν
about and the same times also the about Sicily
Ἀθηναῖοι πλεύσαντες ἐς τὴν Λοκρίδα ἐν ἀποβάσει τέ τινι
Athenians having-sailed to — Locris in landing both some
τοὺς προσβοηθήσαντας Λοκρῶν ἐκράτησαν καὶ περιπόλιον
those having-come-to-help of-Locrians defeated and frontier-fort
αἱροῦσιν ὃ ἦν ἐπὶ τῷ Ἅλικι ποταμῷ.
take which was on — Halex river
100.1 τοῦ δ' αὐτοῦ θέρους Αἰτωλοὶ προπέμψαντες πρότερον ἔς
in-the and same summer Aetolians having-sent-ahead earlier to
τε Κόρινθον καὶ ἐς Λακεδαίμονα πρέσβεις, Τόλοφόν τε
both Corinth and to Lacedaemon envoys Tolophus both
τὸν Ὀφιονέα καὶ Βοριάδην τὸν Εὐρυτᾶνα καὶ Τείσανδρον
the Ophionean and Boriades the Eurytanian and Tisander
τὸν Ἀποδωτόν, πείθουσιν ὥστε σφίσι πέμψαι στρατιὰν
the Apodotian persuade so-that for-them to-send army
ἐπὶ Ναύπακτον διὰ τὴν τῶν Ἀθηναίων ἐπαγωγήν.
against Naupactus because-of the of-the Athenians bringing-in

καὶ ἐξέπεμψαν Λακεδαιμόνιοι περὶ τὸ φθινόπωρον τρισχιλίους 100.2
and sent-out Lacedaemonians about the autumn three-thousand
ὁπλίτας τῶν ξυμμάχων. τούτων ἦσαν πεντακόσιοι ἐξ
hoplites of-the allies of-these were five-hundred from
Ἡρακλείας τῆς ἐν Τραχῖνι πόλεως τότε νεοκτίστου οὔσης·
Heraclea the in Trachis city then newly-founded being
Σπαρτιάτης δ' ἦρχεν Εὐρύλοχος τῆς στρατιᾶς, καὶ
Spartan and commanded Eurylochus the army and
ξυνηκολούθουν αὐτῷ Μακάριος καὶ Μενεδάϊος οἱ Σπαρτιᾶται.
accompanied him Macarius and Menedaius the Spartans
ξυλλεγέντος δὲ τοῦ στρατεύματος ἐς Δελφοὺς 101.1
having-been-gathered and the army at Delphi
ἐπεκηρυκεύετο Εὐρύλοχος Λοκροῖς τοῖς Ὀζόλαις· διὰ
sent-a-herald Eurylochus to-Locrians the Ozolian through
τούτων γὰρ ἡ ὁδὸς ἦν ἐς Ναύπακτον, καὶ ἅμα
these for the road was to Naupactus and at-the-same-time
τῶν Ἀθηναίων ἐβούλετο ἀποστῆσαι αὐτούς.
from-the Athenians he-wished to-detach them
ξυνέπρασσον δὲ μάλιστα αὐτῷ τῶν Λοκρῶν Ἀμφισσῆς 101.2
cooperated and most with-him of-the Locrians Amphissians
διὰ τὸ τῶν Φωκέων ἔχθος δεδιότες· καὶ αὐτοὶ
because-of the of-the Phocians enmity fearing and themselves
πρῶτοι δόντες ὁμήρους καὶ τοὺς ἄλλους ἔπεισαν δοῦναι
first having-given hostages also the others persuaded to-give
φοβουμένους τὸν ἐπιόντα στρατόν, πρῶτον μὲν οὖν τοὺς
fearing the approaching army first indeed then the
ὁμόρους αὐτοῖς Μυονέας (ταύτῃ γὰρ δυσεσβολώτατος ἡ
neighbors to-them Myoneans here for hardest-to-invade —
Λοκρίς), ἔπειτα Ἰπνέας καὶ Μεσσαπίους καὶ Τριταιέας
Locris then Ipneans and Messapians and Tritaeans
καὶ Χαλαίους καὶ Τολοφωνίους καὶ Ἡσσίους καὶ Οἰανθέας.
and Chalaeans and Tolophonians and Hessians and Oeantheans

οὗτοι καὶ ξυνεστράτευον πάντες. Ὀλπαῖοι δὲ ὁμήρους μὲν
these also joined-the-campaign all Olpaeans but hostages indeed
ἔδοσαν, ἠκολούθουν δὲ οὔ· καὶ Ὑαῖοι οὐκ ἔδοσαν ὁμήρους
gave followed but not and Hyaeans not gave hostages
πρὶν αὐτῶν εἷλον κώμην Πόλιν ὄνομα ἔχουσαν.
before of-them they-took village Polis name having
102.1 ἐπειδὴ δὲ παρεσκεύαστο πάντα καὶ τοὺς ὁμήρους κατέθετο
when and had-been-prepared all and the hostages he-deposited
ἐς Κυτίνιον τὸ Δωρικόν, ἐχώρει τῷ στρατῷ ἐπὶ τὴν
at Cytinium the Dorian he-went with-the army against —
Ναύπακτον διὰ τῶν Λοκρῶν, καὶ πορευόμενος Οἰνεῶνα
Naupactus through the Locrians and marching Oeneon
αἱρεῖ αὐτῶν καὶ Εὐπάλιον· οὐ γὰρ προσεχώρησαν.
takes of-theirs and Eupalium not for they-came-over
102.2 γενόμενοι δ' ἐν τῇ Ναυπακτίᾳ καὶ οἱ Αἰτωλοὶ ἅμα
having-arrived and in — Naupactian-land and the Aetolians at-the-same-time
ἤδη προσβεβοηθηκότες ἐδῄουν τὴν γῆν καὶ τὸ προάστειον
already having-come-to-help ravaged the land and the suburb
ἀτείχιστον ὂν εἷλον· ἐπί τε Μολύκρειον ἐλθόντες τὴν
unwalled being took against both Molycrium having-come the
Κορινθίων μὲν ἀποικίαν, Ἀθηναίων δὲ ὑπήκοον, αἱροῦσιν.
of-Corinthians indeed colony of-Athenians but subject they-take
102.3 Δημοσθένης δὲ ὁ Ἀθηναῖος (ἔτι γὰρ ἐτύγχανεν ὢν μετὰ
Demosthenes and the Athenian still for happened being after
τὰ ἐκ τῆς Αἰτωλίας περὶ Ναύπακτον) προαισθόμενος
the-things from — Aetolia about Naupactus having-perceived-beforehand
τοῦ στρατοῦ καὶ δείσας περὶ αὐτῆς, ἐλθὼν πείθει
the army and having-feared about it having-gone persuades
Ἀκαρνᾶνας, χαλεπῶς διὰ τὴν ἐκ τῆς Λευκάδος
Acarnanians with-difficulty because-of the from — Leucas
ἀναχώρησιν, βοηθῆσαι Ναυπάκτῳ.
withdrawal to-come-to-help Naupactus

καὶ πέμπουσι μετ᾽ αὐτοῦ ἐπὶ τῶν νεῶν χιλίους ὁπλίτας, 102.4
and they-send with him on the ships thousand hoplites
οἳ ἐσελθόντες περιεποίησαν τὸ χωρίον· δεινὸν γὰρ ἦν μὴ
who having-entered saved the place danger for was lest
μεγάλου ὄντος τοῦ τείχους, ὀλίγων δὲ τῶν ἀμυνομένων,
great being the wall few and the defenders
οὐκ ἀντίσχωσιν.
not they-should-hold-out
Εὐρύλοχος δὲ καὶ οἱ μετ᾽ αὐτοῦ ὡς ᾔσθοντο τὴν 102.5
Eurylochus and and those with him when they-perceived the
στρατιὰν ἐσεληλυθυῖαν καὶ ἀδύνατον ὂν τὴν πόλιν βίᾳ
army having-entered and impossible being the city by-force
ἑλεῖν, ἀνεχώρησαν οὐκ ἐπὶ Πελοποννήσου, ἀλλ᾽ ἐς τὴν
to-take withdrew not to Peloponnese but to —
Αἰολίδα τὴν νῦν καλουμένην Καλυδῶνα καὶ Πλευρῶνα
Aeolis the now called Calydon and Pleuron
καὶ ἐς τὰ ταύτῃ χωρία καὶ ἐς Πρόσχιον τῆς Αἰτωλίας.
and to the there places and to Proschium — of-Aetolia
οἱ γὰρ Ἀμπρακιῶται ἐλθόντες πρὸς αὐτοὺς πείθουσιν ὥστε 102.6
the for Ambraciots having-come to them persuade so-that
μετὰ σφῶν Ἄργει τε τῷ Ἀμφιλοχικῷ καὶ Ἀμφιλοχίᾳ τῇ
with themselves Argos both the Amphilochian and Amphilochia the
ἄλλῃ ἐπιχειρῆσαι καὶ Ἀκαρνανίᾳ ἅμα, λέγοντες ὅτι,
other to-attack and Acarnania at-the-same-time saying that
ἢν τούτων κρατήσωσι, πᾶν τὸ ἠπειρωτικὸν Λακεδαιμονίοις
if these they-master all the mainland to-Lacedaemonians
ξύμμαχον καθεστήξει.
allied will-be-established
καὶ ὁ μὲν Εὐρύλοχος πεισθεὶς καὶ τοὺς Αἰτωλοὺς 102.7
and — indeed Eurylochus having-been-persuaded and the Aetolians
ἀφεὶς ἡσύχαζε τῷ στρατῷ περὶ τοὺς χώρους
having-dismissed kept-quiet with-the army about the places

τούτους, ἕως τοῖς Ἀμπρακιώταις ἐκστρατευσαμένοις περὶ
these until for-the Ambraciots having-marched-out about
τὸ Ἄργος δέοι βοηθεῖν. καὶ τὸ θέρος ἐτελεύτα.
— Argos it-should-be-necessary to-help and the summer ended

XXI · OLPAE AND IDOMENE

In Sicily the Athenians fail at Inessa, and Laches beats the Locrians at the Caicinus. Athens purifies Delos, removing the graves, and founds the Delian games; Homer's hymn shows an older festival. The Ambraciots march out as promised and seize Olpae, Eurylochus joins them from Proschium, and the Acarnanians choose Demosthenes as leader. At Olpae his ambush takes the Peloponnesian wing from behind, and Eurylochus is killed. Demosthenes lets the Peloponnesian leaders slip away by a secret truce, then routs the Ambraciot relief force at dawn at Idomene, his Messenians speaking Doric to the sentries. A herald is stunned at the number of arms, and Acarnania and Amphilochia make a hundred-year peace with Ambracia.

103.1 οἱ δ' ἐν τῇ Σικελίᾳ Ἀθηναῖοι τοῦ ἐπιγιγνομένου χειμῶνος
the and in — Sicily Athenians in-the following winter
ἐπελθόντες μετὰ τῶν Ἑλλήνων ξυμμάχων καὶ ὅσοι
having-attacked with the Greek allies and as-many-as
Σικελῶν κατὰ κράτος ἀρχόμενοι ὑπὸ Συρακοσίων καὶ
of-Sicels by force being-ruled by Syracusans and
ξύμμαχοι ὄντες ἀποστάντες αὐτοῖς ξυνεπολέμουν, ἐπ'
allies being having-revolted with-them joined-in-the-war against
Ἴνησσαν τὸ Σικελικὸν πόλισμα, οὗ τὴν ἀκρόπολιν
Inessa the Sicel town of-which the acropolis
Συρακόσιοι εἶχον, προσέβαλον, καὶ ὡς οὐκ ἐδύναντο ἑλεῖν,
Syracusans held attacked and as not they-could to-take
ἀπῆσαν.
went-away

ἐν δὲ τῇ ἀναχωρήσει ὑστέροις Ἀθηναίων τοῖς ξυμμάχοις 103.2
in and the withdrawal behind of-Athenians the allies
ἀναχωροῦσιν ἐπιτίθενται οἱ ἐκ τοῦ τειχίσματος
withdrawing attack those from the fort
Συρακόσιοι, καὶ προσπεσόντες τρέπουσί τε μέρος τι τοῦ
Syracusans and having-fallen-on rout both part some of-the
στρατοῦ καὶ ἀπέκτειναν οὐκ ὀλίγους.
army and killed not few
καὶ μετὰ τοῦτο ἀπὸ τῶν νεῶν ὁ Λάχης καὶ οἱ Ἀθηναῖοι 103.3
and after this from the ships — Laches and the Athenians
ἐς τὴν Λοκρίδα ἀποβάσεις τινὰς ποιησάμενοι κατὰ
in — Locris landings some having-made by
τὸν Καϊκῖνον ποταμὸν τοὺς προσβοηθοῦντας Λοκρῶν
— Caicinus river those coming-to-help of-Locrians
μετὰ Προξένου τοῦ Καπάτωνος ὡς τριακοσίους μάχῃ
with Proxenus the son-of-Capaton about three-hundred in-battle
ἐκράτησαν καὶ ὅπλα λαβόντες ἀπεχώρησαν.
defeated and arms having-taken went-away
τοῦ δ' αὐτοῦ χειμῶνος καὶ Δῆλον ἐκάθηραν Ἀθηναῖοι 104.1
in-the and same winter also Delos purified Athenians
κατὰ χρησμὸν δή τινα. ἐκάθηρε μὲν γὰρ καὶ
according-to oracle indeed some purified indeed for also
Πεισίστρατος ὁ τύραννος πρότερον αὐτήν, οὐχ ἅπασαν,
Pisistratus the tyrant before it not all
ἀλλ' ὅσον ἀπὸ τοῦ ἱεροῦ ἐφεωρᾶτο τῆς νήσου· τότε
but as-much-as from the temple was-visible of-the island then
δὲ πᾶσα ἐκαθάρθη τοιῷδε τρόπῳ.
but all was-purified in-the-following manner
θῆκαι ὅσαι ἦσαν τῶν τεθνεώτων ἐν Δήλῳ, πάσας 104.2
tombs as-many-as were of-the dead in Delos all
ἀνεῖλον, καὶ τὸ λοιπὸν προεῖπον μήτε ἐναποθνήσκειν ἐν
they-removed and the future they-proclaimed neither to-die in

τῇ νήσῳ μήτε ἐντίκτειν, ἀλλ᾽ ἐς τὴν Ῥήνειαν διακομίζεσθαι.
the island nor to-give-birth but to — Rheneia to-be-carried
ἀπέχει δὲ ἡ Ῥήνεια τῆς Δήλου οὕτως ὀλίγον ὥστε
is-distant and — Rheneia — from-Delos so little that
Πολυκράτης ὁ Σαμίων τύραννος ἰσχύσας τινὰ χρόνον
Polycrates the of-Samians tyrant having-been-strong some time
ναυτικῷ καὶ τῶν τε ἄλλων νήσων ἄρξας καὶ τὴν Ῥήνειαν
in-navy and of-the both other islands having-ruled and — Rheneia
ἑλὼν ἀνέθηκε τῷ Ἀπόλλωνι τῷ Δηλίῳ ἁλύσει δήσας
having-taken dedicated — to-Apollo the Delian with-chain having-bound
πρὸς τὴν Δῆλον. καὶ τὴν πεντετηρίδα τότε πρῶτον μετὰ
to — Delos and the quadrennial-festival then first after
τὴν κάθαρσιν ἐποίησαν οἱ Ἀθηναῖοι τὰ Δήλια.
the purification made the Athenians the Delian-games
104.3 ἦν δέ ποτε καὶ τὸ πάλαι μεγάλη ξύνοδος ἐς τὴν
there-was and once also the long-ago great gathering at —
Δῆλον τῶν Ἰώνων τε καὶ περικτιόνων νησιωτῶν· ξύν
Delos of-the Ionians both and neighboring islanders with
τε γὰρ γυναιξὶ καὶ παισὶν ἐθεώρουν, ὥσπερ νῦν ἐς τὰ
both for wives and children they-went-to-see as now to the
Ἐφέσια Ἴωνες, καὶ ἀγὼν ἐποιεῖτο αὐτόθι καὶ γυμνικὸς
Ephesian-games Ionians and contest was-held there both athletic
καὶ μουσικός, χορούς τε ἀνῆγον αἱ πόλεις.
and musical choruses both brought the cities

δηλοῖ δὲ μάλιστα Ὅμηρος ὅτι τοιαῦτα ἦν ἐν τοῖς ἔπεσι 104.4
shows and most Homer that such-things were in the verses
τοῖσδε, ἅ ἐστιν ἐκ προοιμίου Ἀπόλλωνος·
these which are from prelude of-Apollo

ἀλλ' ὅτε Δήλῳ, Φοῖβε, μάλιστά γε θυμὸν ἐτέρφθης,
but when in-Delos Phoebus most at-least in-heart you-were-delighted
ἔνθα τοι ἑλκεχίτωνες Ἰάονες ἠγερέθονται
there for-you long-robed Ionians gather
σὺν σφοῖσιν τεκέεσσι γυναιξί τε σὴν ἐς ἀγυιάν·
with their children wives and your to street
ἔνθα σε πυγμαχίῃ τε καὶ ὀρχηστυῖ καὶ ἀοιδῇ
there you in-boxing both and in-dancing and in-song
μνησάμενοι τέρπουσιν, ὅταν καθέσωσιν ἀγῶνα.
remembering delight whenever they-set-up contest

ὅτι δὲ καὶ μουσικῆς ἀγὼν ἦν καὶ ἀγωνιούμενοι ἐφοίτων ἐν 104.5
that and also of-music contest was and going-to-compete they-came in
τοῖσδε αὖ δηλοῖ, ἅ ἐστιν ἐκ τοῦ αὐτοῦ προοιμίου· τὸν
these again shows which are from the same prelude the

γὰρ Δηλιακὸν χορὸν τῶν γυναικῶν ὑμνήσας ἐτελεύτα τοῦ
for Delian chorus of-the women having-hymned he-ended of-the
ἐπαίνου ἐς τάδε τὰ ἔπη, ἐν οἷς καὶ ἑαυτοῦ ἐπεμνήσθη·
praise in these the verses in which also himself he-mentioned

ἀλλ' ἄγεθ', ἱλήκοι μὲν Ἀπόλλων Ἀρτέμιδι ξύν,
but come may-he-be-gracious indeed Apollo Artemis with
χαίρετε δ' ὑμεῖς πᾶσαι. ἐμεῖο δὲ καὶ μετόπισθε
farewell and you all me and also hereafter
μνήσασθ', ὁππότε κέν τις ἐπιχθονίων ἀνθρώπων
remember whenever — anyone of-earth-dwelling men
ἐνθάδ' ἀνείρηται ταλαπείριος ἄλλος ἐπελθών·
hither should-ask a-much-suffering other having-come
'Ὦ κοῦραι, τίς δ' ὔμμιν ἀνὴρ ἥδιστος ἀοιδῶν
O maidens who and to-you man sweetest of-singers
ἐνθάδε πωλεῖται, καὶ τέῳ τέρπεσθε μάλιστα;'
hither comes and in-whom you-delight most
ὑμεῖς δ' εὖ μάλα πᾶσαι ὑποκρίνασθαι ἀφήμως·
you and well very all to-answer about-us
'Τυφλὸς ἀνήρ, οἰκεῖ δὲ Χίῳ ἔνι παιπαλοέσσῃ.'
blind man he-dwells and Chios in rocky

104.6 τοσαῦτα μὲν Ὅμηρος ἐτεκμηρίωσεν ὅτι ἦν καὶ τὸ
so-much indeed Homer attested that there-was also the
πάλαι μεγάλη ξύνοδος καὶ ἑορτὴ ἐν τῇ Δήλῳ· ὕστερον δὲ
long-ago great gathering and festival in — Delos later and
τοὺς μὲν χοροὺς οἱ νησιῶται καὶ οἱ Ἀθηναῖοι μεθ' ἱερῶν
the indeed choruses the islanders and the Athenians with offerings
ἔπεμπον, τὰ δὲ περὶ τοὺς ἀγῶνας καὶ τὰ πλεῖστα κατελύθη
sent the but about the contests and the most were-abolished

ὑπὸ ξυμφορῶν, ὡς εἰκός, πρὶν δὴ οἱ Ἀθηναῖοι τότε τὸν
by misfortunes as likely until indeed the Athenians then the
ἀγῶνα ἐποίησαν καὶ ἱπποδρομίας, ὃ πρότερον οὐκ ἦν.
contest made and horse-races which before not was
τοῦ δ' αὐτοῦ χειμῶνος Ἀμπρακιῶται, ὥσπερ ὑποσχόμενοι 105.1
in-the and same winter Ambraciots as having-promised
Εὐρυλόχῳ τὴν στρατιὰν κατέσχον, ἐκστρατεύονται ἐπὶ
to-Eurylochus the army they-kept march-out against
Ἄργος τὸ Ἀμφιλοχικὸν τρισχιλίοις ὁπλίταις, καὶ
Argos the Amphilochian with-three-thousand hoplites and
ἐσβαλόντες ἐς τὴν Ἀργείαν καταλαμβάνουσιν Ὄλπας,
having-invaded into — Argive-land seize Olpae
τεῖχος ἐπὶ λόφου ἰσχυρὸν πρὸς τῇ θαλάσσῃ, ὅ ποτε
fort on hill strong near the sea which once
Ἀκαρνᾶνες τειχισάμενοι κοινῷ δικαστηρίῳ ἐχρῶντο·
Acarnanians having-fortified as-common court used
ἀπέχει δὲ ἀπὸ τῆς Ἀργείων πόλεως ἐπιθαλασσίας οὔσης
it-is-distant and from the of-Argives city on-the-coast being
πέντε καὶ εἴκοσι σταδίους μάλιστα.
five and twenty stades about
οἱ δὲ Ἀκαρνᾶνες οἱ μὲν ἐς Ἄργος ξυνεβοήθουν, οἱ δὲ 105.2
the and Acarnanians some indeed to Argos came-to-help others and
τῆς Ἀμφιλοχίας ἐν τούτῳ τῷ χωρίῳ ὃ Κρῆναι καλεῖται,
— of-Amphilochia at this the place which Crenae is-called
φυλάσσοντες τοὺς μετὰ Εὐρυλόχου Πελοποννησίους μὴ
guarding-against the with Eurylochus Peloponnesians lest
λάθωσι πρὸς τοὺς Ἀμπρακιώτας διελθόντες,
they-should-escape-notice to the Ambraciots having-passed-through
ἐστρατοπεδεύσαντο.
encamped

105.3 πέμπουσι δὲ καὶ ἐπὶ Δημοσθένη τὸν ἐς τὴν Αἰτωλίαν
they-send and also for Demosthenes the in — Aetolia
Ἀθηναίων στρατηγήσαντα, ὅπως σφίσιν ἡγεμὼν γίγνηται,
of-Athenians having-been-general so-that for-them leader he-might-become
καὶ ἐπὶ τὰς εἴκοσι ναῦς Ἀθηναίων αἳ ἔτυχον περὶ
and for the twenty ships of-Athenians which happened round
Πελοπόννησον οὖσαι, ὧν ἦρχεν Ἀριστοτέλης τε ὁ
Peloponnese being which commanded Aristoteles both the
Τιμοκράτους καὶ Ἱεροφῶν ὁ Ἀντιμνήστου.
son-of-Timocrates and Hierophon the son-of-Antimnestus
105.4 ἀπέστειλαν δὲ καὶ ἄγγελον οἱ περὶ τὰς Ὄλπας
sent and also messenger the about — Olpae
Ἀμπρακιῶται ἐς τὴν πόλιν κελεύοντες σφίσι βοηθεῖν
Ambraciots to the city bidding them to-help
πανδημεί, δεδιότες μὴ οἱ μετ' Εὐρυλόχου οὐ δύνωνται
in-full-force fearing lest those with Eurylochus not be-able
διελθεῖν τοὺς Ἀκαρνᾶνας καὶ σφίσιν ἢ μονωθεῖσιν ἡ
to-pass-through the Acarnanians and for-them either isolated the
μάχη γένηται ἢ ἀναχωρεῖν βουλομένοις οὐκ ᾖ ἀσφαλές.
battle should-happen or to-withdraw wishing not it-be safe
106.1 οἱ μὲν οὖν μετ' Εὐρυλόχου Πελοποννήσιοι ὡς ᾔσθοντο
the indeed then with Eurylochus Peloponnesians when they-perceived
τοὺς ἐν Ὄλπαις Ἀμπρακιώτας ἥκοντας, ἄραντες ἐκ τοῦ
the at Olpae Ambraciots having-come having-set-out from —
Προσχίου ἐβοήθουν κατὰ τάχος, καὶ διαβάντες τὸν Ἀχελῷον
Proschium came-to-help with speed and having-crossed — Achelous
ἐχώρουν δι' Ἀκαρνανίας οὔσης ἐρήμου διὰ τὴν ἐς Ἄργος
went through Acarnania being deserted because-of the to Argos
βοήθειαν, ἐν δεξιᾷ μὲν ἔχοντες τὴν Στρατίων πόλιν καὶ
relief on right indeed having the of-Stratians city and
τὴν φρουρὰν αὐτῶν, ἐν ἀριστερᾷ δὲ τὴν ἄλλην Ἀκαρνανίαν.
the garrison their on left and the other Acarnania

καὶ διελθόντες τὴν Στρατίων γῆν ἐχώρουν διὰ τῆς 106.2
and having-passed-through the of-Stratians land went through —
Φυτίας καὶ αὖθις Μεδεῶνος παρ᾽ ἔσχατα, ἔπειτα διὰ
Phytia and again of-Medeon along the-borders then through
Λιμναίας· καὶ ἐπέβησαν τῆς Ἀγραίων, οὐκέτι Ἀκαρνανίας,
Limnaea and set-foot-on the of-Agraeans no-longer of-Acarnania
φιλίας δὲ σφίσιν.
friendly but to-them
λαβόμενοι δὲ τοῦ Θυάμου ὄρους, ὅ ἐστιν Ἀγραϊκόν, 106.3
having-reached and the Thyamus mountain which is Agraean
ἐχώρουν δι᾽ αὐτοῦ καὶ κατέβησαν ἐς τὴν Ἀργείαν
went through it and came-down into — Argive-land
νυκτὸς ἤδη, καὶ διεξελθόντες μεταξὺ τῆς τε Ἀργείων
by-night already and having-passed-through between the both of-Argives
πόλεως καὶ τῆς ἐπὶ Κρήναις Ἀκαρνάνων φυλακῆς ἔλαθον
city and the at Crenae of-Acarnanians guard escaped-notice
καὶ προσέμειξαν τοῖς ἐν Ὄλπαις Ἀμπρακιώταις.
and joined the at Olpae Ambraciots
γενόμενοι δὲ ἁθρόοι ἅμα τῇ ἡμέρᾳ καθίζουσιν ἐπὶ 107.1
having-become and assembled together-with the daybreak they-encamp at
τὴν Μητρόπολιν καλουμένην καὶ στρατόπεδον ἐποιήσαντο.
— Metropolis called and camp made
Ἀθηναῖοι δὲ ταῖς εἴκοσι ναυσὶν οὐ πολλῷ ὕστερον
Athenians and with-the twenty ships not much later
παραγίγνονται ἐς τὸν Ἀμπρακικὸν κόλπον βοηθοῦντες τοῖς
arrive in the Ambracian gulf coming-to-help the
Ἀργείοις, καὶ Δημοσθένης Μεσσηνίων μὲν ἔχων διακοσίους
Argives and Demosthenes of-Messenians indeed having two-hundred
ὁπλίτας, ἑξήκοντα δὲ τοξότας Ἀθηναίων.
hoplites sixty and archers of-Athenians

107.2 καὶ αἱ μὲν νῆες περὶ τὰς Ὄλπας τὸν λόφον ἐκ θαλάσσης
and the indeed ships about — Olpae the hill from sea
ἐφώρμουν· οἱ δὲ Ἀκαρνᾶνες καὶ Ἀμφιλόχων ὀλίγοι (οἱ γὰρ
blockaded the and Acarnanians and of-Amphilochians few the for
πλείους ὑπὸ Ἀμπρακιωτῶν βίᾳ κατείχοντο) ἐς τὸ Ἄργος
more by Ambraciots by-force were-held-down at — Argos
ἤδη ξυνεληλυθότες παρεσκευάζοντο ὡς μαχούμενοι τοῖς
already having-gathered prepared as going-to-fight the
ἐναντίοις, καὶ ἡγεμόνα τοῦ παντὸς ξυμμαχικοῦ αἱροῦνται
opponents and leader of-the whole allied-force choose
Δημοσθένη μετὰ τῶν σφετέρων στρατηγῶν.
Demosthenes with the their-own generals

107.3 ὁ δὲ προσαγαγὼν ἐγγὺς τῆς Ὄλπης ἐστρατοπεδεύσατο,
he and having-advanced near — Olpae encamped
χαράδρα δ' αὐτοὺς μεγάλη διεῖργεν. καὶ ἡμέρας μὲν
ravine and them great separated and days indeed
πέντε ἡσύχαζον, τῇ δ' ἕκτῃ ἐτάσσοντο ἀμφότεροι ὡς
five they-kept-quiet on-the and sixth drew-up both-sides as
ἐς μάχην. καὶ (μεῖζον γὰρ ἐγένετο καὶ περιέσχε τὸ τῶν
for battle and greater for was and outflanked the of-the
Πελοποννησίων στρατόπεδον) ὁ Δημοσθένης δείσας μὴ
Peloponnesians army — Demosthenes having-feared lest
κυκλωθῇ λοχίζει ἐς ὁδόν τινα κοίλην καὶ λοχμώδη
he-be-surrounded sets-in-ambush in road some sunken and bushy
ὁπλίτας καὶ ψιλοὺς ξυναμφοτέρους ἐς τετρακοσίους,
hoplites and light-troops both-together about four-hundred
ὅπως κατὰ τὸ ὑπερέχον τῶν ἐναντίων ἐν τῇ ξυνόδῳ
so-that at the overlapping-part of-the opponents in the clash
αὐτῇ ἐξαναστάντες οὗτοι κατὰ νώτου γίγνωνται.
itself having-risen-up these at back might-be

ἐπεὶ δὲ παρεσκεύαστο ἀμφοτέροις, ἦσαν ἐς χεῖρας, 107.4
when and it-had-been-prepared for-both they-went to hands
Δημοσθένης μὲν τὸ δεξιὸν κέρας ἔχων μετὰ Μεσσηνίων
Demosthenes indeed the right wing having with Messenians
καὶ Ἀθηναίων ὀλίγων, τὸ δὲ ἄλλο Ἀκαρνᾶνες ὡς
and Athenians few the and rest Acarnanians as
ἕκαστοι τεταγμένοι ἐπεῖχον, καὶ Ἀμφιλόχων οἱ παρόντες
each drawn-up held and of-Amphilochians those present
ἀκοντισταί, Πελοποννήσιοι δὲ καὶ Ἀμπρακιῶται ἀναμὶξ
javelin-men Peloponnesians and and Ambraciots mixed
τεταγμένοι πλὴν Μαντινέων· οὗτοι δὲ ἐν τῷ εὐωνύμῳ
drawn-up except Mantineans these and on the left
μᾶλλον καὶ οὐ τὸ κέρας ἄκρον ἔχοντες ἀθρόοι ἦσαν,
rather and not the wing end holding in-a-body were
ἀλλ' Εὐρύλοχος ἔσχατον εἶχε τὸ εὐώνυμον καὶ οἱ μετ'
but Eurylochus extremity held the left and those with
αὐτοῦ, κατὰ Μεσσηνίους καὶ Δημοσθένη.
him opposite Messenians and Demosthenes
ὡς δ' ἐν χερσὶν ἤδη ὄντες περιέσχον τῷ κέρᾳ οἱ 108.1
when and in hands already being outflanked with-the wing the
Πελοποννήσιοι καὶ ἐκυκλοῦντο τὸ δεξιὸν τῶν ἐναντίων,
Peloponnesians and were-encircling the right of-the opponents
οἱ ἐκ τῆς ἐνέδρας Ἀκαρνᾶνες ἐπιγενόμενοι αὐτοῖς κατὰ
those from the ambush Acarnanians having-come-up on-them from
νώτου προσπίπτουσί τε καὶ τρέπουσιν, ὥστε μήτε ἐς
nor the their-own experience to-use the for light-armed
ἑκατέρωθεν βάλλοντες εἶργον, καὶ ἅμα ἐκεῖνοι
from-both-sides shooting kept-them-off and at-the-same-time those
οὐκ ἀντεπῇσαν, ἀλλ' ἡσύχαζον· τοὺς δὲ ψιλούς,
not advanced-against-them but kept-quiet the and light-armed
ᾗ μάλιστα αὐτοῖς ἐπιθέοντες προσκέοιντο, ἔτρεπον,
where most them running-at they-pressed they-routed
καὶ οἳ ὑποστρέφοντες ἠμύνοντο, ἄνθρωποι κούφως τε
and they turning-round warded-off men lightly both
ἐσκευασμένοι καὶ προλαμβάνοντες ῥᾳδίως τῆς φυγῆς χωρίων
equipped and getting-a-start easily in-the flight of-places
τε χαλεπότητι καὶ ὑπὸ τῆς πρὶν ἐρημίας τραχέων ὄντων,
both by-difficulty and by the former desolation rough being
ἐν οἷς οἱ Λακεδαιμόνιοι οὐκ ἐδύναντο διώκειν ὅπλα ἔχοντες.
in which the Lacedaemonians not could to-pursue arms having
χρόνον μὲν οὖν τινὰ ὀλίγον οὕτω πρὸς ἀλλήλους 34.1
time indeed then some short thus with one-another
ἠκροβολίσαντο· τῶν δὲ Λακεδαιμονίων οὐκέτι ὀξέως
they-skirmished the and Lacedaemonians no-longer sharply
ἐπεκθεῖν ᾗ προσπίπτοιεν δυναμένων, γνόντες αὐτοὺς
to-run-out where they-fell-on being-able having-perceived them
οἱ ψιλοὶ βραδυτέρους ἤδη ὄντας τῷ ἀμύνασθαι,
the light-armed slower now being in-the to-ward-off
καὶ αὐτοὶ τῇ τε ὄψει τοῦ θαρσεῖν τὸ πλεῖστον
and themselves by-the both sight of-the to-be-bold the most

εἰληφότες πολλαπλάσιοι φαινόμενοι καὶ ξυνειθισμένοι
having-taken many-times-more appearing and having-grown-used
μᾶλλον μηκέτι δεινοὺς αὐτοὺς ὁμοίως σφίσι φαίνεσθαι,
more no-longer terrible them alike to-them to-appear
ὅτι οὐκ εὐθὺς ἄξια τῆς προσδοκίας ἐπεπόνθεσαν, ὥσπερ
because not at-once worthy of-the expectation they-had-suffered as
ὅτε πρῶτον ἀπέβαινον τῇ γνώμῃ δεδουλωμένοι ὡς ἐπὶ
when first they-landed in-the mind enslaved as against
Λακεδαιμονίους, καταφρονήσαντες καὶ ἐμβοήσαντες ἁθρόοι
Lacedaemonians having-despised-them and having-raised-a-shout in-a-mass
ὥρμησαν ἐπ᾽ αὐτοὺς καὶ ἔβαλλον λίθοις τε καὶ τοξεύμασι
rushed against them and pelted with-stones both and arrows
καὶ ἀκοντίοις, ὡς ἕκαστός τι πρόχειρον εἶχεν.
and javelins as each something at-hand had
34.2 γενομένης δὲ τῆς βοῆς ἅμα τῇ ἐπιδρομῇ ἔκπληξίς τε
having-arisen and the shout together-with the charge consternation both
ἐνέπεσεν ἀνθρώποις ἀήθεσι τοιαύτης μάχης καὶ ὁ κονιορτὸς
fell-on men unused of-such battle and the dust
τῆς ὕλης νεωστὶ κεκαυμένης ἐχώρει πολὺς ἄνω, ἄπορόν τε
of-the wood newly burnt went much upward impossible and
ἦν ἰδεῖν τὸ πρὸ αὑτοῦ ὑπὸ τῶν τοξευμάτων καὶ λίθων ἀπὸ
it-was to-see the before himself by the arrows and stones from
πολλῶν ἀνθρώπων μετὰ τοῦ κονιορτοῦ ἅμα φερομένων.
many men with the dust at-once being-carried
34.3 τό τε ἔργον ἐνταῦθα χαλεπὸν τοῖς Λακεδαιμονίοις
the and action here difficult for-the Lacedaemonians
καθίστατο· οὔτε γὰρ οἱ πῖλοι ἔστεγον τὰ τοξεύματα,
became neither for the felt-caps kept-out the arrows
δοράτιά τε ἐναπεκέκλαστο βαλλομένων, εἶχόν τε οὐδὲν
spear-points and had-broken-off-in-them as-they-were-hit had and nothing
σφίσιν αὐτοῖς χρήσασθαι ἀποκεκλημένοι μὲν τῇ ὄψει
for-them selves to-use shut-out indeed by-the sight

τοῦ προορᾶν, ὑπὸ δὲ τῆς μείζονος βοῆς τῶν πολεμίων
from-the to-see-ahead by and the louder shouting of-the enemy
τὰ ἐν αὐτοῖς παραγγελλόμενα οὐκ ἐσακούοντες, κινδύνου
the among them orders not hearing danger
τε πανταχόθεν περιεστῶτος καὶ οὐκ ἔχοντες ἐλπίδα καθ'
and from-all-sides surrounding and not having hope by
ὅτι χρὴ ἀμυνομένους σωθῆναι.
which it-was-necessary warding-off to-be-saved

τέλος δὲ τραυματιζομένων ἤδη πολλῶν διὰ τὸ αἰεὶ 35.1
at-last and being-wounded now many because-of the always
ἐν τῷ αὐτῷ ἀναστρέφεσθαι, ξυγκλῄσαντες ἐχώρησαν ἐς
in the same-place to-wheel-about having-closed-ranks they-went to
τὸ ἔσχατον ἔρυμα τῆς νήσου, ὃ οὐ πολὺ ἀπεῖχε, καὶ
the last fort of-the island which not far was-distant and
τοὺς ἑαυτῶν φύλακας.
the their-own guards

ὡς δὲ ἐνέδοσαν, ἐνταῦθα ἤδη πολλῷ ἔτι πλέονι βοῇ 35.2
when and they-gave-way here now with-much still louder shouting
τεθαρσηκότες οἱ ψιλοὶ ἐπέκειντο, καὶ τῶν Λακεδαιμονίων
emboldened the light-armed pressed and of-the Lacedaemonians
ὅσοι μὲν ὑποχωροῦντες ἐγκατελαμβάνοντο, ἀπέθνῃσκον,
as-many-as indeed withdrawing were-caught died
οἱ δὲ πολλοὶ διαφυγόντες ἐς τὸ ἔρυμα μετὰ τῶν ταύτῃ
the and most having-escaped into the fort with the there
φυλάκων ἐτάξαντο παρὰ πᾶν ὡς ἀμυνούμενοι ᾗπερ
guards formed-up along every-part as going-to-defend-it where-exactly
ἦν ἐπίμαχον.
was assailable

35.3 καὶ οἱ Ἀθηναῖοι ἐπισπόμενοι περίοδον μὲν αὐτῶν καὶ
and the Athenians having-followed a-going-round indeed of-them and
κύκλωσιν χωρίου ἰσχύι οὐκ εἶχον, προσιόντες δὲ ἐξ
encircling by-the-place's strength not they-had approaching and from
ἐναντίας ὥσασθαι ἐπειρῶντο.
opposite to-push-back they-tried

35.4 καὶ χρόνον μὲν πολὺν καὶ τῆς ἡμέρας τὸ πλεῖστον
and time indeed long and of-the day the most
ταλαιπωρούμενοι ἀμφότεροι ὑπό τε τῆς μάχης καὶ δίψης
toiling both by both the battle and thirst
καὶ ἡλίου ἀντεῖχον, πειρώμενοι οἱ μὲν ἐξελάσασθαι
and sun they-held-out trying the-ones indeed to-drive
ἐκ τοῦ μετεώρου, οἱ δὲ μὴ ἐνδοῦναι· ῥᾷον δ' οἱ
from the height the-others and not to-give-way more-easily but the
Λακεδαιμόνιοι ἠμύνοντο ἢ ἐν τῷ πρίν, οὐκ οὔσης σφῶν
Lacedaemonians warded-off than in the before not being their
τῆς κυκλώσεως ἐς τὰ πλάγια.
the encirclement on the flanks

36.1 ἐπειδὴ δὲ ἀπέραντον ἦν, προσελθὼν ὁ τῶν Μεσσηνίων
when and endless it-was having-come-forward the of-the Messenians
στρατηγὸς Κλέωνι καὶ Δημοσθένει ἄλλως ἔφη πονεῖν
general to-Cleon and Demosthenes in-vain he-said to-toil
σφᾶς· εἰ δὲ βούλονται ἑαυτῷ δοῦναι τῶν τοξοτῶν μέρος
them if but they-wish to-himself to-give of-the archers part
τι καὶ τῶν ψιλῶν περιιέναι κατὰ νώτου αὐτοῖς ὁδῷ
some and of-the light-armed to-go-round on back them by-a-path
ᾗ ἂν αὐτὸς εὕρῃ, δοκεῖν βιάσεσθαι τὴν ἔφοδον.
where — he-himself may-find to-think to-force the approach

36.2 λαβὼν δὲ ἃ ᾐτήσατο, ἐκ τοῦ ἀφανοῦς ὁρμήσας ὥστε
having-taken and what he-asked from the unseen having-set-out so-as
μὴ ἰδεῖν ἐκείνους, κατὰ τὸ αἰεὶ παρεῖκον τοῦ κρημνώδους
not to-see those by the always yielding of-the cliff-like

τῆς νήσου προσβαίνων, καὶ ᾗ οἱ Λακεδαιμόνιοι χωρίου
of-the island approaching and where the Lacedaemonians in-the-place's
ἰσχύι πιστεύσαντες οὐκ ἐφύλασσον, χαλεπῶς τε καὶ μόλις
strength trusting not were-guarding with-difficulty both and scarcely
περιελθὼν ἔλαθε, καὶ ἐπὶ τοῦ μετεώρου ἐξαπίνης
having-gone-round escaped-notice and on the height suddenly
ἀναφανεὶς κατὰ νώτου αὐτῶν τοὺς μὲν τῷ ἀδοκήτῳ
appearing on back of-them the-ones indeed by-the unexpected
ἐξέπληξε, τοὺς δὲ ἃ προσεδέχοντο ἰδόντας πολλῷ
he-struck-with-panic the-others and what they-expected seeing much
μᾶλλον ἐπέρρωσεν.
more encouraged
καὶ οἱ Λακεδαιμόνιοι βαλλόμενοί τε ἀμφοτέρωθεν ἤδη καὶ 36.3
and the Lacedaemonians being-shot both from-both-sides now and
γιγνόμενοι ἐν τῷ αὐτῷ ξυμπτώματι, ὡς μικρὸν μεγάλῳ
coming-to-be in the same mishap as small with-great
εἰκάσαι, τῷ ἐν Θερμοπύλαις, ἐκεῖνοί τε γὰρ τῇ ἀτραπῷ
to-compare with-the at Thermopylae those both for by-the path
περιελθόντων τῶν Περσῶν διεφθάρησαν, οὗτοί τε ἀμφίβολοι
having-gone-round the Persians were-destroyed these both double-exposed
ἤδη ὄντες οὐκέτι ἀντεῖχον, ἀλλὰ πολλοῖς τε ὀλίγοι
now being no-longer held-out but with-many both few
μαχόμενοι καὶ ἀσθενείᾳ σωμάτων διὰ τὴν σιτοδείαν
fighting and from-weakness of-bodies because-of the want-of-food
ὑπεχώρουν, καὶ οἱ Ἀθηναῖοι ἐκράτουν ἤδη τῶν ἐφόδων.
gave-way and the Athenians mastered now the approaches
γνοὺς δὲ ὁ Κλέων καὶ ὁ Δημοσθένης, εἰ καὶ ὁποσονοῦν 37.1
having-realized and — Cleon and — Demosthenes if even ever-so-little
μᾶλλον ἐνδώσουσι, διαφθαρησομένους αὐτοὺς ὑπὸ τῆς
more they-will-give-way going-to-be-destroyed them by the
σφετέρας στρατιᾶς, ἔπαυσαν τὴν μάχην καὶ τοὺς ἑαυτῶν
their-own army stopped the battle and the their-own

ἀπεῖρξαν, βουλόμενοι ἀγαγεῖν αὐτοὺς Ἀθηναίοις ζῶντας, εἴ
held-back wishing to-bring them to-Athenians alive if
πως τοῦ κηρύγματος ἀκούσαντες ἐπικλασθεῖεν τῇ γνώμῃ
somehow the proclamation having-heard they-might-bend in-the resolve
τὰ ὅπλα παραδοῦναι καὶ ἡσσηθεῖεν τοῦ παρόντος δεινοῦ.
the arms to-hand-over and might-yield to-the present danger
37.2 ἐκήρυξάν τε, εἰ βούλονται, τὰ ὅπλα παραδοῦναι καὶ σφᾶς
they-proclaimed and if they-wish the arms to-hand-over and them
αὐτοὺς Ἀθηναίοις ὥστε βουλεῦσαι ὅτι ἂν ἐκείνοις δοκῇ.
selves to-Athenians so-as to-decide whatever — to-those seems-good
38.1 οἱ δὲ ἀκούσαντες παρῆκαν τὰς ἀσπίδας οἱ πλεῖστοι
they and having-heard lowered the shields the most
καὶ τὰς χεῖρας ἀνέσεισαν, δηλοῦντες προσίεσθαι τὰ
and the hands waved showing to-accept the
κεκηρυγμένα. μετὰ δὲ ταῦτα γενομένης τῆς ἀνοκωχῆς
things-proclaimed after and these having-come-about the truce
ξυνῆλθον ἐς λόγους ὅ τε Κλέων καὶ ὁ Δημοσθένης καὶ
came-together to talks — both Cleon and — Demosthenes and
ἐκείνων Στύφων ὁ Φάρακος, τῶν πρότερον ἀρχόντων
of-them Styphon the son-of-Pharax of-the former commanders
τοῦ μὲν πρώτου τεθνηκότος Ἐπιτάδου, τοῦ δὲ μετ᾽ αὐτὸν
the indeed first having-died Epitadas the and after him
Ἱππαγρέτου ἐφῃρημένου ἐν τοῖς νεκροῖς ἔτι ζῶντος
Hippagretas having-been-chosen among the dead still alive
κειμένου ὡς τεθνεῶτος, αὐτὸς τρίτος ἐφῃρημένος ἄρχειν
lying as dead himself third having-been-chosen to-command
κατὰ νόμον, εἴ τι ἐκεῖνοι πάσχοιεν.
by law if anything those should-suffer

ἔλεγε δὲ ὁ Στύφων καὶ οἱ μετ᾽ αὐτοῦ ὅτι βούλονται 38.2
said and — Styphon and those with him that they-wish
διακηρυκεύσασθαι πρὸς τοὺς ἐν τῇ ἠπείρῳ Λακεδαιμονίους
to-send-a-herald to those on the mainland Lacedaemonians
ὅτι χρὴ σφᾶς ποιεῖν.
what it-is-necessary them to-do
καὶ ἐκείνων μὲν οὐδένα ἀφέντων, αὐτῶν δὲ τῶν Ἀθηναίων 38.3
and they indeed no-one letting-go themselves and the Athenians
καλούντων ἐκ τῆς ἠπείρου κήρυκας καὶ γενομένων
calling from the mainland heralds and having-come-about
ἐπερωτήσεων δὶς ἢ τρίς, ὁ τελευταῖος διαπλεύσας αὐτοῖς
questionings twice or thrice the last having-sailed-across to-them
ἀπὸ τῶν ἐκ τῆς ἠπείρου Λακεδαιμονίων ἀνὴρ ἀπήγγειλεν
from those from the mainland Lacedaemonians a-man announced
ὅτι ‘Λακεδαιμόνιοι κελεύουσιν ὑμᾶς αὐτοὺς περὶ ὑμῶν αὐτῶν
that Lacedaemonians order you yourselves about you yourselves
βουλεύεσθαι μηδὲν αἰσχρὸν ποιοῦντας.’ οἱ δὲ καθ᾽ ἑαυτοὺς
to-deliberate nothing shameful doing they and by themselves
βουλευσάμενοι τὰ ὅπλα παρέδοσαν καὶ σφᾶς αὐτούς.
having-deliberated the arms handed-over and them selves
καὶ ταύτην μὲν τὴν ἡμέραν καὶ τὴν ἐπιοῦσαν νύκτα 38.4
and this indeed the day and the following night
ἐν φυλακῇ εἶχον αὐτοὺς οἱ Ἀθηναῖοι· τῇ δ᾽ ὑστεραίᾳ
in custody held them the Athenians on-the and next-day
οἱ μὲν Ἀθηναῖοι τροπαῖον στήσαντες ἐν τῇ νήσῳ
the indeed Athenians a-trophy having-set-up on the island
τἆλλα διεσκευάζοντο ὡς ἐς πλοῦν, καὶ τοὺς ἄνδρας τοῖς
the-rest prepared as for a-voyage and the men to-the
τριηράρχοις διεδίδοσαν ἐς φυλακήν, οἱ δὲ Λακεδαιμόνιοι
trierarchs distributed for custody the and Lacedaemonians
κήρυκα πέμψαντες τοὺς νεκροὺς διεκομίσαντο.
a-herald having-sent the dead carried-across

38.5 ἀπέθανον δ᾽ ἐν τῇ νήσῳ καὶ ζῶντες ἐλήφθησαν τοσοίδε·
died and on the island and alive were-taken so-many
εἴκοσι μὲν ὁπλῖται διέβησαν καὶ τετρακόσιοι οἱ πάντες·
twenty indeed hoplites crossed and four-hundred the all
τούτων ζῶντες ἐκομίσθησαν ὀκτὼ ἀποδέοντες τριακόσιοι,
of-these alive were-brought eight less-than three-hundred
οἱ δὲ ἄλλοι ἀπέθανον. καὶ Σπαρτιᾶται τούτων ἦσαν τῶν
the and others died and Spartiates of-these were of-the
ζώντων περὶ εἴκοσι καὶ ἑκατόν. Ἀθηναίων δὲ οὐ πολλοὶ
living about twenty and a-hundred of-Athenians and not many
διεφθάρησαν· ἡ γὰρ μάχη οὐ σταδαία ἦν.
were-destroyed the for battle not a-pitched-one was

39.1 χρόνος δὲ ὁ ξύμπας ἐγένετο ὅσον οἱ ἄνδρες ἐν τῇ
time and the whole was as-long-as the men on the
νήσῳ ἐπολιορκήθησαν, ἀπὸ τῆς ναυμαχίας μέχρι τῆς ἐν
island were-besieged from the sea-battle until the on
τῇ νήσῳ μάχης, ἑβδομήκοντα ἡμέραι καὶ δύο.
the island battle seventy days and two

39.2 τούτων περὶ εἴκοσιν ἡμέρας, ἐν αἷς οἱ πρέσβεις περὶ
of-these about twenty days in which the envoys about
τῶν σπονδῶν ἀπῆσαν, ἐσιτοδοτοῦντο, τὰς δὲ ἄλλας τοῖς
the truce were-away they-were-fed-rations the and others by-those
ἐσπλέουσι λάθρᾳ διετρέφοντο. καὶ ἦν σῖτός τις ἐν τῇ
sailing-in secretly they-were-kept-alive and there-was grain some on the
νήσῳ καὶ ἄλλα βρώματα ἐγκατελήφθη· ὁ γὰρ ἄρχων
island and other foods were-found-left the for commander
Ἐπιτάδας ἐνδεεστέρως ἑκάστῳ παρεῖχεν ἢ πρὸς
Epitadas more-sparingly to-each gave than in-proportion-to
τὴν ἐξουσίαν.
the supply

οἱ μὲν δὴ Ἀθηναῖοι καὶ οἱ Πελοποννήσιοι ἀνεχώρησαν 39.3
the indeed then Athenians and the Peloponnesians withdrew
τῷ στρατῷ ἐκ τῆς Πύλου ἑκάτεροι ἐπ᾽ οἴκου, καὶ τοῦ
with-the army from — Pylos each to home and —
Κλέωνος καίπερ μανιώδης οὖσα ἡ ὑπόσχεσις ἀπέβη· ἐντὸς
Cleon's although mad being the promise came-out within
γὰρ εἴκοσιν ἡμερῶν ἤγαγε τοὺς ἄνδρας, ὥσπερ ὑπέστη.
for twenty days he-brought the men as he-undertook
παρὰ γνώμην τε δὴ μάλιστα τῶν κατὰ τὸν πόλεμον 40.1
contrary-to expectation both indeed most of-the in the war
τοῦτο τοῖς Ἕλλησιν ἐγένετο· τοὺς γὰρ Λακεδαιμονίους οὔτε
this to-the Greeks happened the for Lacedaemonians neither
λιμῷ οὔτ᾽ ἀνάγκῃ οὐδεμιᾷ ἠξίουν τὰ ὅπλα παραδοῦναι,
by-famine nor by-necessity any they-thought the arms to-hand-over
ἀλλὰ ἔχοντας καὶ μαχομένους ὡς ἐδύναντο ἀποθνήσκειν.
but keeping and fighting as they-could to-die
ἀπιστοῦντές τε μὴ εἶναι τοὺς παραδόντας τοῖς τεθνεῶσιν 40.2
disbelieving and not to-be those having-surrendered to-those having-died
ὁμοίους, καί τινος ἐρομένου ποτὲ ὕστερον τῶν Ἀθηναίων
alike and someone having-asked once later of-the Athenians'
ξυμμάχων δι᾽ ἀχθηδόνα ἕνα τῶν ἐκ τῆς νήσου αἰχμαλώτων
allies from vexation one of-those from the island prisoners
εἰ οἱ τεθνεῶτες αὐτῶν καλοὶ κἀγαθοί, ἀπεκρίνατο αὐτῷ
whether the dead of-them noble and-brave he-answered to-him
πολλοῦ ἂν ἄξιον εἶναι τὸν ἄτρακτον, λέγων τὸν οἰστόν,
much — worth to-be the spindle meaning the arrow
εἰ τοὺς ἀγαθοὺς διεγίγνωσκε, δήλωσιν ποιούμενος ὅτι ὁ
if the brave it-distinguished indication making that the
ἐντυγχάνων τοῖς τε λίθοις καὶ τοξεύμασι διεφθείρετο.
one-meeting the both stones and arrows was-killed

41.1 κομισθέντων δὲ τῶν ἀνδρῶν οἱ Ἀθηναῖοι ἐβούλευσαν
having-been-brought and the men the Athenians decided
δεσμοῖς μὲν αὐτοὺς φυλάσσειν μέχρι οὗ τι
in-bonds indeed them to-guard until when some-agreement
ξυμβῶσιν, ἢν δ' οἱ Πελοποννήσιοι πρὸ τούτου ἐς τὴν
they-reach if and the Peloponnesians before this into the
γῆν ἐσβάλωσιν, ἐξαγαγόντες ἀποκτεῖναι.
land should-invade having-brought-out to-kill-them

41.2 τῆς δὲ Πύλου φυλακὴν κατεστήσαντο, καὶ οἱ ἐκ τῆς
— and of-Pylos a-garrison they-established and the from —
Ναυπάκτου Μεσσήνιοι ὡς ἐς πατρίδα ταύτην (ἔστι γὰρ ἡ
Naupactus Messenians as to fatherland this is for —
Πύλος τῆς Μεσσηνίδος ποτὲ οὔσης γῆς) πέμψαντες σφῶν
Pylos of-the Messenian once being land having-sent of-them
αὐτῶν τοὺς ἐπιτηδειοτάτους ἐλῄζοντό τε τὴν Λακωνικὴν
selves the most-suitable plundered both — Laconia
καὶ πλεῖστα ἔβλαπτον ὁμόφωνοι ὄντες.
and most did-harm of-the-same-speech being

41.3 οἱ δὲ Λακεδαιμόνιοι ἀμαθεῖς ὄντες ἐν τῷ πρὶν χρόνῳ
the and Lacedaemonians unacquainted being in the former time
λῃστείας καὶ τοῦ τοιούτου πολέμου, τῶν τε Εἱλώτων
with-plundering and of-the such war the both Helots
αὐτομολούντων καὶ φοβούμενοι μὴ καὶ ἐπὶ μακρότερον
deserting and fearing lest also for longer
σφίσι τι νεωτερισθῇ τῶν κατὰ τὴν χώραν, οὐ ῥᾳδίως
for-them some revolution-occur of-things in the country not easily
ἔφερον, ἀλλὰ καίπερ οὐ βουλόμενοι ἔνδηλοι εἶναι τοῖς
bore-it but although not wishing evident to-be to-the
Ἀθηναίοις ἐπρεσβεύοντο παρ' αὐτοὺς καὶ ἐπειρῶντο τήν
Athenians sent-envoys to them and tried —
τε Πύλον καὶ τοὺς ἄνδρας κομίζεσθαι.
both Pylos and the men to-recover

οἱ δὲ μειζόνων τε ὠρέγοντο καὶ πολλάκις φοιτώντων 41.4
they and for-more both reached and often coming
αὐτοὺς ἀπράκτους ἀπέπεμπον. ταῦτα μὲν τὰ περὶ Πύλον
them unsuccessful sent-away these indeed the at Pylos
γενόμενα.
happenings

VI · SOLYGEIA AND METHANA

The same summer Nicias sails against Corinth with eighty ships, two thousand hoplites, and cavalry. He sails by night and lands at dawn near Solygeia. The Corinthians, warned from Argos, are waiting. In a hard battle the Athenian cavalry turns the fight, and the Corinthians lose their general Lycophron and fall back. When reinforcements appear from Cenchreae and the city, the Athenians withdraw to their ships and recover two missing dead under truce. They ravage Crommyon and the coast of Epidaurus, then wall off the peninsula of Methana and leave a garrison there to raid the country around it.

τοῦ δ' αὐτοῦ θέρους μετὰ ταῦτα εὐθὺς Ἀθηναῖοι ἐς τὴν 42.1
in-the and same summer after these-things at-once Athenians into —
Κορινθίαν ἐστράτευσαν ναυσὶν ὀγδοήκοντα καὶ δισχιλίοις
Corinthian-land marched with-ships eighty and two-thousand
ὁπλίταις ἑαυτῶν καὶ ἐν ἱππαγωγοῖς ναυσὶ διακοσίοις
hoplites their-own and in horse-transports ships two-hundred
ἱππεῦσιν· ἠκολούθουν δὲ καὶ τῶν ξυμμάχων Μιλήσιοι
cavalry followed and also of-the allies Milesians
καὶ Ἄνδριοι καὶ Καρύστιοι, ἐστρατήγει δὲ Νικίας ὁ
and Andrians and Carystians commanded and Nicias the
Νικηράτου τρίτος αὐτός.
son-of-Niceratus third himself

42.2 πλέοντες δὲ ἅμα ἕῳ ἔσχον μεταξὺ Χερσονήσου τε καὶ
sailing and together-with dawn they-put-in between Chersonesus both and
Ῥείτου ἐς τὸν αἰγιαλὸν τοῦ χωρίου ὑπὲρ οὗ ὁ Σολύγειος
Rheitus on the beach of-the place above which the Solygeian
λόφος ἐστίν, ἐφ' ὃν Δωριῆς τὸ πάλαι ἱδρυθέντες τοῖς ἐν τῇ
hill is on which Dorians the of-old having-settled the in the
πόλει Κορινθίοις ἐπολέμουν οὖσιν Αἰολεῦσιν· καὶ κώμη νῦν ἐπ'
city Corinthians made-war-on being Aeolians and a-village now on
αὐτοῦ Σολύγεια καλουμένη ἐστίν. ἀπὸ δὲ τοῦ αἰγιαλοῦ τούτου
it Solygeia called is from and the beach this
ἔνθα αἱ νῆες κατέσχον ἡ μὲν κώμη αὕτη δώδεκα σταδίους
where the ships put-in the indeed village this twelve stades
ἀπέχει, ἡ δὲ Κορινθίων πόλις ἑξήκοντα, ὁ δὲ Ἰσθμὸς εἴκοσι.
is-distant the and of-Corinthians city sixty the and Isthmus twenty
42.3 Κορίνθιοι δὲ προπυθόμενοι ἐξ Ἄργους ὅτι ἡ στρατιὰ
Corinthians and having-learned-beforehand from Argos that the army
ἥξει τῶν Ἀθηναίων, ἐκ πλείονος ἐβοήθησαν ἐς Ἰσθμὸν
will-come of-the Athenians from longer-before came-to-help to Isthmus
πάντες πλὴν τῶν ἔξω Ἰσθμοῦ· καὶ ἐν Ἀμπρακίᾳ καὶ ἐν
all except those outside Isthmus and in Ambracia and in
Λευκάδι ἀπῆσαν αὐτῶν πεντακόσιοι φρουροί· οἱ δ' ἄλλοι
Leucas were-away of-them five-hundred as-guards the and others
πανδημεὶ ἐπετήρουν τοὺς Ἀθηναίους οἳ κατασχήσουσιν.
in-full-force watched-for the Athenians where they-would-put-in
42.4 ὡς δὲ αὐτοὺς ἔλαθον νυκτὸς καταπλεύσαντες καὶ τὰ
when and them they-escaped by-night having-sailed-down and the
σημεῖα αὐτοῖς ἤρθη, καταλιπόντες τοὺς ἡμίσεις αὐτῶν
signals to-them were-raised having-left the half of-them
ἐν Κεγχρειᾷ, ἦν ἄρα οἱ Ἀθηναῖοι ἐπὶ τὸν Κρομμυῶνα
at Cenchreae if after-all the Athenians against — Crommyon
ἴωσιν, ἐβοήθουν κατὰ τάχος.
should-go they-came-to-help in haste

καὶ Βάττος μὲν ὁ ἕτερος τῶν στρατηγῶν (δύο γὰρ 43.1
and Battus indeed the one of-the generals two for
ἦσαν ἐν τῇ μάχῃ οἱ παρόντες) λαβὼν λόχον ἦλθεν
were in the battle the present having-taken a-company went
ἐπὶ τὴν Σολύγειαν κώμην φυλάξων ἀτείχιστον οὖσαν,
to — Solygeia village to-guard unwalled being
Λυκόφρων δὲ τοῖς ἄλλοις ξυνέβαλεν.
Lycophron and with-the others engaged
καὶ πρῶτα μὲν τῷ δεξιῷ κέρᾳ τῶν Ἀθηναίων εὐθὺς 43.2
and first indeed the right wing of-the Athenians at-once
ἀποβεβηκότι πρὸ τῆς Χερσονήσου οἱ Κορίνθιοι ἐπέκειντο,
having-landed before — Chersonesus the Corinthians attacked
ἔπειτα δὲ καὶ τῷ ἄλλῳ στρατεύματι. καὶ ἦν ἡ μάχη
then and also the other army and was the battle
καρτερὰ καὶ ἐν χερσὶ πᾶσα.
stubborn and at hands all
καὶ τὸ μὲν δεξιὸν κέρας τῶν Ἀθηναίων καὶ Καρυστίων 43.3
and the indeed right wing of-the Athenians and Carystians
(οὗτοι γὰρ παρατεταγμένοι ἦσαν ἔσχατοι) ἐδέξαντό τε τοὺς
these for posted were last received both the
Κορινθίους καὶ ἐώσαντο μόλις· οἱ δὲ ὑποχωρήσαντες πρὸς
Corinthians and pushed-back with-difficulty they and having-withdrawn to
αἱμασιάν (ἦν γὰρ τὸ χωρίον πρόσαντες πᾶν) βάλλοντες τοῖς
a-stone-wall was for the place uphill all pelting with-the
λίθοις καθύπερθεν ὄντες καὶ παιανίσαντες ἐπῆσαν αὖθις,
stones above being and having-raised-the-paean advanced again
δεξαμένων δὲ τῶν Ἀθηναίων ἐν χερσὶν ἦν πάλιν ἡ μάχη.
having-received and the Athenians at hands was again the battle
λόχος δέ τις τῶν Κορινθίων ἐπιβοηθήσας τῷ εὐωνύμῳ 43.4
company and a of-the Corinthians having-come-to-help to-the left
κέρᾳ ἑαυτῶν ἔτρεψε τῶν Ἀθηναίων τὸ δεξιὸν κέρας καὶ
wing their-own routed of-the Athenians the right wing and

ἐπεδίωξεν ἐς τὴν θάλασσαν· πάλιν δὲ ἀπὸ τῶν νεῶν
pursued to the sea back and from the ships
ἀνέστρεψαν οἵ τε Ἀθηναῖοι καὶ οἱ Καρύστιοι.
turned-round the both Athenians and the Carystians
43.5 τὸ δὲ ἄλλο στρατόπεδον ἀμφοτέρωθεν ἐμάχετο ξυνεχῶς,
the and other army on-both-sides fought continuously
μάλιστα δὲ τὸ δεξιὸν κέρας τῶν Κορινθίων, ἐφ' ᾧ ὁ
most and the right wing of-the Corinthians on which —
Λυκόφρων ὢν κατὰ τὸ εὐώνυμον τῶν Ἀθηναίων ἠμύνετο·
Lycophron being against the left of-the Athenians defended
ἤλπιζον γὰρ αὐτοὺς ἐπὶ τὴν Σολύγειαν κώμην πειράσειν.
they-expected for them at — Solygeia village to-make-an-attempt
44.1 χρόνον μὲν οὖν πολὺν ἀντεῖχον οὐκ ἐνδιδόντες ἀλλήλοις·
time indeed then long they-held-out not giving-way to-one-another
ἔπειτα (ἦσαν γὰρ τοῖς Ἀθηναίοις οἱ ἱππῆς ὠφέλιμοι
then were for to-the Athenians the cavalry useful
ξυμμαχόμενοι, τῶν ἑτέρων οὐκ ἐχόντων ἵππους) ἐτράποντο
fighting-with-them the others not having horses were-routed
οἱ Κορίνθιοι καὶ ὑπεχώρησαν πρὸς τὸν λόφον καὶ ἔθεντο
the Corinthians and withdrew to the hill and grounded
τὰ ὅπλα καὶ οὐκέτι κατέβαινον, ἀλλ' ἡσύχαζον.
the arms and no-longer came-down but kept-quiet
44.2 ἐν δὲ τῇ τροπῇ ταύτῃ κατὰ τὸ δεξιὸν κέρας οἱ πλεῖστοί
in and the rout this on the right wing the most
τε αὐτῶν ἀπέθανον καὶ Λυκόφρων ὁ στρατηγός. ἡ
both of-them died and Lycophron the general the
δὲ ἄλλη στρατιὰ τούτῳ τῷ τρόπῳ οὐ κατὰ δίωξιν
and other army in-this the way not by pursuit
πολλὴν οὐδὲ ταχείας φυγῆς γενομένης, ἐπεὶ ἐβιάσθη,
great nor rapid flight having-happened when it-was-forced
ἐπαναχωρήσασα πρὸς τὰ μετέωρα ἱδρύθη.
having-withdrawn to the heights settled

οἱ δὲ Ἀθηναῖοι, ὡς οὐκέτι αὐτοῖς ἐπῇσαν ἐς μάχην, 44.3
the and Athenians as no-longer them they-came-against to battle
τούς τε νεκροὺς ἐσκύλευον καὶ τοὺς ἑαυτῶν ἀνῃροῦντο,
the both dead stripped and the their-own took-up
τροπαῖόν τε εὐθέως ἔστησαν.
a-trophy and at-once set-up
τοῖς δ' ἡμίσεσι τῶν Κορινθίων, οἳ ἐν τῇ Κεγχρειᾷ 44.4
to-the and half of-the Corinthians who at — Cenchreae
ἐκάθηντο φύλακες μὴ ἐπὶ τὸν Κρομμυῶνα πλεύσωσι,
were-stationed as-guards lest against — Crommyon they-sail
τούτοις οὐ κατάδηλος ἡ μάχη ἦν ὑπὸ τοῦ ὄρους τοῦ
to-these not visible the battle was by the mountain —
Ὀνείου· κονιορτὸν δὲ ὡς εἶδον καὶ ἔγνωσαν, ἐβοήθουν
Oneion the-dust but when they-saw and recognized came-to-help
εὐθύς. ἐβοήθησαν δὲ καὶ οἱ ἐκ τῆς πόλεως πρεσβύτεροι
at-once came-to-help and also the from the city older-men
τῶν Κορινθίων αἰσθόμενοι τὸ γεγενημένον.
of-the Corinthians having-perceived the thing-having-happened
ἰδόντες δὲ οἱ Ἀθηναῖοι ξύμπαντας αὐτοὺς ἐπιόντας 44.5
having-seen and the Athenians all them advancing
καὶ νομίσαντες τῶν ἐγγὺς ἀστυγειτόνων Πελοποννησίων
and thinking of-the near neighboring Peloponnesians
βοήθειαν ἐπιέναι, ἀνεχώρουν κατὰ τάχος ἐπὶ τὰς ναῦς,
help to-be-coming withdrew in haste to the ships
ἔχοντες τὰ σκυλεύματα καὶ τοὺς ἑαυτῶν νεκροὺς πλὴν
having the spoils and the their-own dead except
δυοῖν, οὓς ἐγκατέλιπον οὐ δυνάμενοι εὑρεῖν.
two whom they-left-behind not being-able to-find
καὶ ἀναβάντες ἐπὶ τὰς ναῦς ἐπεραιώθησαν ἐς τὰς 44.6
and having-embarked on the ships crossed to the
ἐπικειμένας νήσους, ἐκ δ' αὐτῶν ἐπικηρυκευσάμενοι τοὺς
lying-off islands from and them having-sent-a-herald the

νεκροὺς οὓς ἐγκατέλιπον ὑποσπόνδους ἀνείλοντο. ἀπέθανον
dead whom they-left-behind under-truce took-up died
δὲ Κορινθίων μὲν ἐν τῇ μάχῃ δώδεκα καὶ διακόσιοι,
and of-Corinthians indeed in the battle twelve and two-hundred
Ἀθηναίων δὲ ὀλίγῳ ἐλάσσους πεντήκοντα.
of-Athenians and a-little fewer-than fifty
45.1 ἄραντες δὲ ἐκ τῶν νήσων οἱ Ἀθηναῖοι ἔπλευσαν
having-set-out and from the islands the Athenians sailed
αὐθημερὸν ἐς Κρομμυῶνα τῆς Κορινθίας· ἀπέχει δὲ τῆς
same-day to Crommyon — of-Corinthian-land is-distant and from-the
πόλεως εἴκοσι καὶ ἑκατὸν σταδίους. καὶ καθορμισάμενοι
city twenty and a-hundred stades and having-anchored
τήν τε γῆν ἐδῄωσαν καὶ τὴν νύκτα ηὐλίσαντο.
the both land ravaged and the night bivouacked
45.2 τῇ δ' ὑστεραίᾳ παραπλεύσαντες ἐς τὴν Ἐπιδαυρίαν
on-the and next-day having-sailed-along to — Epidaurian-land
πρῶτον καὶ ἀπόβασίν τινα ποιησάμενοι ἀφίκοντο ἐς Μέθανα
first and landing a having-made arrived at Methana
τὴν μεταξὺ Ἐπιδαύρου καὶ Τροιζῆνος, καὶ ἀπολαβόντες
the between Epidaurus and Troezen and having-cut-off
τὸν τῆς χερσονήσου ἰσθμὸν ἐτείχισαν, καὶ φρούριον
the of-the peninsula isthmus walled and a-fort
καταστησάμενοι ἐλῄστευον τὸν ἔπειτα χρόνον τήν τε
having-established plundered the following time the both
Τροιζηνίαν γῆν καὶ Ἁλιάδα καὶ Ἐπιδαυρίαν. ταῖς δὲ ναυσίν,
Troezenian land and Halian and Epidaurian with-the and ships
ἐπειδὴ ἐξετείχισαν τὸ χωρίον, ἀπέπλευσαν ἐπ' οἴκου.
when they-had-walled-off the place sailed-off to home

At Corcyra Eurymedon and Sophocles storm the exiles' fort on Mount Istone. The exiles surrender on terms: they will be judged at Athens, and the truce ends if any of them tries to escape. The popular leaders fear that Athens will spare them. They trick a few into an escape, and the generals, unwilling to see others win credit for bringing them to Athens, hand the prisoners over. The Corcyraeans lead them out in batches between rows of hoplites, who strike them down. The rest, shut in a building, kill themselves or are shot through the roof. The women are enslaved, and the faction ends.

κατὰ δὲ τὸν αὐτὸν χρόνον, καθ' ὃν ταῦτα ἐγίγνετο, καὶ 46.1
about and the same time in which these-things were-happening also
Εὐρυμέδων καὶ Σοφοκλῆς, ἐπειδὴ ἐκ τῆς Πύλου ἀπῆραν
Eurymedon and Sophocles when from — Pylos they-set-out
ἐς τὴν Σικελίαν ναυσὶν Ἀθηναίων, ἀφικόμενοι ἐς Κέρκυραν
for — Sicily with-ships of-Athenians having-arrived at Corcyra
ἐστράτευσαν μετὰ τῶν ἐκ τῆς πόλεως ἐπὶ τοὺς ἐν
marched with those from the city against those on
τῷ ὄρει τῆς Ἰστώνης Κερκυραίων καθιδρυμένους, οἳ
the mountain — of-Istone of-Corcyraeans established who
τότε μετὰ τὴν στάσιν διαβάντες ἐκράτουν τε τῆς γῆς
then after the faction having-crossed controlled both the land
καὶ πολλὰ ἔβλαπτον.
and much did-harm
προσβαλόντες δὲ τὸ μὲν τείχισμα εἷλον, οἱ δὲ ἄνδρες 46.2
having-attacked and the indeed fort they-took the and men
καταπεφευγότες ἁθρόοι πρὸς μετέωρόν τι ξυνέβησαν ὥστε
having-fled in-a-body to height a agreed so-that
τοὺς μὲν ἐπικούρους παραδοῦναι, περὶ δὲ σφῶν τὰ ὅπλα
the indeed auxiliaries to-hand-over about and themselves the arms
παραδόντων τὸν Ἀθηναίων δῆμον διαγνῶναι.
having-surrendered the of-Athenians people to-decide

46.3 καὶ αὐτοὺς ἐς τὴν νῆσον οἱ στρατηγοὶ τὴν Πτυχίαν
and them to the island the generals — Ptychia
ἐς φυλακὴν διεκόμισαν ὑποσπόνδους, μέχρι οὗ Ἀθήναζε
for custody conveyed under-truce until when to-Athens
πεμφθῶσιν, ὥστ', ἐάν τις ἁλῷ ἀποδιδράσκων, ἅπασι
they-be-sent so-that if anyone be-caught running-away for-all
λελύσθαι τὰς σπονδάς.
to-have-been-broken the truce

46.4 οἱ δὲ τοῦ δήμου προστάται τῶν Κερκυραίων, δεδιότες μὴ
the and of-the people leaders of-the Corcyraeans fearing lest
οἱ Ἀθηναῖοι τοὺς ἐλθόντας οὐκ ἀποκτείνωσι, μηχανῶνται
the Athenians those coming not may-kill contrive
τοιόνδε τι·
such something

46.5 τῶν ἐν τῇ νήσῳ πείθουσί τινας ὀλίγους, ὑποπέμψαντες
of-those on the island they-persuade some few having-sent-secretly
φίλους καὶ διδάξαντες ὡς κατ' εὔνοιαν δὴ λέγειν
friends and having-instructed as in goodwill indeed to-say
ὅτι κράτιστον αὐτοῖς εἴη ὡς τάχιστα ἀποδρᾶναι,
that best for-them it-would-be as fast-as-possible to-run-away
πλοῖον δέ τι αὐτοὶ ἑτοιμάσειν· μέλλειν γὰρ δὴ τοὺς
a-boat and a they-themselves to-get-ready to-be-about for indeed the
στρατηγοὺς τῶν Ἀθηναίων παραδώσειν αὐτοὺς τῷ δήμῳ
generals of-the Athenians to-hand-over them to-the people
τῶν Κερκυραίων.
of-the Corcyraeans

47.1 ὡς δὲ ἔπεισαν, καὶ μηχανησαμένων τὸ πλοῖον
when and they-persuaded-them and having-contrived the boat
ἐκπλέοντες ἐλήφθησαν, ἐλέλυντό τε αἱ σπονδαὶ καὶ τοῖς
sailing-out they-were-caught had-been-broken and the truce and to-the
Κερκυραίοις παρεδίδοντο οἱ πάντες.
Corcyraeans were-handed-over the all

ξυνελάβοντο δὲ τοῦ τοιούτου οὐχ ἥκιστα, ὥστε ἀκριβῆ 47.2
contributed and to-the such-outcome not least so-that exact
τὴν πρόφασιν γενέσθαι καὶ τοὺς τεχνησαμένους ἀδεέστερον
the pretext to-become and those having-contrived-it more-fearlessly
ἐγχειρῆσαι, οἱ στρατηγοὶ τῶν Ἀθηναίων κατάδηλοι ὄντες
to-set-to-it the generals of-the Athenians evident being
τοὺς ἄνδρας μὴ ἂν βούλεσθαι ὑπ᾽ ἄλλων κομισθέντας,
the men not — to-wish by others brought
διότι αὐτοὶ ἐς Σικελίαν ἔπλεον, τὴν τιμὴν τοῖς
because they-themselves to Sicily sailed the honor to-those
ἄγουσι προσποιῆσαι.
bringing-them to-add
παραλαβόντες δὲ αὐτοὺς οἱ Κερκυραῖοι ἐς οἴκημα 47.3
having-received and them the Corcyraeans into a-building
μέγα κατεῖρξαν, καὶ ὕστερον ἐξάγοντες κατὰ εἴκοσιν
large shut-up and later leading-out by twenties
ἄνδρας διῆγον διὰ δυοῖν στοίχοιν ὁπλιτῶν ἑκατέρωθεν
men they-led through two lines of-hoplites on-both-sides
παρατεταγμένων, δεδεμένους τε πρὸς ἀλλήλους καὶ
drawn-up bound both to one-another and
παιομένους καὶ κεντουμένους ὑπὸ τῶν παρατεταγμένων, εἴ
being-struck and being-stabbed by those drawn-up if
πού τίς τινα ἴδοι ἐχθρὸν ἑαυτοῦ· μαστιγοφόροι τε
anywhere anyone someone should-see enemy of-his-own whip-bearers and
παριόντες ἐπετάχυνον τῆς ὁδοῦ τοὺς σχολαίτερον προϊόντας.
going-alongside hurried-along on-the way those more-slowly going-forward
καὶ ἐς μὲν ἄνδρας ἑξήκοντα ἔλαθον τοὺς ἐν τῷ 48.1
and up-to indeed men sixty they-escaped-notice-of the in the
οἰκήματι τούτῳ τῷ τρόπῳ ἐξαγαγόντες καὶ διαφθείραντες
building in-this the way leading-out and killing
(ᾤοντο γὰρ αὐτοὺς μεταστήσοντάς ποι ἄλλοσε ἄγειν)·
they-thought for them going-to-transfer somewhere elsewhere to-lead

ὡς δὲ ᾔσθοντο καί τις αὐτοῖς ἐδήλωσε, τούς τε Ἀθηναίους
when but they-perceived and someone to-them showed the both Athenians
ἐπεκαλοῦντο καὶ ἐκέλευον σφᾶς, εἰ βούλονται, αὐτοὺς
they-called-on and urged them if they-wish them
διαφθείρειν, ἔκ τε τοῦ οἰκήματος οὐκέτι ἤθελον ἐξιέναι,
to-kill from both the building no-longer were-willing to-go-out
οὐδ' ἐσιέναι ἔφασαν κατὰ δύναμιν περιόψεσθαι οὐδένα.
nor to-come-in they-said by strength to-allow no-one
48.2 οἱ δὲ Κερκυραῖοι κατὰ μὲν τὰς θύρας οὐδ' αὐτοὶ
the and Corcyraeans by indeed the doors not-even themselves
διενοοῦντο βιάζεσθαι, ἀναβάντες δὲ ἐπὶ τὸ τέγος τοῦ
intended to-force having-climbed but on the roof of-the
οἰκήματος καὶ διελόντες τὴν ὀροφὴν ἔβαλλον τῷ
building and having-broken-through the ceiling threw with-the
κεράμῳ καὶ ἐτόξευον κάτω.
tiles and shot-arrows down
48.3 οἱ δὲ ἐφυλάσσοντό τε ὡς ἐδύναντο καὶ ἅμα οἱ πολλοὶ
they and guarded-themselves both as they-could and at-the-same-time the most
σφᾶς αὐτοὺς διέφθειρον, οἰστούς τε οὓς ἀφίεσαν ἐκεῖνοι ἐς
them selves destroyed arrows both which shot those into
τὰς σφαγὰς καθιέντες καὶ ἐκ κλινῶν τινῶν αἳ ἔτυχον αὐτοῖς
the throats thrusting and from beds some which happened them
ἐνοῦσαι τοῖς σπάρτοις καὶ ἐκ τῶν ἱματίων παραιρήματα
being-inside with-the cords and from the cloaks strips
ποιοῦντες ἀπαγχόμενοι, παντί τε τρόπῳ τὸ πολὺ τῆς
making strangling-themselves in-every both way the greater-part of-the
νυκτός (ἐπεγένετο γὰρ νὺξ τῷ παθήματι) ἀναλοῦντες
night came-on for night upon-the suffering making-away-with
σφᾶς αὐτοὺς καὶ βαλλόμενοι ὑπὸ τῶν ἄνω διεφθάρησαν.
them selves and being-pelted by those above were-destroyed

καὶ αὐτοὺς οἱ Κερκυραῖοι, ἐπειδὴ ἡμέρα ἐγένετο, φορμηδὸν 48.4
and them the Corcyraeans when day came like-wicker-mats
ἐπὶ ἁμάξας ἐπιβαλόντες ἀπήγαγον ἔξω τῆς πόλεως.
on wagons having-thrown carried-away outside the city
τὰς δὲ γυναῖκας, ὅσαι ἐν τῷ τειχίσματι ἑάλωσαν,
the and women as-many-as in the fort were-captured
ἠνδραποδίσαντο.
they-enslaved
τοιούτῳ μὲν τρόπῳ οἱ ἐκ τοῦ ὄρους Κερκυραῖοι ὑπὸ 48.5
in-such indeed way the from the mountain Corcyraeans by
τοῦ δήμου διεφθάρησαν, καὶ ἡ στάσις πολλὴ γενομένη
the people were-destroyed and the faction great having-become
ἐτελεύτησεν ἐς τοῦτο, ὅσα γε κατὰ τὸν πόλεμον τόνδε· οὐ
ended in this so-far at-least as-regards the war this not
γὰρ ἔτι ἦν ὑπόλοιπον τῶν ἑτέρων ὅτι καὶ ἀξιόλογον.
for any-longer was remaining of-the other-party anything even worth-mention
οἱ δὲ Ἀθηναῖοι ἐς τὴν Σικελίαν, ἵναπερ τὸ πρῶτον 48.6
the and Athenians to — Sicily where-exactly the first
ὥρμηντο, ἀποπλεύσαντες μετὰ τῶν ἐκεῖ ξυμμάχων
they-had-set-out having-sailed-off with the there allies
ἐπολέμουν.
made-war

At the summer's end the Athenians and Acarnanians take Anactorium by betrayal and settle it with Acarnanians. In the winter Aristides captures the Persian Artaphernes at Eion on the Strymon, carrying letters from the king to Sparta. The king says he cannot tell what the Spartans want, since many envoys come and none say the same thing. The Athenians send Artaphernes home with their own envoys, but at Ephesus they learn that King Artaxerxes is dead. The Chians pull down their new wall at Athens' order, and the war's seventh year ends. Next summer the Mytilenaean exiles take Rhoeteum, give it back for two thousand staters, and take Antandrus.

49.1 καὶ οἱ ἐν τῇ Ναυπάκτῳ Ἀθηναῖοι καὶ Ἀκαρνᾶνες
and the at — Naupactus Athenians and Acarnanians
ἅμα τελευτῶντος τοῦ θέρους στρατευσάμενοι
at-the-same-time ending the summer having-campaigned
Ἀνακτόριον Κορινθίων πόλιν, ἣ κεῖται ἐπὶ τῷ στόματι
Anactorium of-Corinthians city which lies at the mouth
τοῦ Ἀμπρακικοῦ κόλπου, ἔλαβον προδοσίᾳ· καὶ ἐκπέμψαντες
of-the Ambracian gulf took by-treachery and having-sent-out
αὐτοὶ Ἀκαρνᾶνες οἰκήτορας ἀπὸ πάντων ἔσχον τὸ χωρίον.
themselves Acarnanians settlers from all-of-them held the place
καὶ τὸ θέρος ἐτελεύτα.
and the summer ended

50.1 τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Ἀριστείδης ὁ Ἀρχίππου,
in-the and following winter Aristides the son-of-Archippus
εἷς τῶν ἀργυρολόγων νεῶν Ἀθηναίων στρατηγός, αἳ
one of-the money-collecting ships of-Athenians general which
ἐξεπέμφθησαν πρὸς τοὺς ξυμμάχους, Ἀρταφέρνην ἄνδρα
were-sent-out to the allies Artaphernes a-man

Πέρσην παρὰ βασιλέως πορευόμενον ἐς Λακεδαίμονα
Persian from the-king traveling to Lacedaemon
ξυλλαμβάνει ἐν Ἠιόνι τῇ ἐπὶ Στρυμόνι.
arrests at Eion the on-the Strymon
καὶ αὐτοῦ κομισθέντος οἱ Ἀθηναῖοι τὰς μὲν ἐπιστολὰς 50.2
and he having-been-brought the Athenians the indeed letters
μεταγραψάμενοι ἐκ τῶν Ἀσσυρίων γραμμάτων ἀνέγνωσαν,
having-transcribed from the Assyrian characters read
ἐν αἷς πολλῶν ἄλλων γεγραμμένων κεφάλαιον ἦν πρὸς
in which many other-things having-been-written the-sum was to
Λακεδαιμονίους, οὐ γιγνώσκειν ὅτι βούλονται· πολλῶν γὰρ
Lacedaemonians not to-know what they-want many for
ἐλθόντων πρέσβεων οὐδένα ταὐτὰ λέγειν· εἰ οὖν τι
having-come envoys no-one the-same to-say if then anything
βούλονται σαφὲς λέγειν, πέμψαι μετὰ τοῦ Πέρσου ἄνδρας
they-wish clear to-say to-send with the Persian men
ὡς αὐτόν.
to him
τὸν δὲ Ἀρταφέρνην ὕστερον οἱ Ἀθηναῖοι ἀποστέλλουσι 50.3
— and Artaphernes later the Athenians send-off
τριήρει ἐς Ἔφεσον καὶ πρέσβεις ἅμα· οἳ πυθόμενοι αὐτόθι
in-a-trireme to Ephesus and envoys with-him who having-learned there
βασιλέα Ἀρταξέρξην τὸν Ξέρξου νεωστὶ τεθνηκότα (κατὰ
king Artaxerxes the son-of-Xerxes recently dead at
γὰρ τοῦτον τὸν χρόνον ἐτελεύτησεν) ἐπ᾽ οἴκου ἀνεχώρησαν.
for this the time he-died to home withdrew
τοῦ δ᾽ αὐτοῦ χειμῶνος καὶ Χῖοι τὸ τεῖχος περιείλον τὸ 51.1
in-the and same winter also Chians the wall pulled-down the
καινὸν κελευσάντων Ἀθηναίων καὶ ὑποπτευσάντων ἐς
new having-ordered Athenians and having-suspected toward
αὐτούς τι νεωτεριεῖν, ποιησάμενοι μέντοι πρὸς Ἀθηναίους
them something to-plan-revolt having-made however to Athenians

πίστεις καὶ βεβαιότητα ἐκ τῶν δυνατῶν μηδὲν περὶ σφᾶς
pledges and assurance from the possible nothing about them
νεώτερον βουλεύσειν. καὶ ὁ χειμὼν ἐτελεύτα, καὶ ἕβδομον
new to-intend and the winter ended and seventh
ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε ὃν Θουκυδίδης ξυνέγραψεν.
year for-the war ended this which Thucydides wrote

52.1 τοῦ δ' ἐπιγιγνομένου θέρους εὐθὺς τοῦ τε ἡλίου ἐκλιπές
in-the and following summer at-once of-the both sun eclipse
τι ἐγένετο περὶ νουμηνίαν καὶ τοῦ αὐτοῦ μηνὸς ἰσταμένου
some happened about new-moon and of-the same month beginning
ἔσεισεν.
there-was-an-earthquake

52.2 καὶ οἱ Μυτιληναίων φυγάδες καὶ τῶν ἄλλων Λεσβίων,
and the of-Mytilenaeans exiles and of-the other Lesbians
ὁρμώμενοι οἱ πολλοὶ ἐκ τῆς ἠπείρου καὶ μισθωσάμενοι ἔκ
setting-out the most from the mainland and having-hired from
τε Πελοποννήσου ἐπικουρικὸν καὶ αὐτόθεν ξυναγείραντες,
both Peloponnese an-auxiliary-force and from-there having-gathered
αἱροῦσι Ῥοίτειον, καὶ λαβόντες δισχιλίους στατῆρας
take Rhoeteum and having-received two-thousand staters
Φωκαΐτας ἀπέδοσαν πάλιν οὐδὲν ἀδικήσαντες·
Phocaean gave-it-back again nothing having-wronged

52.3 καὶ μετὰ τοῦτο ἐπὶ Ἄντανδρον στρατεύσαντες προδοσίας
and after this against Antandrus having-campaigned betrayal
γενομένης λαμβάνουσι τὴν πόλιν. καὶ ἦν αὐτῶν ἡ διάνοια
having-occurred they-take the city and was their the plan
τάς τε ἄλλας πόλεις τὰς Ἀκταίας καλουμένας, ἃς πρότερον
the both other cities the Actaean called which before
Μυτιληναίων νεμομένων Ἀθηναῖοι εἶχον, ἐλευθεροῦν, καὶ
Mytilenaeans holding Athenians held to-free and
πάντων μάλιστα τὴν Ἄντανδρον· καὶ κρατυνάμενοι αὐτὴν
of-all most — Antandrus and having-strengthened it

(ναῦς τε γὰρ εὐπορία ἦν ποιεῖσθαι, αὐτόθεν ξύλων
ships both for plenty there-was to-build from-there timber
ὑπαρχόντων καὶ τῆς Ἴδης ἐπικειμένης, καὶ τῇ ἄλλῃ
being-at-hand and — Ida lying-near and with-the other
σκευῇ) ῥᾳδίως ἀπ᾽ αὐτῆς ὁρμώμενοι τήν τε Λέσβον ἐγγὺς
equipment easily from it setting-out — both Lesbos near
οὖσαν κακώσειν καὶ τὰ ἐν τῇ ἠπείρῳ Αἰολικὰ πολίσματα
being to-harm and the on the mainland Aeolian towns
χειρώσεσθαι. καὶ οἱ μὲν ταῦτα παρασκευάζεσθαι ἔμελλον.
to-subdue and they indeed these-things to-prepare were-about

IX · CYTHERA

Nicias, Nicostratus, and Autocles sail with sixty ships against Cythera, the island off Laconia that Sparta guards closely. They take it on terms and leave a garrison. Then they ravage the coast of Laconia. The Spartans, shaken by Pylos and fearing a revolt at home, post garrisons and raise cavalry and archers, contrary to their custom, and grow timid in every action. The Athenians then take Thyrea, where Sparta had settled the Aeginetans after their expulsion. They carry off the survivors with the Spartan commander Tantalus, and at Athens they put the Aeginetans to death.

Ἀθηναῖοι δὲ ἐν τῷ αὐτῷ θέρει ἑξήκοντα ναυσὶ καὶ 53.1
Athenians and in the same summer with-sixty ships and
δισχιλίοις ὁπλίταις ἱππεῦσί τε ὀλίγοις καὶ τῶν ξυμμάχων
two-thousand hoplites cavalry and few and of-the allies
Μιλησίους καὶ ἄλλους τινὰς ἀγαγόντες ἐστράτευσαν ἐπὶ
Milesians and others some having-brought marched against
Κύθηρα· ἐστρατήγει δὲ αὐτῶν Νικίας ὁ Νικηράτου καὶ
Cythera commanded and them Nicias the son-of-Niceratus and
Νικόστρατος ὁ Διειτρέφους καὶ Αὐτοκλῆς ὁ Τολμαίου.
Nicostratus the son-of-Diitrephes and Autocles the son-of-Tolmaeus

53.2 τὰ δὲ Κύθηρα νῆσός ἐστιν, ἐπίκειται δὲ τῇ Λακωνικῇ
— and Cythera an-island is lies-off and — Laconia
κατὰ Μαλέαν· Λακεδαιμόνιοι δ' εἰσὶ τῶν περιοίκων, καὶ
by Malea Lacedaemonians and are of-the perioeci and
κυθηροδίκης ἀρχὴ ἐκ τῆς Σπάρτης διέβαινεν αὐτόσε κατὰ
judge-of-Cythera an-office from — Sparta crossed there by
ἔτος, ὁπλιτῶν τε φρουρὰν διέπεμπον αἰεὶ καὶ πολλὴν
year of-hoplites and a-garrison they-sent-across always and much
ἐπιμέλειαν ἐποιοῦντο.
care took

53.3 ἦν γὰρ αὐτοῖς τῶν τε ἀπ' Αἰγύπτου καὶ Λιβύης ὁλκάδων
was for for-them of-the both from Egypt and Libya merchant-ships
προσβολή, καὶ λῃσταὶ ἅμα τὴν Λακωνικὴν ἧσσον
a-landing-place and pirates at-the-same-time — Laconia less
ἐλύπουν ἐκ θαλάσσης, ᾗπερ μόνον οἷόν τε ἦν
troubled from sea where-exactly alone possible — it-was
κακουργεῖσθαι· πᾶσα γὰρ ἀνέχει πρὸς τὸ Σικελικὸν καὶ
to-be-harmed all for juts-out toward the Sicilian and
Κρητικὸν πέλαγος.
Cretan sea

54.1 κατασχόντες οὖν οἱ Ἀθηναῖοι τῷ στρατῷ, δέκα μὲν
having-put-in then the Athenians with-the army with-ten indeed
ναυσὶ καὶ δισχιλίοις Μιλησίων ὁπλίταις τὴν ἐπὶ θαλάσσῃ
ships and two-thousand of-Milesians hoplites the on sea
πόλιν Σκάνδειαν καλουμένην αἱροῦσι, τῷ δὲ ἄλλῳ
city Scandea called take with-the and other
στρατεύματι ἀποβάντες τῆς νήσου ἐς τὰ πρὸς Μαλέαν
army having-landed of-the island on the toward Malea
τετραμμένα ἐχώρουν ἐπὶ τὴν πόλιν τῶν Κυθηρίων, καὶ
facing advanced against the city of-the Cytherians and
ηὗρον εὐθὺς αὐτοὺς ἐστρατοπεδευμένους ἅπαντας.
found at-once them encamped all

καὶ μάχης γενομένης ὀλίγον μέν τινα χρόνον ὑπέστησαν οἱ 54.2
and battle having-happened little indeed some time stood-their-ground the
Κυθήριοι, ἔπειτα τραπόμενοι κατέφυγον ἐς τὴν ἄνω πόλιν,
Cytherians then routed fled to the upper city
καὶ ὕστερον ξυνέβησαν πρὸς Νικίαν καὶ τοὺς ξυνάρχοντας
and later came-to-terms with Nicias and the fellow-commanders
Ἀθηναίοις ἐπιτρέψαι περὶ σφῶν αὐτῶν πλὴν θανάτου.
to-Athenians to-leave-it about them selves except death
ἦσαν δέ τινες καὶ γενόμενοι τῷ Νικίᾳ λόγοι 54.3
there-were and some also having-taken-place — with-Nicias talks
πρότερον πρός τινας τῶν Κυθηρίων, δι' ὃ καὶ
earlier with some of-the Cytherians because-of which also
θᾶσσον καὶ ἐπιτηδειότερον τό τε παραυτίκα καὶ τὸ
more-quickly and more-advantageously the both immediate and the
ἔπειτα τὰ τῆς ὁμολογίας ἐπράχθη αὐτοῖς· ἀνέστησαν
following the of-the agreement were-done for-them would-have-removed
γὰρ ἂν οἱ Ἀθηναῖοι Κυθηρίους, Λακεδαιμονίους τε ὄντας
for — the Athenians Cytherians Lacedaemonians both being
καὶ ἐπὶ τῇ Λακωνικῇ τῆς νήσου οὕτως ἐπικειμένης.
and on — Laconia the island thus lying-off
μετὰ δὲ τὴν ξύμβασιν οἱ Ἀθηναῖοι τήν τε Σκάνδειαν τὸ 54.4
after and the agreement the Athenians — both Scandea the
ἐπὶ τῷ λιμένι πόλισμα παραλαβόντες καὶ τῶν Κυθήρων
on the harbor town having-taken-over and — of-Cythera
φυλακὴν ποιησάμενοι ἔπλευσαν ἔς τε Ἀσίνην καὶ Ἕλος
a-garrison having-made sailed to both Asine and Helos
καὶ τὰ πλεῖστα τῶν περὶ θάλασσαν, καὶ ἀποβάσεις
and the most of-the(-places) along sea and landings
ποιούμενοι καὶ ἐναυλιζόμενοι τῶν χωρίων οὗ καιρὸς εἴη
making and bivouacking in-the places where opportunity was
ἐδῄουν τὴν γῆν ἡμέρας μάλιστα ἑπτά.
ravaged the land days about seven

55.1 οἱ δὲ Λακεδαιμόνιοι ἰδόντες μὲν τοὺς Ἀθηναίους τὰ
the and Lacedaemonians seeing indeed the Athenians —
Κύθηρα ἔχοντας, προσδεχόμενοι δὲ καὶ ἐς τὴν γῆν σφῶν
Cythera holding expecting and also on the land their
ἀποβάσεις τοιαύτας ποιήσεσθαι, ἀθρόᾳ μὲν οὐδαμοῦ τῇ
landings such to-make massed indeed nowhere with-the
δυνάμει ἀντετάξαντο, κατὰ δὲ τὴν χώραν φρουρὰς
force opposed-them throughout and the country garrisons
διέπεμψαν, ὁπλιτῶν πλῆθος, ὡς ἑκασταχόσε ἔδει,
they-sent-out of-hoplites a-number as everywhere it-was-needed
καὶ τὰ ἄλλα ἐν φυλακῇ πολλῇ ἦσαν, φοβούμενοι μὴ
and the other-things in guard great were fearing lest
σφίσι νεώτερόν τι γένηται τῶν περὶ τὴν κατάστασιν,
for-them revolution some happen of-the about the constitution
γεγενημένου μὲν τοῦ ἐν τῇ νήσῳ πάθους ἀνελπίστου καὶ
having-happened indeed the on the island disaster unexpected and
μεγάλου, Πύλου δὲ ἐχομένης καὶ Κυθήρων καὶ πανταχόθεν
great Pylos and being-held and Cythera and from-all-sides
σφᾶς περιεστῶτος πολέμου ταχέος καὶ ἀπροφυλάκτου,
them surrounding war swift and not-to-be-guarded-against
55.2 ὥστε παρὰ τὸ εἰωθὸς ἱππέας τετρακοσίους κατεστήσαντο
so-that contrary-to the custom cavalry four-hundred they-established
καὶ τοξότας, ἔς τε τὰ πολεμικά, εἴπερ ποτέ, μάλιστα δὴ
and archers to both the military-matters if-indeed ever most indeed
ὀκνηρότεροι ἐγένοντο, ξυνεστῶτες παρὰ τὴν ὑπάρχουσαν
more-hesitant they-became engaging contrary-to the existing
σφῶν ἰδέαν τῆς παρασκευῆς ναυτικῷ ἀγῶνι, καὶ τούτῳ
their form of-the armament in-a-naval contest and this
πρὸς Ἀθηναίους, οἷς τὸ μὴ ἐπιχειρούμενον αἰεὶ ἐλλιπὲς
against Athenians for-whom the not attempted always falling-short
ἦν τῆς δοκήσεώς τι πράξειν·
was of-the expectation something to-achieve

καὶ ἅμα τὰ τῆς τύχης πολλὰ καὶ ἐν ὀλίγῳ 55.3
and at-the-same-time the of-the fortune many-things and in little
ξυμβάντα παρὰ λόγον αὐτοῖς ἔκπληξιν μεγίστην παρεῖχε,
having-happened contrary-to reckoning to-them dismay greatest caused
καὶ ἐδέδισαν μή ποτε αὖθις ξυμφορά τις αὐτοῖς περιτύχῃ
and they-feared lest ever again disaster some them should-befall
οἵα καὶ ἐν τῇ νήσῳ.
such-as also on the island
ἀτολμότεροι δὲ δι' αὐτὸ ἐς τὰς μάχας ἦσαν, καὶ 55.4
less-daring and because-of it toward the battles they-were and
πᾶν ὅτι κινήσειαν ᾤοντο ἁμαρτήσεσθαι διὰ τὸ
everything that they-moved they-thought to-go-wrong because-of the
τὴν γνώμην ἀνεχέγγυον γεγενῆσθαι ἐκ τῆς πρὶν ἀηθείας
the judgment unconfident to-have-become from the former unfamiliarity
τοῦ κακοπραγεῖν.
with-the to-fare-badly
τοῖς δὲ Ἀθηναίοις τότε τὴν παραθαλάσσιον δῃοῦσι τὰ 56.1
to-the and Athenians then the coast ravaging the
μὲν πολλὰ ἡσύχασαν, ὡς καθ' ἑκάστην φρουρὰν γίγνοιτό
indeed most they-kept-quiet as at each garrison happened
τις ἀπόβασις, πλήθει τε ἐλάσσους ἕκαστοι ἡγούμενοι
some landing in-number and fewer each thinking
εἶναι καὶ ἐν τῷ τοιούτῳ· μία δὲ φρουρά, ἥπερ καὶ
to-be and in the such-state one but garrison which-indeed also
ἠμύνατο περὶ Κοτύρταν καὶ Ἀφροδιτίαν, τὸν μὲν ὄχλον
resisted around Cotyrta and Aphroditia the indeed crowd
τῶν ψιλῶν ἐσκεδασμένον ἐφόβησεν ἐπιδρομῇ, τῶν δὲ
of-the light-armed scattered frightened by-a-charge the but
ὁπλιτῶν δεξαμένων ὑπεχώρησε πάλιν, καὶ ἄνδρες τέ
hoplites having-received-it withdrew again and men both

τινες ἀπέθανον αὐτῶν ὀλίγοι καὶ ὅπλα ἐλήφθη, τροπαῖόν
some died of-them few and arms were-taken a-trophy
τε στήσαντες οἱ Ἀθηναῖοι ἀπέπλευσαν ἐς Κύθηρα.
and having-set-up the Athenians sailed-off to Cythera

56.2 ἐκ δὲ αὐτῶν περιέπλευσαν ἐς Ἐπίδαυρον τὴν Λιμηράν,
from and them sailed-round to Epidaurus — Limera
καὶ δῃώσαντες μέρος τι τῆς γῆς ἀφικνοῦνται ἐπὶ Θυρέαν,
and having-ravaged part some of-the land arrive at Thyrea
ἥ ἐστι μὲν τῆς Κυνουρίας γῆς καλουμένης, μεθορία δὲ
which is indeed of-the Cynurian land called on-the-border and
τῆς Ἀργείας καὶ Λακωνικῆς· νεμόμενοι δὲ αὐτὴν ἔδοσαν
— of-Argive-land and of-Laconia inhabiting and it gave
Λακεδαιμόνιοι Αἰγινήταις ἐκπεσοῦσιν ἐνοικεῖν διά τε
Lacedaemonians to-Aeginetans having-been-expelled to-dwell-in because-of both
τὰς ὑπὸ τὸν σεισμὸν σφίσι γενομένας καὶ τῶν Εἱλώτων
the at the earthquake to-them having-happened and of-the Helots
τὴν ἐπανάστασιν εὐεργεσίας καὶ ὅτι Ἀθηναίων ὑπακούοντες
the rising services and that Athenians obeying
ὅμως πρὸς τὴν ἐκείνων γνώμην αἰεὶ ἔστασαν.
nevertheless on the their side always they-had-stood

57.1 προσπλεόντων οὖν ἔτι τῶν Ἀθηναίων οἱ Αἰγινῆται τὸ μὲν ἐπὶ
sailing-up then still the Athenians the Aeginetans the indeed on
τῇ θαλάσσῃ ὃ ἔτυχον οἰκοδομοῦντες τεῖχος ἐκλείπουσιν,
the sea which they-happened building wall abandon
ἐς δὲ τὴν ἄνω πόλιν, ἐν ᾗ ᾤκουν, ἀπεχώρησαν,
to and the upper city in which they-lived withdrew
ἀπέχουσαν σταδίους μάλιστα δέκα τῆς θαλάσσης.
being-distant stades about ten from-the sea

57.2 καὶ αὐτοῖς τῶν Λακεδαιμονίων φρουρὰ μία τῶν περὶ τὴν
and with-them of-the Lacedaemonians garrison one of-those around the
χώραν, ἥπερ καὶ ξυνετείχιζε, ξυνεσελθεῖν μὲν ἐς τὸ τεῖχος
country which-indeed also had-helped-build to-go-in-with indeed into the wall

οὐκ ἠθέλησαν δεομένων τῶν Αἰγινητῶν, ἀλλ᾽ αὐτοῖς κίνδυνος
not was-willing asking the Aeginetans but to-them danger
ἐφαίνετο ἐς τὸ τεῖχος κατακλήεσθαι· ἀναχωρήσαντες δὲ
appeared into the wall to-be-shut-up having-withdrawn and
ἐπὶ τὰ μετέωρα, ὡς οὐκ ἐνόμιζον ἀξιόμαχοι εἶναι, ἡσύχαζον.
to the heights as not they-thought a-match to-be kept-quiet
ἐν τούτῳ δὲ οἱ Ἀθηναῖοι κατασχόντες καὶ χωρήσαντες 57.3
in this and the Athenians having-put-in and having-advanced
εὐθὺς πάσῃ τῇ στρατιᾷ αἱροῦσι τὴν Θυρέαν. καὶ τήν τε
at-once with-all the army take — Thyrea and the both
πόλιν κατέκαυσαν καὶ τὰ ἐνόντα ἐξεπόρθησαν, τούς τε
city burned and the contents plundered the both
Αἰγινήτας, ὅσοι μὴ ἐν χερσὶ διεφθάρησαν, ἄγοντες
Aeginetans as-many-as not in hand-fighting were-killed bringing
ἀφίκοντο ἐς τὰς Ἀθήνας καὶ τὸν ἄρχοντα ὃς παρ᾽ αὐτοῖς
arrived at — Athens and the commander who with them
ἦν τῶν Λακεδαιμονίων, Τάνταλον τὸν Πατροκλέους·
was of-the Lacedaemonians Tantalus the son-of-Patrocles
ἐζωγρήθη γὰρ τετρωμένος.
was-taken-alive for wounded
ἦγον δέ τινας καὶ ἐκ τῶν Κυθήρων ἄνδρας ὀλίγους, 57.4
they-brought and some also from — Cythera men few
οὓς ἐδόκει ἀσφαλείας ἕνεκα μεταστῆσαι. καὶ τούτους
whom it-seemed for-safety's sake to-remove and these
μὲν οἱ Ἀθηναῖοι ἐβουλεύσαντο καταθέσθαι ἐς τὰς νήσους,
indeed the Athenians decided to-deposit in the islands
καὶ τοὺς ἄλλους Κυθηρίους οἰκοῦντας τὴν ἑαυτῶν
and the other Cytherians inhabiting the their-own(-land)
φόρον τέσσαρα τάλαντα φέρειν, Αἰγινήτας δὲ ἀποκτεῖναι
tribute four talents to-pay Aeginetans and to-kill
πάντας ὅσοι ἑάλωσαν διὰ τὴν προτέραν αἰεί ποτε
all as-many-as were-captured because-of the former always ever

ἔχθραν, Τάνταλον δὲ παρὰ τοὺς ἄλλους τοὺς ἐν τῇ νήσῳ
enmity Tantalus and beside the others the on the island
Λακεδαιμονίους καταδῆσαι.
Lacedaemonians to-put-in-bonds

X · THE CONGRESS AT GELA

In Sicily Camarina and Gela first make a truce. Then envoys from all the Sicilian cities meet at Gela to talk of reconciliation. Many views are given, each city complaining of its wrongs, and Hermocrates of Syracuse speaks.

58.1 τοῦ δ' αὐτοῦ θέρους ἐν Σικελίᾳ Καμαριναίοις καὶ Γελῴοις
in-the and same summer in Sicily for-Camarinaeans and Geloans
ἐκεχειρία γίγνεται πρῶτον πρὸς ἀλλήλους· εἶτα καὶ οἱ
an-armistice comes-about first with one-another then also the
ἄλλοι Σικελιῶται ξυνελθόντες ἐς Γέλαν, ἀπὸ πασῶν
other Sicilian-Greeks having-come-together at Gela from all
τῶν πόλεων πρέσβεις, ἐς λόγους κατέστησαν ἀλλήλοις,
the cities envoys into talks entered with-one-another
εἴ πως ξυναλλαγεῖεν. καὶ ἄλλαι τε πολλαὶ γνῶμαι
if somehow they-might-be-reconciled and other both many opinions
ἐλέγοντο ἐπ' ἀμφότερα, διαφερομένων καὶ ἀξιούντων, ὡς
were-spoken on both-sides differing and claiming as
ἕκαστοί τι ἐλασσοῦσθαι ἐνόμιζον, καὶ Ἑρμοκράτης
each something to-be-at-a-disadvantage they-thought and Hermocrates
ὁ Ἕρμωνος Συρακόσιος, ὅσπερ καὶ ἔπεισε μάλιστα
the son-of-Hermon a-Syracusan who-indeed also persuaded most
αὐτούς, ἐς τὸ κοινὸν τοιούτους δὴ λόγους εἶπεν.
them to the common-assembly such indeed words spoke

Hermocrates says that he speaks for the good of all Sicily, not for his own city. Everyone knows war is evil, but men go to war when they expect gain. The Athenians, the strongest power in Greece, watch with a few ships while the Sicilians wear each other down, and later they will come with more. Kinship will save neither Dorian nor Chalcidian, since Athens wants Sicily's wealth. He does not blame Athens, since men always rule whoever yields. The future is uncertain, so peace is safer than revenge. Syracuse, the greatest city, will yield what is reasonable. All Sicilians are neighbors on one island, and they should send the outsider home.

Ὅυτε πόλεως ὢν ἐλαχίστης, ὦ Σικελιῶται, τοὺς λόγους 59.1
neither of-a-city being smallest O Sicilian-Greeks the words
ποιήσομαι οὔτε πονουμένης μάλιστα τῷ πολέμῳ, ἐς
I-shall-make nor suffering most by-the war to
κοινὸν δὲ τὴν δοκοῦσάν μοι βελτίστην γνώμην εἶναι
common-good but the seeming to-me best opinion to-be
ἀποφαινόμενος τῇ Σικελίᾳ πάσῃ.
declaring — to-Sicily all
καὶ περὶ μὲν τοῦ πολεμεῖν ὡς χαλεπὸν τί ἄν τις πᾶν τὸ 59.2
and about indeed the to-make-war how grievous why — anyone all the
ἐνὸν ἐκλέγων ἐν εἰδόσι μακρηγοροίη; οὐδεὶς γὰρ οὔτε
inherent enumerating among those-who-know would-speak-at-length no-one for neither
ἀμαθίᾳ ἀναγκάζεται αὐτὸ δρᾶν, οὔτε φόβῳ, ἢν οἴηταί τι
by-ignorance is-compelled it to-do nor by-fear if he-thinks something
πλέον σχήσειν, ἀποτρέπεται. ξυμβαίνει δὲ τοῖς μὲν τὰ
more to-get is-deterred it-happens and to-the-ones indeed the
κέρδη μείζω φαίνεσθαι τῶν δεινῶν, οἱ δὲ τοὺς κινδύνους
gains greater to-appear than-the dangers the-others and the risks
ἐθέλουσιν ὑφίστασθαι πρὸ τοῦ αὐτίκα τι ἐλασσοῦσθαι·
are-willing to-undergo rather-than the at-once something to-be-worse-off

59.3 αὐτὰ δὲ ταῦτα εἰ μὴ ἐν καιρῷ τύχοιεν ἑκάτεροι
very and these-things if not at the-right-time should-happen each-side
πράσσοντες, αἱ παραινέσεις τῶν ξυναλλαγῶν ὠφέλιμοι.
doing the exhortations of-the reconciliations useful
59.4 ὃ καὶ ἡμῖν ἐν τῷ παρόντι πειθομένοις πλείστου ἂν
which also for-us at the present being-persuaded of-most —
ἄξιον γένοιτο· τὰ γὰρ ἴδια ἕκαστοι εὖ βουλευόμενοι
worth would-be the for private-interests each well deliberating
δὴ θέσθαι τό τε πρῶτον ἐπολεμήσαμεν καὶ νῦν πρὸς
indeed to-settle at-the both first we-went-to-war and now with
ἀλλήλους δι' ἀντιλογιῶν πειρώμεθα καταλλαγῆναι καί,
one-another through counter-arguments we-try to-be-reconciled and
ἢν ἄρα μὴ προχωρήσῃ ἴσον ἑκάστῳ ἔχοντι ἀπελθεῖν,
if after-all not it-succeeds equal each having to-go-away
πάλιν πολεμήσομεν.
again we-shall-make-war
60.1 Καίτοι γνῶναι χρὴ ὅτι οὐ περὶ τῶν ἰδίων μόνον, εἰ
and-yet to-realize one-must that not about the private-interests only if
σωφρονοῦμεν, ἡ ξύνοδος ἔσται, ἀλλ' εἰ ἐπιβουλευομένην
we-are-wise the assembly will-be but whether being-plotted-against
τὴν πᾶσαν Σικελίαν, ὡς ἐγὼ κρίνω, ὑπ' Ἀθηναίων
the whole Sicily as I judge by Athenians
δυνησόμεθα ἔτι διασῶσαι· καὶ διαλλακτὰς πολὺ τῶν ἐμῶν
we-shall-be-able still to-save and arbiters much than-the my
λόγων ἀναγκαιοτέρους περὶ τῶνδε Ἀθηναίους νομίσαι, οἳ
words more-compelling about these-things Athenians to-consider who
δύναμιν ἔχοντες μεγίστην τῶν Ἑλλήνων τάς τε ἁμαρτίας
power having greatest of-the Greeks the both mistakes
ἡμῶν τηροῦσιν ὀλίγαις ναυσὶ παρόντες, καὶ ὀνόματι
our watch with-few ships being-present and under-the-name

ἐννόμῳ ξυμμαχίας τὸ φύσει πολέμιον εὐπρεπῶς ἐς τὸ
lawful of-alliance the by-nature hostile plausibly to the
ξυμφέρον καθίστανται.
advantage settle
πόλεμον γὰρ αἱρομένων ἡμῶν καὶ ἐπαγομένων αὐτούς, 60.2
war for taking-up us and bringing-in them
ἄνδρας οἳ καὶ τοῖς μὴ ἐπικαλουμένοις αὐτοὶ
men who even against-those not inviting-them themselves
ἐπιστρατεύουσι, κακῶς τε ἡμᾶς αὐτοὺς ποιούντων τέλεσι
march-against badly and us ourselves treating at-expenses
τοῖς οἰκείοις, καὶ τῆς ἀρχῆς ἅμα προκοπτόντων
the own and the empire at-the-same-time advancing
ἐκείνοις, εἰκός, ὅταν γνῶσιν ἡμᾶς τετρυχωμένους, καὶ
for-them it-is-likely when they-learn us worn-out and
πλεονί ποτε στόλῳ ἐλθόντας αὐτοὺς τάδε πάντα
with-greater sometime expedition having-come them these-things all
πειράσασθαι ὑπὸ σφᾶς ποιεῖσθαι.
to-try under them to-bring
Καίτοι τῇ ἑαυτῶν ἑκάστους, εἰ σωφρονοῦμεν, χρὴ τὰ 61.1
and-yet the own each if we-are-wise one-must the
μὴ προσήκοντα ἐπικτωμένους μᾶλλον ἢ τὰ ἑτοῖμα
not belonging acquiring rather than the ready-at-hand
βλάπτοντας ξυμμάχους τε ἐπάγεσθαι καὶ τοὺς κινδύνους
harming allies both to-bring-in and the dangers
προσλαμβάνειν, νομίσαι τε στάσιν μάλιστα φθείρειν τὰς
to-take-on to-consider both faction most to-destroy the
πόλεις καὶ τὴν Σικελίαν, ἧς γε οἱ ἔνοικοι ξύμπαντες
cities and — Sicily of-which at-least the inhabitants all-together
μὲν ἐπιβουλευόμεθα, κατὰ πόλεις δὲ διέσταμεν.
indeed we-are-plotted-against by cities but we-are-divided

61.2 ἃ χρὴ γνόντας καὶ ἰδιώτην ἰδιώτῃ καταλλαγῆναι
which one-must knowing also private-man with-private-man to-be-reconciled
καὶ πόλιν πόλει, καὶ πειρᾶσθαι κοινῇ σῴζειν τὴν πᾶσαν
and city with-city and to-try in-common to-save the whole
Σικελίαν, παρεστάναι δὲ μηδενὶ ὡς οἱ μὲν Δωριῆς ἡμῶν
Sicily to-occur and to-no-one that the indeed Dorians of-us
πολέμιοι τοῖς Ἀθηναίοις, τὸ δὲ Χαλκιδικὸν τῇ Ἰάδι
enemies to-the Athenians — and Chalcidian-element by-the Ionian
ξυγγενείᾳ ἀσφαλές.
kinship safe

61.3 οὐ γὰρ τοῖς ἔθνεσιν, ὅτι δίχα πέφυκε, τοῦ ἑτέρου
not for against-the races because in-two they-are-divided of-the other
ἔχθει ἐπίασιν, ἀλλὰ τῶν ἐν τῇ Σικελίᾳ ἀγαθῶν
in-hatred they-come-against but of-the in — Sicily goods
ἐφιέμενοι, ἃ κοινῇ κεκτήμεθα.
desiring which in-common we-possess

61.4 ἐδήλωσαν δὲ νῦν ἐν τῇ τοῦ Χαλκιδικοῦ γένους παρακλήσει·
they-showed and now in the of-the Chalcidian race summons
τοῖς γὰρ οὐδεπώποτε σφίσι κατὰ τὸ ξυμμαχικὸν
to-those for never them by the alliance
προσβοηθήσασιν αὐτοὶ τὸ δίκαιον μᾶλλον τῆς ξυνθήκης
having-come-to-help they-themselves the justice more-than of-the treaty
προθύμως παρέσχοντο.
eagerly offered

61.5 καὶ τοὺς μὲν Ἀθηναίους ταῦτα πλεονεκτεῖν τε καὶ
and the indeed Athenians these-things to-grasp both and
προνοεῖσθαι πολλὴ ξυγγνώμη, καὶ οὐ τοῖς ἄρχειν
to-plan much pardon and not those to-rule
βουλομένοις μέμφομαι, ἀλλὰ τοῖς ὑπακούειν ἑτοιμοτέροις
wishing I-blame but those to-obey readier

οὖσιν· πέφυκε γὰρ τὸ ἀνθρώπειον διὰ παντὸς ἄρχειν
being it-is-the-nature for the human-race through all-time to-rule
μὲν τοῦ εἴκοντος, φυλάσσεσθαι δὲ τὸ ἐπιόν.
indeed the yielding to-guard-against and the attacking
ὅσοι δὲ γιγνώσκοντες αὐτὰ μὴ ὀρθῶς προσκοποῦμεν, 61.6
as-many-as and knowing these-things not rightly foresee
μηδὲ τοῦτό τις πρεσβύτατον ἥκει κρίνας, τὸ κοινῶς
nor this anyone most-important has-come having-judged the commonly
φοβερὸν ἅπαντας εὖ θέσθαι, ἁμαρτάνομεν.
fearsome all-of-us well to-settle we-err
τάχιστα δ' ἂν ἀπαλλαγὴ αὐτοῦ γένοιτο, εἰ πρὸς ἀλλήλους 61.7
most-quickly and — riddance from-it would-come if with one-another
ξυμβαίμεν· οὐ γὰρ ἀπὸ τῆς αὑτῶν ὁρμῶνται Ἀθηναῖοι, ἀλλ'
we-should-agree not for from the their-own set-out Athenians but
ἐκ τῆς τῶν ἐπικαλεσαμένων. καὶ οὕτως οὐ πόλεμος πολέμῳ,
from the of-those having-called-them-in and thus not war by-war
εἰρήνῃ δὲ διαφοραὶ ἀπραγμόνως παύονται, οἵ τ' ἐπίκλητοι
by-peace but differences without-trouble are-ended the and called-in
εὐπρεπῶς ἄδικοι ἐλθόντες εὐλόγως ἄπρακτοι ἀπίασιν.
plausibly unjust having-come reasonably unsuccessful will-go-away
Καὶ τὸ μὲν πρὸς τοὺς Ἀθηναίους τοσοῦτον ἀγαθὸν εὖ 62.1
and the indeed toward the Athenians so-great good well
βουλευομένοις εὑρίσκεται·
to-those-deliberating is-found
τὴν δὲ ὑπὸ πάντων ὁμολογουμένην ἄριστον εἶναι εἰρήνην 62.2
the but by all agreed best to-be peace
πῶς οὐ χρὴ καὶ ἐν ἡμῖν αὐτοῖς ποιήσασθαι; ἢ δοκεῖτε,
how not one-must also among us ourselves to-make or do-you-think
εἴ τῳ τι ἔστιν ἀγαθὸν ἢ εἴ τῳ τὰ ἐναντία, οὐχ
if to-anyone anything is good or if to-anyone the opposite not
ἡσυχίαν μᾶλλον ἢ πόλεμον τὸ μὲν παῦσαι ἂν ἑκατέρῳ,
quiet rather than war the-one indeed to-end — for-each

τὸ δὲ ξυνδιασῶσαι, καὶ τὰς τιμὰς καὶ λαμπρότητας
the-other and to-help-preserve and the honors and glories
ἀκινδυνοτέρας ἔχειν τὴν εἰρήνην, ἄλλα τε ὅσα ἐν μήκει
less-dangerous to-have the peace other both as-many-as at length
λόγων ἄν τις διέλθοι, ὥσπερ περὶ τοῦ πολεμεῖν; ἃ
of-speech — one might-go-through as about the to-make-war which-things
χρὴ σκεψαμένους μὴ τοὺς ἐμοὺς λόγους ὑπεριδεῖν, τὴν
one-must having-considered not the my words to-despise the
δὲ αὐτοῦ τινὰ σωτηρίαν μᾶλλον ἀπ᾽ αὐτῶν προϊδεῖν.
but his-own each safety rather from them to-foresee

62.3 καὶ εἴ τις βεβαίως τι ἢ τῷ δικαίῳ ἢ βίᾳ πράξειν
and if anyone securely anything either by-the justice or by-force to-achieve
οἴεται, τῷ παρ᾽ ἐλπίδα μὴ χαλεπῶς σφαλλέσθω, γνοὺς
thinks by-the beyond hope not grievously let-him-be-disappointed knowing
ὅτι πλείους ἤδη καὶ τιμωρίαις μετιόντες τοὺς ἀδικοῦντας
that more already both with-vengeance pursuing the wrongdoers
καὶ ἐλπίσαντες ἕτεροι δυνάμει τινὶ πλεονεκτήσειν, οἱ μὲν
and having-hoped others by-power some to-get-the-better the-ones indeed
οὐχ ὅσον οὐκ ἠμύναντο, ἀλλ᾽ οὐδ᾽ ἐσώθησαν, τοὺς
not only not avenged-themselves but not-even were-saved for-the-others
δ᾽ ἀντὶ τοῦ πλέον ἔχειν προσκαταλιπεῖν τὰ αὑτῶν ξυνέβη.
and instead of-the more to-have to-lose-in-addition the their-own it-happened

62.4 τιμωρία γὰρ οὐκ εὐτυχεῖ δικαίως, ὅτι καὶ ἀδικεῖται· οὐδὲ
vengeance for not succeeds justly because also it-is-wronged nor
ἰσχὺς βέβαιον, διότι καὶ εὔελπι. τὸ δὲ ἀστάθμητον τοῦ
strength sure because also confident the but incalculableness of-the
μέλλοντος ὡς ἐπὶ πλεῖστον κρατεῖ, πάντων τε σφαλερώτατον
future for the most-part prevails of-all both most-treacherous
ὂν ὅμως καὶ χρησιμώτατον φαίνεται· ἐξ ἴσου γὰρ
being nevertheless also most-useful appears from equal for
δεδιότες προμηθίᾳ μᾶλλον ἐπ᾽ ἀλλήλους ἐρχόμεθα.
fearing with-forethought rather against one-another we-come

Καὶ νῦν τοῦ ἀφανοῦς τε τούτου διὰ τὸ ἀτέκμαρτον 63.1
and now of-the unseen both this because-of the not-to-be-guessed
δέος καὶ διὰ τὸ ἤδη †φοβεροὺς παρόντας Ἀθηναίους,
fear and because-of the already fearsome being-present Athenians
κατ' ἀμφότερα ἐκπλαγέντες, καὶ τὸ ἐλλιπὲς τῆς γνώμης,
on both-counts terrified and the shortfall of-the plan
ὧν ἕκαστός τι ᾠήθημεν πράξειν, ταῖς κωλύμαις
of-what each something thought to-achieve by-the hindrances
ταύταις ἱκανῶς νομίσαντες εἰρχθῆναι, τοὺς ἐφεστῶτας
these sufficiently thinking to-have-been-thwarted the present
πολεμίους ἐκ τῆς χώρας ἀποπέμπωμεν, καὶ αὐτοὶ μάλιστα
enemies from the country let-us-send-away and ourselves preferably
μὲν ἐς ἀίδιον ξυμβῶμεν, εἰ δὲ μή, χρόνον ὡς πλεῖστον
indeed for ever let-us-agree if but not for-time as long-as-possible
σπεισάμενοι τὰς ἰδίας διαφορὰς ἐς αὖθις ἀναβαλώμεθα.
having-made-a-truce the private differences to later let-us-postpone
τὸ ξύμπαν τε δὴ γνῶμεν πειθόμενοι μὲν ἐμοὶ πόλιν 63.2
the whole and indeed let-us-realize obeying indeed me a-city
ἕξοντες ἕκαστος ἐλευθέραν, ἀφ' ἧς αὐτοκράτορες ὄντες
we-shall-have each free from which masters-of-ourselves being
τὸν εὖ καὶ κακῶς δρῶντα ἐξ ἴσου ἀρετῇ ἀμυνούμεθα·
the well and badly doing on equal-terms with-merit we-shall-requite
ἢν δ' ἀπιστήσαντες ἄλλοις ὑπακούσωμεν, οὐ περὶ τοῦ
if and distrusting others we-obey not about the
τιμωρήσασθαί τινα, ἀλλὰ καὶ ἄγαν εἰ τύχοιμεν, φίλοι
to-avenge-ourselves on-anyone but even too-much if we-should-be-lucky friends
μὲν ἂν τοῖς ἐχθίστοις, διάφοροι δὲ οἷς οὐ χρὴ
indeed — to-the bitterest-enemies at-odds and with-whom not one-must
κατ' ἀνάγκην γιγνοίμεθα.
by necessity we-would-become

64.1 ‘Καὶ ἐγὼ μέν, ἅπερ καὶ ἀρχόμενος εἶπον, πόλιν
and I indeed which-very also at-the-beginning I-said a-city
τε μεγίστην παρεχόμενος καὶ ἐπιὼν τῳ μᾶλλον ἢ
both greatest providing and attacking someone rather than
ἀμυνούμενος ἀξιῶ προιδόμενος αὐτῶν ξυγχωρεῖν,
defending I-think-it-right foreseeing these-things to-make-concessions
καὶ μὴ τοὺς ἐναντίους οὕτω κακῶς δρᾶν ὥστε αὐτὸς τὰ
and not the opponents so badly to-treat so-that myself the
πλείω βλάπτεσθαι, μηδὲ μωρίᾳ φιλονικῶν ἡγεῖσθαι τῆς
more to-be-harmed nor by-folly being-contentious to-think of-the
τε οἰκείας γνώμης ὁμοίως αὐτοκράτωρ εἶναι καὶ ἧς
both own judgment alike master to-be and of-which
οὐκ ἄρχω τύχης, ἀλλ’ ὅσον εἰκὸς ἡσσᾶσθαι.
not I-rule fortune but as-much-as is-reasonable to-yield
64.2 καὶ τοὺς ἄλλους δικαιῶ ταὐτό μοι ποιῆσαι, ὑφ’ ὑμῶν
and the others I-claim the-same as-me to-do by you
αὐτῶν καὶ μὴ ὑπὸ τῶν πολεμίων τοῦτο παθεῖν.
yourselves and not by the enemy this to-suffer
64.3 οὐδὲν γὰρ αἰσχρὸν οἰκείους οἰκείων ἡσσᾶσθαι, ἢ Δωριᾶ
nothing for shameful kin by-kin to-be-worsted or a-Dorian
τινὰ Δωριῶς ἢ Χαλκιδέα τῶν ξυγγενῶν, τὸ δὲ ξύμπαν
a by-a-Dorian or a-Chalcidian by-the kin the and whole
γείτονας ὄντας καὶ ξυνοίκους μιᾶς χώρας καὶ περιρρύτου
neighbors being and fellow-dwellers of-one land and sea-girt
καὶ ὄνομα ἓν κεκλημένους Σικελιώτας· οἷ πολεμήσομέν
and by-name one called Sicilian-Greeks who we-shall-make-war
τε, οἶμαι, ὅταν ξυμβῇ, καὶ ξυγχωρησόμεθά γε πάλιν
both I-think when it-happens and we-shall-come-to-terms at-least again
καθ’ ἡμᾶς αὐτοὺς λόγοις κοινοῖς χρώμενοι·
by us ourselves with-words common using

τοὺς δὲ ἀλλοφύλους ἐπελθόντας ἁθρόοι αἰεί, ἢν 64.4
the but foreigners invading in-a-body always if
σωφρονῶμεν, ἀμυνούμεθα, εἴπερ καὶ καθ' ἑκάστους
we-are-wise we-shall-ward-off since also by each
βλαπτόμενοι ξύμπαντες κινδυνεύομεν· ξυμμάχους δὲ
being-harmed all-together we-are-in-danger allies and
οὐδέποτε τὸ λοιπὸν ἐπαξόμεθα οὐδὲ διαλλακτάς.
never the future we-shall-bring-in nor arbiters
τάδε γὰρ ποιοῦντες ἔν τε τῷ παρόντι δυοῖν ἀγαθοῖν 64.5
these-things for doing in both the present of-two goods
οὐ στερήσομεν τὴν Σικελίαν, Ἀθηναίων τε ἀπαλλαγῆναι
not we-shall-deprive — Sicily of-Athenians both to-be-rid
καὶ οἰκείου πολέμου, καὶ ἐς τὸ ἔπειτα καθ' ἡμᾶς αὐτοὺς
and of-domestic war and for the hereafter by us ourselves
ἐλευθέραν νεμούμεθα καὶ ὑπὸ ἄλλων ἧσσον ἐπιβουλευομένην.'
free we-shall-inhabit and by others less plotted-against

XII · THE SICILIAN PEACE

The Sicilians agree to make peace, each city keeping what it holds. Camarina receives Morgantine for a fixed sum paid to Syracuse. The Athenians' allies tell the Athenian officers that the peace will include Athens too, and the officers approve it and sail home. At Athens the people banish Pythodorus and Sophocles and fine Eurymedon, on the charge that they were bribed to leave when they could have subdued Sicily. In their present good fortune the Athenians expect nothing to oppose them, and they believe they can do what is possible and what is harder, with a large force or a small one.

τοιαῦτα τοῦ Ἑρμοκράτους εἰπόντος πειθόμενοι οἱ 65.1
such — Hermocrates having-spoken being-persuaded the
Σικελιῶται αὐτοὶ μὲν κατὰ σφᾶς αὐτοὺς ξυνηνέχθησαν
Sicilian-Greeks themselves indeed by them selves agreed

γνώμῃ ὥστε ἀπαλλάσσεσθαι τοῦ πολέμου ἔχοντες ἃ
in-judgment so-as to-be-rid of-the war keeping what
ἕκαστοι ἔχουσι, τοῖς δὲ Καμαριναίοις Μοργαντίνην εἶναι
each hold to-the and Camarinaeans Morgantine to-belong
ἀργύριον τακτὸν τοῖς Συρακοσίοις ἀποδοῦσιν·
silver fixed to-the Syracusans paying
65.2 οἱ δὲ τῶν Ἀθηναίων ξύμμαχοι παρακαλέσαντες αὐτῶν
the and of-the Athenians allies having-called their
τοὺς ἐν τέλει ὄντας εἶπον ὅτι ξυμβήσονται καὶ αἱ
the in office being said that they-will-come-to-terms and the
σπονδαὶ ἔσονται κἀκείνοις κοιναί. ἐπαινεσάντων δὲ αὐτῶν
truce will-be for-those-too common having-approved and they
ἐποιοῦντο τὴν ὁμολογίαν, καὶ αἱ νῆες τῶν Ἀθηναίων
made the agreement and the ships of-the Athenians
ἀπέπλευσαν μετὰ ταῦτα ἐκ Σικελίας.
sailed-off after these-things from Sicily
65.3 ἐλθόντας δὲ τοὺς στρατηγοὺς οἱ ἐν τῇ πόλει Ἀθηναῖοι
having-come and the generals the in the city Athenians
τοὺς μὲν φυγῇ ἐζημίωσαν, Πυθόδωρον καὶ Σοφοκλέα,
the indeed with-exile punished Pythodorus and Sophocles
τὸν δὲ τρίτον Εὐρυμέδοντα χρήματα ἐπράξαντο, ὡς
the and third Eurymedon money exacted as
ἐξὸν αὐτοῖς τὰ ἐν Σικελίᾳ καταστρέψασθαι δώροις
it-being-possible for-them the in Sicily to-subdue by-bribes
πεισθέντες ἀποχωρήσειαν.
persuaded they-withdrew
65.4 οὕτω τῇ παρούσῃ εὐτυχίᾳ χρώμενοι ἠξίουν σφίσι
so by-the present good-fortune using they-thought-fit to-them
μηδὲν ἐναντιοῦσθαι, ἀλλὰ καὶ τὰ δυνατὰ ἐν ἴσῳ καὶ τὰ
nothing to-be-opposed but both the possible on equal-terms and the
ἀπορώτερα μεγάλῃ τε ὁμοίως καὶ ἐνδεεστέρᾳ παρασκευῇ
more-difficult with-great both alike and with-scantier armament

κατεργάζεσθαι. αἰτία δ' ἦν ἡ παρὰ λόγον τῶν πλεόνων
to-accomplish cause and was the beyond reckoning of-the most-things
εὐπραγία αὐτοῖς ὑποτιθεῖσα ἰσχὺν τῆς ἐλπίδος.
success to-them suggesting strength of-the hope

XIII · MEGARA AND NISAEA

The Megarians are pressed by the Athenians and by their own exiles at Pegae, and the leaders of the people plot to hand the city to Athens. Hippocrates and Demosthenes seize the long walls at night through a gate kept open by a pretext about a boat. The plot inside the city is betrayed, but the Athenians wall in Nisaea, and its Peloponnesian garrison surrenders. Brasidas comes from near Sicyon and Corinth, but Megara will not admit him. After a cavalry fight he and the Boeotians offer battle, and the Athenians decline it. Megara then opens to him. The exiles return under oath, kill their enemies, and set up a lasting oligarchy.

τοῦ δ' αὐτοῦ θέρους Μεγαρῆς οἱ ἐν τῇ πόλει πιεζόμενοι 66.1
in-the and same summer Megarians the in the city being-pressed
ὑπό τε Ἀθηναίων τῷ πολέμῳ, αἰεὶ κατὰ ἔτος ἕκαστον
by both Athenians by-the war always in year each
δὶς ἐσβαλλόντων πανστρατιᾷ ἐς τὴν χώραν, καὶ ὑπὸ τῶν
twice invading in-full-force into the country and by the
σφετέρων φυγάδων τῶν ἐκ Πηγῶν, οἳ στασιασάντων
their-own exiles those from Pegae who the-faction-having-arisen
ἐκπεσόντες ὑπὸ τοῦ πλήθους χαλεποὶ ἦσαν λῃστεύοντες,
having-been-expelled by the populace troublesome were plundering
ἐποιοῦντο λόγους ἐν ἀλλήλοις ὡς χρὴ δεξαμένους
made talk among one-another that one-must having-received-back
τοὺς φεύγοντας μὴ ἀμφοτέρωθεν τὴν πόλιν φθείρειν.
the exiles not from-both-sides the city to-ruin

66.2 οἱ δὲ φίλοι τῶν ἔξω τὸν θροῦν αἰσθόμενοι φανερῶς
the and friends of-those outside the murmur perceiving openly
μᾶλλον ἢ πρότερον καὶ αὐτοὶ ἠξίουν τούτου τοῦ λόγου
more than before also themselves thought-fit this the proposal
ἔχεσθαι.
to-hold-to

66.3 γνόντες δὲ οἱ τοῦ δήμου προστάται οὐ δυνατὸν τὸν
having-realized and the of-the people leaders not possible the
δῆμον ἐσόμενον ὑπὸ τῶν κακῶν μετὰ σφῶν καρτερεῖν,
people going-to-be by the hardships with them to-hold-out
ποιοῦνται λόγους δείσαντες πρὸς τοὺς τῶν Ἀθηναίων
make talks having-feared with the of-the Athenians
στρατηγούς, Ἱπποκράτη τε τὸν Ἀρίφρονος καὶ Δημοσθένη
generals Hippocrates both the son-of-Ariphron and Demosthenes
τὸν Ἀλκισθένους, βουλόμενοι ἐνδοῦναι τὴν πόλιν καὶ
the son-of-Alcisthenes wishing to-betray the city and
νομίζοντες ἐλάσσω σφίσι τὸν κίνδυνον ἢ τοὺς ἐκπεσόντας
thinking less to-them the danger than the ones-expelled
ὑπὸ σφῶν κατελθεῖν. ξυνέβησάν τε πρῶτα μὲν τὰ μακρὰ
by them to-return they-agreed both first indeed the long
τείχη ἑλεῖν Ἀθηναίους (ἦν δὲ σταδίων μάλιστα ὀκτὼ ἀπὸ
walls to-take Athenians it-was and of-stades about eight from
τῆς πόλεως ἐπὶ τὴν Νίσαιαν τὸν λιμένα αὐτῶν), ὅπως μὴ
the city to — Nisaea the harbor their so-that not
ἐπιβοηθήσωσιν ἐκ τῆς Νισαίας οἱ Πελοποννήσιοι, ἐν ᾗ
might-come-to-help from — Nisaea the Peloponnesians in which
αὐτοὶ μόνοι ἐφρούρουν βεβαιότητος ἕνεκα τῶν Μεγάρων,
they alone kept-garrison for-security's sake — of-Megara
ἔπειτα δὲ καὶ τὴν ἄνω πόλιν πειρᾶσθαι ἐνδοῦναι· ῥᾷον
then and also the upper city to-try to-betray more-readily
δ' ἤδη ἔμελλον προσχωρήσειν τούτου γεγενημένου.
and now they-were-going to-come-over this having-happened

οἱ οὖν Ἀθηναῖοι, ἐπειδὴ ἀπό τε τῶν ἔργων καὶ τῶν 67.1
the then Athenians when from both the deeds and the
λόγων παρεσκεύαστο ἀμφοτέροις, ὑπὸ νύκτα πλεύσαντες
words it-had-been-prepared for-both under night having-sailed
ἐς Μινῴαν τὴν Μεγαρέων νῆσον ὁπλίταις ἑξακοσίοις,
to Minoa the of-Megarians island with-hoplites six-hundred
ὧν Ἱπποκράτης ἦρχεν, ἐν ὀρύγματι ἐκαθέζοντο, ὅθεν
whom Hippocrates commanded in a-pit sat-down from-which
ἐπλίνθευον τὰ τείχη καὶ ἀπεῖχεν οὐ πολύ·
they-made-bricks-for the walls and it-was-distant not far
οἱ δὲ μετὰ τοῦ Δημοσθένους τοῦ ἑτέρου στρατηγοῦ 67.2
those and with — Demosthenes the other general
Πλαταιῆς τε ψιλοὶ καὶ ἕτεροι περίπολοι ἐνήδρευσαν ἐς τὸ
Plataeans both light-armed and others frontier-guards lay-in-ambush at —
Ἐνυάλιον, ὅ ἐστιν ἔλασσον ἄπωθεν. καὶ ᾔσθετο οὐδεὶς εἰ
Enyalium which is less far-off and perceived no-one if
μὴ οἱ ἄνδρες οἷς ἐπιμελὲς ἦν εἰδέναι τὴν νύκτα ταύτην.
not the men to-whom concern it-was to-know the night this
καὶ ἐπειδὴ ἕως ἔμελλε γίγνεσθαι, οἱ προδιδόντες τῶν 67.3
and when dawn was-about to-come the betraying of-the
Μεγαρέων οὗτοι τοιόνδε ἐποίησαν. ἀκάτιον ἀμφηρικὸν ὡς
Megarians these such-thing did a-small-boat sculled as
λῃσταί, ἐκ πολλοῦ τεθεραπευκότες τὴν ἄνοιξιν τῶν πυλῶν,
pirates for long having-cultivated the opening of-the gates
εἰώθεσαν ἐπὶ ἁμάξῃ, πείθοντες τὸν ἄρχοντα, διὰ
they-were-accustomed on a-wagon persuading the commander through
τῆς τάφρου κατακομίζειν τῆς νυκτὸς ἐπὶ τὴν θάλασσαν
the ditch to-carry-down by-the night to the sea
καὶ ἐκπλεῖν· καὶ πρὶν ἡμέραν εἶναι πάλιν αὐτὸ τῇ ἁμάξῃ
and to-sail-out and before day to-be back it on-the wagon
κομίσαντες ἐς τὸ τεῖχος κατὰ τὰς πύλας ἐσῆγον, ὅπως
having-brought into the wall by the gates they-brought-in so-that

τοῖς ἐκ τῆς Μινῴας Ἀθηναίοις ἀφανὴς δὴ εἴη ἡ
to-the from — Minoa Athenians invisible indeed might-be the
φυλακή, μὴ ὄντος ἐν τῷ λιμένι πλοίου φανεροῦ μηδενός.
guard not being in the harbor boat visible any
67.4 καὶ τότε πρὸς ταῖς πύλαις ἤδη ἦν ἡ ἅμαξα, καὶ ἀνοιχθεισῶν
and then at the gates already was the wagon and opened
κατὰ τὸ εἰωθὸς ὡς τῷ ἀκατίῳ οἱ Ἀθηναῖοι (ἐγίγνετο γὰρ
as the custom-was as for-the boat the Athenians it-happened for
ἀπὸ ξυνθήματος τὸ τοιοῦτον) ἰδόντες ἔθεον δρόμῳ ἐκ τῆς
by agreement the such-thing having-seen ran at-a-run from the
ἐνέδρας, βουλόμενοι φθάσαι πρὶν ξυγκλῃσθῆναι πάλιν τὰς
ambush wishing to-arrive-first before to-be-shut again the
πύλας καὶ ἕως ἔτι ἡ ἅμαξα ἐν αὐταῖς ἦν, κώλυμα οὖσα
gates and while still the wagon in them was a-hindrance being
προσθεῖναι· καὶ αὐτοῖς ἅμα καὶ οἱ ξυμπράσσοντες
to-shut and with-them at-the-same-time also the conspiring
Μεγαρῆς τοὺς κατὰ τὰς πύλας φύλακας κτείνουσιν.
Megarians the at the gates guards kill
67.5 καὶ πρῶτον μὲν οἱ περὶ τὸν Δημοσθένη Πλαταιῆς
and first indeed those with — Demosthenes Plataeans
τε καὶ περίπολοι ἐσέδραμον οὗ νῦν τὸ τροπαῖόν
both and frontier-guards ran-in where now the trophy
ἐστι, καὶ εὐθὺς ἐντὸς τῶν πυλῶν (ᾔσθοντο γὰρ οἱ
is and at-once inside the gates perceived for the
ἐγγύτατα Πελοποννήσιοι) μαχόμενοι τοὺς προσβοηθοῦντας
nearest Peloponnesians fighting those coming-to-help
οἱ Πλαταιῆς ἐκράτησαν καὶ τοῖς τῶν Ἀθηναίων ὁπλίταις
the Plataeans prevailed and for-the of-the Athenians hoplites
ἐπιφερομένοις βεβαίους τὰς πύλας παρέσχον·
coming-on secure the gates kept

ἔπειτα δὲ καὶ τῶν Ἀθηναίων ἤδη ὁ αἰεὶ ἐντὸς γιγνόμενος 68.1
then and also of-the Athenians now the always inside getting
ἐχώρει ἐπὶ τὸ τεῖχος.
went to the wall
καὶ οἱ Πελοποννήσιοι φρουροὶ τὸ μὲν πρῶτον ἀντίσχοντες 68.2
and the Peloponnesian garrison the indeed first holding-out
ἠμύνοντο ὀλίγοι, καὶ ἀπέθανόν τινες αὐτῶν, οἱ δὲ
defended-themselves few and died some of-them the and
πλείους ἐς φυγὴν κατέστησαν, φοβηθέντες ἐν νυκτί
most into flight were-put having-taken-fright at night
τε πολεμίων προσπεπτωκότων καὶ τῶν προδιδόντων
both enemies having-fallen-on and the betraying
Μεγαρέων ἀντιμαχομένων, νομίσαντες τοὺς ἅπαντας σφᾶς
Megarians fighting-against-them thinking the all them
Μεγαρέας προδεδωκέναι.
Megarians to-have-betrayed
ξυνέπεσε γὰρ καὶ τὸν τῶν Ἀθηναίων κήρυκα ἀφ' ἑαυτοῦ 68.3
it-happened for also the of-the Athenians herald from his-own
γνώμης κηρύξαι τὸν βουλόμενον ἰέναι Μεγαρέων μετὰ
mind to-proclaim the willing to-go of-Megarians with
Ἀθηναίων θησόμενον τὰ ὅπλα. οἱ δ' ὡς ἤκουσαν, οὐκέτι
Athenians going-to-ground the arms they and when they-heard no-longer
ἀνέμενον, ἀλλὰ τῷ ὄντι νομίσαντες κοινῇ πολεμεῖσθαι
waited but in-the reality thinking in-common to-be-warred-on
κατέφυγον ἐς τὴν Νίσαιαν.
fled to — Nisaea
ἅμα δὲ ἕῳ ἑαλωκότων ἤδη τῶν τειχῶν καὶ τῶν ἐν 68.4
together-with and dawn having-been-taken already the walls and the in
τῇ πόλει Μεγαρέων θορυβουμένων οἱ πρὸς τοὺς Ἀθηναίους
the city Megarians being-in-uproar those with the Athenians

πράξαντες καὶ ἄλλο μετ᾽ αὐτῶν πλῆθος, ὃ ξυνῄδει, ἔφασαν
having-negotiated and other with them crowd which was-privy said
χρῆναι ἀνοίγειν τὰς πύλας καὶ ἐπεξιέναι ἐς μάχην.
it-was-necessary to-open the gates and to-go-out to battle
68.5 ξυνέκειτο δὲ αὐτοῖς τῶν πυλῶν ἀνοιχθεισῶν ἐσπίπτειν τοὺς
it-had-been-agreed and by-them the gates being-opened to-rush-in the
Ἀθηναίους, αὐτοὶ δὲ διάδηλοι ἔμελλον ἔσεσθαι (λίπα γὰρ
Athenians themselves and distinguishable were-going to-be with-oil for
ἀλείψεσθαι), ὅπως μὴ ἀδικῶνται. ἀσφάλεια δὲ αὐτοῖς μᾶλλον
to-anoint-themselves so-that not they-be-harmed safety and for-them more
ἐγίγνετο τῆς ἀνοίξεως· καὶ γὰρ οἱ ἀπὸ τῆς Ἐλευσῖνος
came-about for-the opening also for those from — Eleusis
κατὰ τὸ ξυγκείμενον τετρακισχίλιοι ὁπλῖται τῶν Ἀθηναίων
according-to the agreement four-thousand hoplites of-the Athenians
καὶ ἱππῆς ἑξακόσιοι τὴν νύκτα πορευόμενοι παρῆσαν.
and cavalry six-hundred the night marching were-present
68.6 ἀληλιμμένων δὲ αὐτῶν καὶ ὄντων ἤδη περὶ τὰς πύλας
having-anointed and them and being already at the gates
καταγορεύει τις ξυνειδὼς τοῖς ἑτέροις τὸ ἐπιβούλευμα. καὶ
denounces someone privy to-the others the plot and
οἳ ξυστραφέντες ἁθρόοι ἦλθον καὶ οὐκ ἔφασαν χρῆναι
they having-rallied in-a-body came and not said it-was-necessary
οὔτε ἐπεξιέναι (οὐδὲ γὰρ πρότερόν πω τοῦτο ἰσχύοντες
neither to-go-out not-even for before yet this being-stronger
μᾶλλον τολμῆσαι) οὔτε ἐς κίνδυνον φανερὸν τὴν πόλιν
rather to-have-dared nor into danger open the city
καταγαγεῖν· εἴ τε μὴ πείσεταί τις, αὐτοῦ τὴν μάχην
to-lead if and not will-obey anyone right-there the battle
ἔσεσθαι. ἐδήλουν δὲ οὐδὲν ὅτι ἴσασι τὰ πρασσόμενα, ἀλλὰ
to-be they-showed but nothing that they-know the things-being-done but
ὡς τὰ βέλτιστα βουλεύοντες ἰσχυρίζοντο, καὶ ἅμα
as the best counseling they-insisted and at-the-same-time

περὶ τὰς πύλας παρέμενον φυλάσσοντες, ὥστε οὐκ ἐγένετο
at the gates stayed guarding so-that not it-happened
τοῖς ἐπιβουλεύουσι πρᾶξαι ὃ ἔμελλον.
for-the plotters to-do what they-intended
γνόντες δὲ οἱ τῶν Ἀθηναίων στρατηγοὶ ὅτι ἐναντίωμά 69.1
having-realized and the of-the Athenians generals that obstacle
τι ἐγένετο καὶ τὴν πόλιν βίᾳ οὐχ οἷοί τε ἔσονται
some had-happened and the city by-force not able — they-will-be
λαβεῖν, τὴν Νίσαιαν εὐθὺς περιετείχιζον, νομίζοντες, εἰ
to-take — Nisaea at-once walled-round thinking if
πρὶν ἐπιβοηθῆσαί τινας ἐξέλοιεν, θᾶσσον ἂν καὶ τὰ
before to-come-to-help any they-should-take-it sooner — also —
Μέγαρα προσχωρῆσαι (παρεγένετο δὲ σίδηρός τε ἐκ
Megara to-come-over arrived and iron both from
τῶν Ἀθηνῶν ταχὺ καὶ λιθουργοὶ καὶ τἆλλα ἐπιτήδεια)·
— Athens quickly and stone-masons and the-other necessaries
ἀρξάμενοι δ' ἀπὸ τοῦ τείχους ὃ εἶχον καὶ 69.2
having-begun and from the wall which they-held and
διοικοδομήσαντες τὸ πρὸς Μεγαρέας, ἀπ' ἐκείνου
having-built-across the toward Megarians from that
ἑκατέρωθεν ἐς θάλασσαν τῆς Νισαίας τάφρον τε καὶ
on-both-sides to sea — of-Nisaea ditch both and
τείχη διελομένη ἡ στρατιά, ἔκ τε τοῦ προαστείου λίθοις
walls having-divided the army from both the suburb with-stones
καὶ πλίνθοις χρώμενοι, καὶ κόπτοντες τὰ δένδρα καὶ ὕλην
and bricks using and cutting the trees and timber
ἀπεσταύρουν εἴ πῃ δέοιτό τι· καὶ αἱ οἰκίαι τοῦ
they-palisaded if anywhere it-was-needed anything and the houses of-the
προαστείου ἐπάλξεις λαμβάνουσαι αὐταὶ ὑπῆρχον ἔρυμα.
suburb battlements receiving themselves were a-fortification

69.3 καὶ ταύτην μὲν τὴν ἡμέραν ὅλην εἰργάζοντο· τῇ δὲ
and this indeed the day whole they-worked on-the and
ὑστεραίᾳ περὶ δείλην τὸ τεῖχος ὅσον οὐκ ἀπετετέλεστο,
next-day about afternoon the wall all-but not had-been-completed
καὶ οἱ ἐν τῇ Νισαίᾳ δείσαντες, σίτου τε ἀπορίᾳ
and those in — Nisaea having-feared of-grain both from-lack
(ἐφ' ἡμέραν γὰρ ἐκ τῆς ἄνω πόλεως ἐχρῶντο) καὶ
by day for from the upper city they-used and
τοὺς Πελοποννησίους οὐ νομίζοντες ταχὺ ἐπιβοηθήσειν,
the Peloponnesians not thinking quickly to-come-to-help
τούς τε Μεγαρέας πολεμίους ἡγούμενοι, ξυνέβησαν τοῖς
the and Megarians enemies considering came-to-terms with-the
Ἀθηναίοις ῥητοῦ μὲν ἕκαστον ἀργυρίου ἀπολυθῆναι ὅπλα
Athenians for-a-stated indeed each of-silver to-be-released arms
παραδόντας, τοῖς δὲ Λακεδαιμονίοις, τῷ τε ἄρχοντι καὶ εἴ
having-surrendered with-the and Lacedaemonians the both commander and if
τις ἄλλος ἐνῆν, χρῆσθαι Ἀθηναίους ὅτι ἂν βούλωνται.
any other was-inside to-deal Athenians whatever — they-wish
69.4 ἐπὶ τούτοις ὁμολογήσαντες ἐξῆλθον, καὶ οἱ Ἀθηναῖοι τὰ
on these-terms having-agreed they-came-out and the Athenians the
μακρὰ τείχη ἀπορρήξαντες ἀπὸ τῆς τῶν Μεγαρέων πόλεως
long walls having-broken-off from the of-the Megarians city
καὶ τὴν Νίσαιαν παραλαβόντες τἆλλα παρεσκευάζοντο.
and — Nisaea having-taken-over the-rest prepared
70.1 Βρασίδας δὲ ὁ Τέλλιδος Λακεδαιμόνιος κατὰ τοῦτον τὸν
Brasidas and the son-of-Tellis a-Lacedaemonian about this the
χρόνον ἐτύγχανε περὶ Σικυῶνα καὶ Κόρινθον ὤν, ἐπὶ
time happened around Sicyon and Corinth being for
Θρᾴκης στρατείαν παρασκευαζόμενος. καὶ ὡς ᾔσθετο τῶν
Thrace an-expedition preparing and when he-perceived of-the
τειχῶν τὴν ἅλωσιν, δείσας περί τε τοῖς ἐν τῇ Νισαίᾳ
walls the capture having-feared about both the in — Nisaea

Πελοποννησίοις καὶ μὴ τὰ Μέγαρα ληφθῇ, πέμπει ἔς τε
Peloponnesians and lest — Megara be-taken sends to both
τοὺς Βοιωτοὺς κελεύων κατὰ τάχος στρατιᾷ ἀπαντῆσαι
the Boeotians bidding in haste with-an-army to-meet-him
ἐπὶ Τριποδίσκον (ἔστι δὲ κώμη τῆς Μεγαρίδος ὄνομα
at Tripodiscus is and a-village — of-Megarid name
τοῦτο ἔχουσα ὑπὸ τῷ ὄρει τῇ Γερανείᾳ), καὶ αὐτὸς ἔχων
this having under the mountain — Geraneia and himself having
ἦλθεν ἑπτακοσίους μὲν καὶ δισχιλίους Κορινθίων ὁπλίτας,
came seven-hundred indeed and two-thousand of-Corinthians hoplites
Φλειασίων δὲ τετρακοσίους, Σικυωνίων δὲ ἑξακοσίους, καὶ
of-Phliasians and four-hundred of-Sicyonians and six-hundred and
τοὺς μεθ' αὑτοῦ ὅσοι ἤδη ξυνειλεγμένοι ἦσαν, οἰόμενος
those with himself as-many-as already gathered were thinking
τὴν Νίσαιαν ἔτι καταλήψεσθαι ἀνάλωτον.
— Nisaea still to-find untaken
ὡς δὲ ἐπύθετο (ἔτυχε γὰρ νυκτὸς ἐπὶ τὸν Τριποδίσκον 70.2
when and he-learned he-happened for by-night to — Tripodiscus
ἐξελθών), ἀπολέξας τριακοσίους τοῦ στρατοῦ, πρὶν
having-gone-out having-picked three-hundred of-the army before
ἔκπυστος γενέσθαι, προσῆλθε τῇ τῶν Μεγαρέων πόλει
known to-be he-approached the of-the Megarians city
λαθὼν τοὺς Ἀθηναίους ὄντας περὶ τὴν θάλασσαν,
having-escaped-notice-of the Athenians being by the sea
βουλόμενος μὲν τῷ λόγῳ καὶ ἅμα, εἰ δύναιτο,
wishing indeed in-the word and at-the-same-time if he-could
ἔργῳ τῆς Νισαίας πειρᾶσαι, τὸ δὲ μέγιστον, τὴν τῶν
in-deed — Nisaea to-attempt the but greatest the of-the
Μεγαρέων πόλιν ἐσελθὼν βεβαιώσασθαι. καὶ ἠξίου
Megarians city having-entered to-secure and he-asked
δέξασθαι σφᾶς, λέγων ἐν ἐλπίδι εἶναι ἀναλαβεῖν Νίσαιαν.
to-receive them saying in hope to-be to-recover Nisaea

71.1 αἱ δὲ τῶν Μεγαρέων στάσεις φοβούμεναι, οἱ μὲν
the and of-the Megarians factions fearing the-ones indeed
μὴ τοὺς φεύγοντας σφίσιν ἐσαγαγὼν αὐτοὺς ἐκβάλῃ,
lest the exiles to-them having-brought-in them he-expel
οἱ δὲ μὴ αὐτὸ τοῦτο ὁ δῆμος δείσας ἐπίθηται
the-others and lest very this the people having-feared attack
σφίσι καὶ ἡ πόλις ἐν μάχῃ καθ' αὑτὴν οὖσα ἐγγὺς
them and the city in battle by itself being near
ἐφεδρευόντων Ἀθηναίων ἀπόληται, οὐκ ἐδέξαντο, ἀλλ'
lying-in-wait Athenians be-destroyed not received-him but
ἀμφοτέροις ἐδόκει ἡσυχάσασι τὸ μέλλον περιδεῖν.
to-both seemed-good having-kept-quiet the future to-watch
71.2 ἤλπιζον γὰρ καὶ μάχην ἑκάτεροι ἔσεσθαι τῶν τε
they-expected for also battle each-side to-be of-the both
Ἀθηναίων καὶ τῶν προσβοηθησάντων, καὶ οὕτω σφίσιν
Athenians and of-those having-come-to-help and thus for-them
ἀσφαλεστέρως ἔχειν, οἷς τις εἴη εὖνους, κρατήσασι
more-safely to-be to-whomever one was well-disposed having-won
προσχωρῆσαι· ὁ δὲ Βρασίδας ὡς οὐκ ἔπειθεν, ἀνεχώρησε
to-go-over — and Brasidas as not he-persuaded withdrew
πάλιν ἐς τὸ ἄλλο στράτευμα.
back to the other army
72.1 ἅμα δὲ τῇ ἕῳ οἱ Βοιωτοὶ παρῆσαν, διανενοημένοι
at-the-same-time and with-the dawn the Boeotians were-present having-intended
μὲν καὶ πρὶν Βρασίδαν πέμψαι βοηθεῖν ἐπὶ τὰ Μέγαρα, ὡς
indeed even before Brasidas to-send to-help for — Megara as
οὐκ ἀλλοτρίου ὄντος τοῦ κινδύνου, καὶ ἤδη ὄντες πανστρατιᾷ
not foreign being the danger and already being in-full-force
Πλαταιᾶσιν· ἐπειδὴ δὲ καὶ ἦλθεν ὁ ἄγγελος, πολλῷ μᾶλλον
at-Plataea when and also came the messenger much more

ἐρρώσθησαν, καὶ ἀποστείλαντες διακοσίους καὶ δισχιλίους
were-encouraged and having-sent-off two-hundred and two-thousand
ὁπλίτας καὶ ἱππέας ἑξακοσίους τοῖς πλέοσιν ἀπῆλθον πάλιν.
hoplites and cavalry six-hundred with-the greater-part went-away back
παρόντος δὲ ἤδη ξύμπαντος τοῦ στρατεύματος, ὁπλιτῶν 72.2
being-present and now the-whole the army of-hoplites
οὐκ ἔλασσον ἑξακισχιλίων, καὶ τῶν Ἀθηναίων τῶν μὲν
not less than-six-thousand and the Athenians the indeed
ὁπλιτῶν περί τε τὴν Νίσαιαν ὄντων καὶ τὴν θάλασσαν
hoplites about both — Nisaea being and the sea
ἐν τάξει, τῶν δὲ ψιλῶν ἀνὰ τὸ πεδίον ἐσκεδασμένων,
in order the and light-armed over the plain scattered
οἱ ἱππῆς οἱ τῶν Βοιωτῶν ἀπροσδοκήτοις ἐπιπεσόντες τοῖς
the cavalry the of-the Boeotians unexpecting falling-on the
ψιλοῖς ἔτρεψαν ἐπὶ τὴν θάλασσαν (ἐν γὰρ τῷ πρὸ τοῦ
light-armed routed to the sea in for the before —
οὐδεμία βοήθειά πω τοῖς Μεγαρεῦσιν οὐδαμόθεν ἐπῆλθεν)·
no help yet to-the Megarians from-anywhere had-come
ἀντεπεξελάσαντες δὲ καὶ οἱ τῶν Ἀθηναίων ἐς χεῖρας 72.3
having-charged-back and also the of-the Athenians to hands
ἦσαν, καὶ ἐγένετο ἱππομαχία ἐπὶ πολύ, ἐν ᾗ ἀξιοῦσιν
went and there-was a-cavalry-battle for long in which claim
ἑκάτεροι οὐχ ἥσσους γενέσθαι.
each-side not worsted to-have-been
τὸν μὲν γὰρ ἵππαρχον τῶν Βοιωτῶν καὶ ἄλλους τινὰς 72.4
the indeed for cavalry-commander of-the Boeotians and others some
οὐ πολλοὺς πρὸς αὐτὴν τὴν Νίσαιαν προσελάσαντας οἱ
not many toward the-very — Nisaea having-ridden-up the
Ἀθηναῖοι ἀποκτείναντες ἐσκύλευσαν, καὶ τῶν τε νεκρῶν
Athenians having-killed stripped and of-the both dead
τούτων κρατήσαντες ὑποσπόνδους ἀπέδοσαν καὶ τροπαῖον
these having-become-masters under-truce gave-back and a-trophy

ἔστησαν· οὐ μέντοι ἔν γε τῷ παντὶ ἔργῳ βεβαίως
set-up not however in at-least the whole action decisively
οὐδέτεροι τελευτήσαντες ἀπεκρίθησαν, ἀλλ' οἱ μὲν Βοιωτοὶ
neither-side having-ended separated but the indeed Boeotians
πρὸς τοὺς ἑαυτῶν, οἱ δὲ ἐπὶ τὴν Νίσαιαν.
to the their-own the-others and to — Nisaea

73.1 μετὰ δὲ τοῦτο Βρασίδας καὶ τὸ στράτευμα ἐχώρουν
after and this Brasidas and the army moved
ἐγγυτέρω τῆς θαλάσσης καὶ τῆς τῶν Μεγαρέων πόλεως, καὶ
nearer to-the sea and to-the of-the Megarians city and
καταλαβόντες χωρίον ἐπιτήδειον παραταξάμενοι ἡσύχαζον,
having-occupied a-place suitable having-formed-up kept-quiet
οἰόμενοι σφίσιν ἐπιέναι τοὺς Ἀθηναίους καὶ τοὺς Μεγαρέας
thinking against-them to-attack the Athenians and the Megarians
ἐπιστάμενοι περιορωμένους ὁποτέρων ἡ νίκη ἔσται.
knowing watching which-side's the victory will-be

73.2 καλῶς δὲ ἐνόμιζον σφίσιν ἀμφότερα ἔχειν, ἅμα μὲν τὸ μὴ
well and they-thought for-them both-ways to-stand at-once indeed the not
ἐπιχειρεῖν προτέρους μηδὲ μάχης καὶ κινδύνου ἑκόντας ἄρξαι,
to-attack first nor of-battle and of-danger willingly to-begin
ἐπειδή γε ἐν φανερῷ ἔδειξαν ἑτοῖμοι ὄντες ἀμύνεσθαι,
since at-least in plain-sight they-showed ready being to-defend-themselves
καὶ αὐτοῖς ὥσπερ ἀκονιτὶ τὴν νίκην δικαίως ἂν τίθεσθαι,
and to-them as-if without-dust the victory justly — to-be-credited
ἐν τῷ αὐτῷ δὲ καὶ πρὸς τοὺς Μεγαρέας ὀρθῶς ξυμβαίνειν·
in the same and also toward the Megarians rightly to-turn-out

73.3 εἰ μὲν γὰρ μὴ ὤφθησαν ἐλθόντες, οὐκ ἂν ἐν τύχῃ
if indeed for not they-had-been-seen having-come not — in a-chance
γίγνεσθαι σφίσιν, ἀλλὰ σαφῶς ἂν ὥσπερ ἡσσηθέντων
to-be for-them but plainly — as-if having-been-worsted
στερηθῆναι εὐθὺς τῆς πόλεως· νῦν δὲ κἂν τυχεῖν αὐτοὺς
to-be-deprived at-once of-the city now and even-if to-happen them

Ἀθηναίους μὴ βουληθέντας ἀγωνίζεσθαι, ὥστε ἀμαχητὶ ἂν
Athenians not having-wished to-fight so-that without-battle —
περιγενέσθαι αὐτοῖς ὧν ἕνεκα ἦλθον. ὅπερ καὶ ἐγένετο.
to-accrue to-them what for-sake-of they-came which-very also happened
οἱ γὰρ Μεγαρῆς, ὡς οἱ Ἀθηναῖοι ἐτάξαντο μὲν παρὰ 73.4
the for Megarians when the Athenians drew-up indeed along
τὰ μακρὰ τείχη ἐξελθόντες, ἡσύχαζον δὲ καὶ αὐτοὶ
the long walls having-come-out kept-quiet and also themselves
μὴ ἐπιόντων, λογιζόμενοι καὶ οἱ ἐκείνων στρατηγοὶ
not attacking reckoning also the their generals
μὴ ἀντίπαλον εἶναι σφίσι τὸν κίνδυνον, ἐπειδὴ καὶ τὰ
not equal to-be for-them the danger since also the
πλείω αὐτοῖς προυκεχωρήκει, ἄρξασι μάχης πρὸς πλέονας
more for-them had-succeeded beginning a-battle against more
αὐτῶν ἢ λαβεῖν νικήσαντας Μέγαρα ἢ σφαλέντας
than-themselves either to-take conquering Megara or failing
τῷ βελτίστῳ τοῦ ὁπλιτικοῦ βλαφθῆναι, τοῖς δὲ
in-the best of-the hoplite-force to-be-hurt for-the-others and
ξυμπάσης τῆς δυνάμεως καὶ τῶν παρόντων μέρος ἕκαστον
of-the-whole the force and of-the present part each
κινδυνεύειν εἰκότως ἐθέλειν τολμᾶν, χρόνον δὲ ἐπισχόντες
to-risk naturally to-be-willing to-dare time and having-waited
καὶ ὡς οὐδὲν ἀφ' ἑκατέρων ἐπεχειρεῖτο, ἀπῆλθον πρότερον
and when nothing by either-side was-attempted went-away first
οἱ Ἀθηναῖοι ἐς τὴν Νίσαιαν καὶ αὖθις οἱ Πελοποννήσιοι
the Athenians to — Nisaea and then the Peloponnesians
ὅθενπερ ὡρμήθησαν. οὕτω δὴ τῷ μὲν Βρασίδᾳ αὐτῷ
whence-exactly they-had-set-out thus indeed — indeed to-Brasidas himself
καὶ τοῖς ἀπὸ τῶν πόλεων ἄρχουσιν οἱ τῶν φευγόντων
and to-the from the cities commanders the of-the exiles
φίλοι Μεγαρῆς, ὡς ἐπικρατήσαντι καὶ τῶν Ἀθηναίων οὐκέτι
friends Megarians as to-a-victor and the Athenians no-longer

ἐθελησάντων μάχεσθαι, θαρσοῦντες μᾶλλον ἀνοίγουσί τε
having-been-willing to-fight having-taken-courage more open both
τὰς πύλας καὶ δεξάμενοι καταπεπληγμένων ἤδη τῶν
the gates and having-received-them being-dismayed now those
πρὸς τοὺς Ἀθηναίους πραξάντων ἐς λόγους ἔρχονται.
with the Athenians having-negotiated into talks come
74.1 καὶ ὕστερον ὁ μὲν διαλυθέντων τῶν ξυμμάχων κατὰ πόλεις
and later he indeed having-been-dispersed the allies to cities
ἐπανελθὼν καὶ αὐτὸς ἐς τὴν Κόρινθον τὴν ἐπὶ Θράκης
having-returned also himself to — Corinth the for Thrace
στρατείαν παρεσκεύαζεν, ἵναπερ καὶ τὸ πρῶτον ὥρμητο·
expedition prepared where-exactly also the first he-had-set-out
74.2 οἱ δὲ ἐν τῇ πόλει Μεγαρῆς, ἀποχωρησάντων καὶ τῶν
the and in the city Megarians having-withdrawn also the
Ἀθηναίων ἐπ᾽ οἴκου, ὅσοι μὲν τῶν πραγμάτων πρὸς
Athenians to home as-many-as indeed in-the affairs with
τοὺς Ἀθηναίους μάλιστα μετέσχον, εἰδότες ὅτι ὤφθησαν
the Athenians most had-taken-part knowing that they-had-been-seen
εὐθὺς ὑπεξῆλθον, οἱ δὲ ἄλλοι κοινολογησάμενοι τοῖς
at-once slipped-away the and others having-conferred with-the
τῶν φευγόντων φίλοις κατάγουσι τοὺς ἐκ Πηγῶν,
of-the exiles friends bring-back those from Pegae
ὁρκώσαντες πίστεσι μεγάλαις μηδὲν μνησικακήσειν,
having-bound-by-oath with-pledges great nothing to-remember-wrongs
βουλεύσειν δὲ τῇ πόλει τὰ ἄριστα.
to-counsel and for-the city the best
74.3 οἱ δὲ ἐπειδὴ ἐν ταῖς ἀρχαῖς ἐγένοντο καὶ ἐξέτασιν ὅπλων
they and when in the offices they-were and a-review of-arms
ἐποιήσαντο, διαστήσαντες τοὺς λόχους ἐξελέξαντο τῶν τε
made having-separated the companies picked-out of-the both
ἐχθρῶν καὶ οἳ ἐδόκουν μάλιστα ξυμπρᾶξαι τὰ
enemies and who seemed most to-have-helped-negotiate the-things

πρὸς τοὺς Ἀθηναίους ἄνδρας ὡς ἑκατόν, καὶ τούτων πέρι
with the Athenians men about a-hundred and these about
ἀναγκάσαντες τὸν δῆμον ψῆφον φανερὰν διενεγκεῖν, ὡς
having-compelled the people a-vote open to-cast when
κατεγνώσθησαν, ἔκτειναν, καὶ ἐς ὀλιγαρχίαν τὰ μάλιστα
they-were-condemned they-killed and into oligarchy the most
κατέστησαν τὴν πόλιν.
they-brought the city
καὶ πλεῖστον δὴ χρόνον αὕτη ὑπ᾽ ἐλαχίστων γενομένη 74.4
and longest indeed time this by fewest having-been-made
ἐκ στάσεως μετάστασις ξυνέμεινεν.
from faction change lasted

XIV · ANTANDRUS AND A PLOT IN BOEOTIA

Athenian generals collecting money from the allies retake Antandrus, which the Mytilenaeans are fortifying. Lamachus sails into the Pontus, loses his ships in the river Cales in a sudden flood, and marches overland to Calchedon. Demosthenes reaches Naupactus with forty ships. He and Hippocrates have a plan from Boeotians who want a democracy. Siphae on the coast is to be betrayed, with Demosthenes sailing against it, and Chaeronea by men from Orchomenus. On the same day the Athenians are to seize Delium, so that the Boeotians cannot gather at one place. Demosthenes then wins over Salynthius and the Agraeans and waits for the day.

τοῦ δ᾽ αὐτοῦ θέρους τῆς Ἀντάνδρου ὑπὸ τῶν Μυτιληναίων, 75.1
in-the and same summer — Antandrus by the Mytilenaeans
ὥσπερ διενοοῦντο, μελλούσης κατασκευάζεσθαι, οἱ τῶν
as they-intended being-about to-be-fortified the of-the
ἀργυρολόγων νεῶν Ἀθηναίων στρατηγοὶ Δημόδοκος καὶ
money-collecting ships of-Athenians generals Demodocus and
Ἀριστείδης, ὄντες περὶ Ἑλλήσποντον (ὁ γὰρ τρίτος αὐτῶν
Aristides being about Hellespont the for third of-them

Λάμαχος δέκα ναυσὶν ἐς τὸν Πόντον ἐσεπεπλεύκει)
Lamachus with-ten ships into — Pontus had-sailed
ὡς ἠσθάνοντο τὴν παρασκευὴν τοῦ χωρίου καὶ ἐδόκει
when they-perceived the preparation of-the place and it-seemed
αὐτοῖς δεινὸν εἶναι μὴ ὥσπερ τὰ Ἄναια ἐπὶ τῇ Σάμῳ
to-them dangerous to-be lest as — Anaea opposite — Samos
γένηται, ἔνθα οἱ φεύγοντες τῶν Σαμίων καταστάντες
it-become where the exiles of-the Samians having-established-themselves
τούς τε Πελοποννησίους ὠφέλουν ἐς τὰ ναυτικὰ
the both Peloponnesians helped in the naval-matters
κυβερνήτας πέμποντες καὶ τοὺς ἐν τῇ πόλει Σαμίους ἐς
helmsmen sending and the in the city Samians into
ταραχὴν καθίστασαν καὶ τοὺς ἐξιόντας ἐδέχοντο· οὕτω
confusion threw and those going-out received thus
δὴ ξυναγείραντες ἀπὸ τῶν ξυμμάχων στρατιὰν καὶ
indeed having-gathered from the allies an-army and
πλεύσαντες, μάχῃ τε νικήσαντες τοὺς ἐκ τῆς Ἀντάνδρου
having-sailed in-battle both having-defeated those from — Antandrus
ἐπεξελθόντας, ἀναλαμβάνουσι τὸ χωρίον πάλιν.
having-sallied-out recover the place again
75.2 καὶ οὐ πολὺ ὕστερον ἐς τὸν Πόντον ἐσπλεύσας Λάμαχος, ἐν
and not long later into — Pontus having-sailed Lamachus in
τῇ Ἡρακλεώτιδι ὁρμίσας ἐς τὸν Κάληται ποταμὸν ἀπόλλυσι
— Heracleot-territory having-anchored in — Cales river loses
τὰς ναῦς ὕδατος ἄνωθεν γενομένου καὶ κατελθόντος αἰφνιδίου
the ships rain from-above having-come and having-come-down suddenly
τοῦ ῥεύματος· αὐτὸς δὲ καὶ ἡ στρατιὰ πεζῇ διὰ Βιθυνῶν
the flood himself and and the army on-foot through Bithynian
Θρᾳκῶν, οἵ εἰσι πέραν ἐν τῇ Ἀσίᾳ, ἀφικνεῖται ἐς Καλχηδόνα
Thracians who are across in — Asia arrives at Calchedon
τὴν ἐπὶ τῷ στόματι τοῦ Πόντου Μεγαρέων ἀποικίαν.
the at the mouth — of-Pontus of-Megarians colony

ἐν δὲ τῷ αὐτῷ θέρει καὶ Δημοσθένης Ἀθηναίων στρατηγὸς 76.1
in and the same summer also Demosthenes of-Athenians general
τεσσαράκοντα ναυσὶν ἀφικνεῖται ἐς Ναύπακτον, εὐθὺς
with-forty ships arrives at Naupactus immediately
μετὰ τὴν ἐκ τῆς Μεγαρίδος ἀναχώρησιν.
after the from — Megarid withdrawal
τῷ γὰρ Ἱπποκράτει καὶ ἐκείνῳ τὰ Βοιώτια πράγματα ἀπό 76.2
— for with-Hippocrates and him the Boeotian affairs by
τινων ἀνδρῶν ἐν ταῖς πόλεσιν ἐπράσσετο, βουλομένων
some men in the cities were-being-negotiated wishing
μεταστῆσαι τὸν κόσμον καὶ ἐς δημοκρατίαν ὥσπερ οἱ
to-change the order and to democracy as the
Ἀθηναῖοι τρέψαι· καὶ Πτοιοδώρου μάλιστ' ἀνδρὸς φυγάδος
Athenians to-turn and Ptoeodorus most a-man exile
ἐκ Θηβῶν ἐσηγουμένου τάδε αὐτοῖς παρεσκευάσθη.
from Thebes leading these-things for-them were-prepared
Σίφας μὲν ἔμελλόν τινες προδώσειν (αἱ δὲ Σῖφαί εἰσι 76.3
Siphae indeed were-going some to-betray — and Siphae are
τῆς Θεσπικῆς γῆς ἐν τῷ Κρισαίῳ κόλπῳ ἐπιθαλασσίδιοι)·
of-the Thespian land on the Crisaean gulf on-the-sea
Χαιρώνειαν δέ, ἣ ἐς Ὀρχομενὸν τὸν Μινύειον πρότερον
Chaeronea and which with Orchomenus the Minyan formerly
καλούμενον, νῦν δὲ Βοιώτιον, ξυντελεῖ, ἄλλοι ἐξ Ὀρχομενοῦ
called now and Boeotian is-joined others from Orchomenus
ἐνεδίδοσαν, καὶ οἱ Ὀρχομενίων φυγάδες ξυνέπρασσον τὰ
were-handing-over and the of-Orchomenians exiles helped-negotiate the
μάλιστα καὶ ἄνδρας ἐμισθοῦντο ἐκ Πελοποννήσου (ἔστι
most and men hired from Peloponnese is
δὲ ἡ Χαιρώνεια ἔσχατον τῆς Βοιωτίας πρὸς τῇ Φανοτίδι
and — Chaeronea last-town — of-Boeotia toward — Phanotis
τῆς Φωκίδος), καὶ Φωκέων μετεῖχόν τινες.
— of-Phocis and of-Phocians took-part some

76.4 τοὺς δὲ Ἀθηναίους ἔδει Δήλιον καταλαβεῖν τὸ ἐν τῇ
the and Athenians had Delium to-seize the in —
Ταναγραίᾳ πρὸς Εὔβοιαν τετραμμένον Ἀπόλλωνος ἱερόν,
Tanagraean-land toward Euboea facing of-Apollo sanctuary
ἅμα δὲ ταῦτα ἐν ἡμέρᾳ ῥητῇ γίγνεσθαι, ὅπως
at-the-same-time and these-things on day stated to-happen so-that
μὴ ξυμβοηθήσωσιν ἐπὶ τὸ Δήλιον οἱ Βοιωτοὶ ἁθρόοι, ἀλλ᾽
not might-come-to-help to — Delium the Boeotians in-a-body but
ἐπὶ τὰ σφέτερα αὐτῶν ἕκαστοι κινούμενα.
to the their own each being-stirred
76.5 καὶ εἰ κατορθοῖτο ἡ πεῖρα καὶ τὸ Δήλιον τειχισθείη,
and if should-succeed the attempt and — Delium should-be-fortified
ῥᾳδίως ἤλπιζον, εἰ καὶ μὴ παραυτίκα νεωτερίζοιτό
easily they-hoped if even not at-once there-should-be-revolution
τι τῶν κατὰ τὰς πολιτείας τοῖς Βοιωτοῖς, ἐχομένων
something of-the about the constitutions for-the Boeotians being-held
τούτων τῶν χωρίων καὶ λῃστευομένης τῆς γῆς καὶ
these the places and being-plundered the land and
οὔσης ἑκάστοις διὰ βραχέος ἀποστροφῆς, οὐ μενεῖν
being for-each at short-distance a-refuge not to-remain
κατὰ χώραν τὰ πράγματα, ἀλλὰ χρόνῳ τῶν Ἀθηναίων
in place the affairs but in-time the Athenians
μὲν προσιόντων τοῖς ἀφεστηκόσι, τοῖς δὲ οὐκ οὔσης
indeed joining the revolted to-the-others and not being
ἁθρόας τῆς δυνάμεως, καταστήσειν αὐτὰ ἐς τὸ ἐπιτήδειον.
united the force to-settle them to the advantage
77.1 ἡ μὲν οὖν ἐπιβουλὴ τοιαύτη παρεσκευάζετο, ὁ δὲ
the indeed then plot such was-being-prepared — and
Ἱπποκράτης αὐτὸς μὲν ἐκ τῆς πόλεως δύναμιν ἔχων,
Hippocrates himself indeed from the city a-force having
ὁπότε καιρὸς εἴη, ἔμελλε στρατεύειν ἐς τοὺς Βοιωτούς,
whenever the-moment should-be was-about to-march into the Boeotians

τὸν δὲ Δημοσθένη προαπέστειλε ταῖς τεσσαράκοντα ναυσὶν
— *and Demosthenes he-sent-ahead with-the forty ships*
ἐς τὴν Ναύπακτον, ὅπως ἐξ ἐκείνων τῶν χωρίων στρατὸν
to — Naupactus so-that from those the places an-army
ξυλλέξας Ἀκαρνάνων τε καὶ τῶν ἄλλων ξυμμάχων
having-collected of-Acarnanians both and of-the other allies
πλέοι ἐπὶ τὰς Σίφας ὡς προδοθησομένας· ἡμέρα δ᾽
he-might-sail against — Siphae as going-to-be-betrayed day and
αὐτοῖς εἴρητο ᾗ ἔδει ἅμα ταῦτα πράσσειν.
for-them had-been-named on-which it-was-necessary at-once these-things to-do
καὶ ὁ μὲν Δημοσθένης ἀφικόμενος, Οἰνιάδας δὲ ὑπό τε 77.2
and — indeed Demosthenes having-arrived Oeniadae and by both
Ἀκαρνάνων πάντων κατηναγκασμένους καταλαβὼν ἐς τὴν
Acarnanians all having-been-compelled finding into the
Ἀθηναίων ξυμμαχίαν καὶ αὐτὸς ἀναστήσας τὸ ξυμμαχικὸν
of-Athenians alliance and himself having-raised the allied-force
τὸ ἐκείνῃ πᾶν, ἐπὶ Σαλύνθιον καὶ Ἀγραίους στρατεύσας
the there all against Salynthius and Agraeans having-marched
πρῶτον καὶ προσποιησάμενος τἆλλα ἡτοιμάζετο ὡς ἐπὶ
first and having-won-over the-rest prepared as for
τὰς Σίφας, ὅταν δέῃ, ἀπαντησόμενος.
— *Siphae when it-should-be-needed going-to-meet*

Brasidas marches north with seventeen hundred hoplites. Escorted by Thessalian friends, he talks his way past the Thessalians, whose people favor Athens, and reaches Perdiccas. The Chalcidians and Perdiccas, fearing Athens, had called him in, and the Spartans gladly sent seven hundred helots with him, wanting them out of the country. They had once picked out two thousand helots who claimed to be the bravest, and these disappeared, no one knew how. Brasidas proves just and moderate toward the cities, and his conduct later wins Sparta friends. Athens declares Perdiccas an enemy. Brasidas and Perdiccas march against Arrhabaeus of Lyncus, but Brasidas negotiates instead, and Perdiccas, angry, pays a smaller share of the army's keep.

78.1 Βρασίδας δὲ κατὰ τὸν αὐτὸν χρόνον τοῦ θέρους
Brasidas and about the same time of-the summer
πορευόμενος ἑπτακοσίοις καὶ χιλίοις ὁπλίταις ἐς τὰ ἐπὶ
marching with-seven-hundred and a-thousand hoplites to the in
Θρᾴκης ἐπειδὴ ἐγένετο ἐν Ἡρακλείᾳ τῇ ἐν Τραχῖνι καί,
Thrace when he-was at Heraclea the in Trachis and
προπέμψαντος αὐτοῦ ἄγγελον ἐς Φάρσαλον παρὰ τοὺς
having-sent-ahead he a-messenger to Pharsalus to the
ἐπιτηδείους, ἀξιοῦντος διάγειν ἑαυτὸν καὶ τὴν στρατιάν,
friends asking to-lead-through himself and the army
ἦλθον ἐς Μελίτειαν τῆς Ἀχαΐας Πάναιρός τε καὶ Δῶρος
came to Melitia — of-Achaea Panaerus both and Dorus
καὶ Ἱπολοχίδας καὶ Τορύλαος καὶ Στρόφακος πρόξενος
and Hippolochidas and Torylaus and Strophacus proxenus
ὢν Χαλκιδέων, τότε δὴ ἐπορεύετο.
being of-Chalcidians then indeed he-marched

78.2 ἦγον δὲ καὶ ἄλλοι Θεσσαλῶν αὐτὸν καὶ ἐκ Λαρίσης
led and also others of-Thessalians him and from Larisa
Νικονίδας Περδίκκᾳ ἐπιτήδειος ὤν. τὴν γὰρ Θεσσαλίαν
Niconidas to-Perdiccas friend being — for Thessaly

ἄλλως τε οὐκ εὔπορον ἦν διέναι ἄνευ ἀγωγοῦ καὶ μετὰ
otherwise both not easy was to-go-through without escort and with
ὅπλων γε δή, καὶ τοῖς πᾶσί γε ὁμοίως Ἕλλησιν
arms at-least indeed and to-the all at-least alike Greeks
ὕποπτον καθειστήκει τὴν τῶν πέλας μὴ πείσαντας
suspect had-become the of-the neighbors not having-persuaded
διέναι· τοῖς τε Ἀθηναίοις αἰεί ποτε τὸ πλῆθος τῶν
to-go-through for-the both Athenians always ever the commonalty of-the
Θεσσαλῶν εὔνουν ὑπῆρχεν.
Thessalians well-disposed was
ὥστε εἰ μὴ δυναστείᾳ μᾶλλον ἢ ἰσονομίᾳ ἐχρῶντο τὸ 78.3
so-that if not by-a-dynasty rather than by-equal-law used the
ἐγχώριον οἱ Θεσσαλοί, οὐκ ἄν ποτε προῆλθεν,
in-the-native-way the Thessalians not — ever he-would-have-got-through
ἐπεὶ καὶ τότε πορευομένῳ αὐτῷ ἀπαντήσαντες ἄλλοι τῶν
since even then marching him having-met others of-those
τἀναντία τούτοις βουλομένων ἐπὶ τῷ Ἐνιπεῖ ποταμῷ
the-opposite to-these wishing at — Enipeus river
ἐκώλυον καὶ ἀδικεῖν ἔφασαν ἄνευ τοῦ πάντων κοινοῦ
tried-to-stop and to-do-wrong said without the of-all common-consent
πορευόμενον.
marching
οἱ δὲ ἄγοντες οὔτε ἀκόντων ἔφασαν διάξειν, 78.4
those and leading neither against-their-will said to-lead-through
αἰφνίδιόν τε παραγενόμενον ξένοι ὄντες κομίζειν. ἔλεγε
suddenly both having-arrived friends being to-escort said
δὲ καὶ αὐτὸς ὁ Βρασίδας τῇ Θεσσαλῶν γῇ καὶ αὐτοῖς
and also himself — Brasidas to-the of-Thessalians land and to-them
φίλος ὢν ἰέναι καὶ Ἀθηναίοις πολεμίοις οὖσι καὶ οὐκ
friend being to-go and against-Athenians enemies being and not
ἐκείνοις ὅπλα ἐπιφέρειν, Θεσσαλοῖς τε οὐκ εἰδέναι καὶ
against-those arms to-bear to-Thessalians and not to-know and

Λακεδαιμονίοις ἔχθραν οὖσαν ὥστε τῇ ἀλλήλων γῇ μὴ
Lacedaemonians enmity existing so-that the each-other's land not
χρῆσθαι, νῦν τε ἀκόντων ἐκείνων οὐκ ἂν προελθεῖν (οὐδὲ
to-use now and unwilling they not — to-go-on not-even
γὰρ ἂν δύνασθαι), οὐ μέντοι ἀξιοῦν γε εἴργεσθαι.
for — to-be-able not however to-think-right at-least to-be-stopped
78.5 καὶ οἱ μὲν ἀκούσαντες ταῦτα ἀπῆλθον, ὁ δὲ κελευόντων
and they indeed having-heard these-things went-away he and urging
τῶν ἀγωγῶν, πρίν τι πλέον ξυστῆναι τὸ κωλῦσον,
the escorts before something more to-collect the going-to-prevent
ἐχώρει οὐδὲν ἐπισχὼν δρόμῳ. καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ,
went-on nothing having-waited at-a-run and this indeed the day
ᾗ ἐκ τῆς Μελιτείας ἀφώρμησεν, ἐς Φάρσαλόν τε
on-which from — Melitia he-set-out to Pharsalus both
ἐτέλεσε καὶ ἐστρατοπεδεύσατο ἐπὶ τῷ Ἀπιδανῷ ποταμῷ,
he-completed and encamped on — Apidanus river
ἐκεῖθεν δὲ ἐς Φάκιον, καὶ ἐξ αὐτοῦ ἐς Περραιβίαν.
from-there and to Phacium and from it to Perrhaebia
78.6 ἀπὸ δὲ τούτου ἤδη οἱ μὲν τῶν Θεσσαλῶν ἀγωγοὶ πάλιν
from and this now the indeed of-the Thessalians escorts back
ἀπῆλθον, οἱ δὲ Περραιβοὶ αὐτόν, ὑπήκοοι ὄντες Θεσσαλῶν,
went-away the and Perrhaebians him subjects being of-Thessalians
κατέστησαν ἐς Δῖον τῆς Περδίκκου ἀρχῆς, ὃ ὑπὸ τῷ
set to Dium of-the Perdiccas' realm which under —
Ὀλύμπῳ Μακεδονίας πρὸς Θεσσαλοὺς πόλισμα κεῖται.
Olympus of-Macedonia toward Thessalians a-town lies
79.1 τούτῳ τῷ τρόπῳ Βρασίδας Θεσσαλίαν φθάσας διέδραμε
in-this the way Brasidas Thessaly anticipating ran-through
πρίν τινα κωλύειν παρασκευάσασθαι, καὶ ἀφίκετο ὡς
before anyone to-hinder to-prepare and arrived to
Περδίκκαν καὶ ἐς τὴν Χαλκιδικήν.
Perdiccas and to — Chalcidice

ἐκ γὰρ τῆς Πελοποννήσου, ὡς τὰ τῶν Ἀθηναίων ηὐτύχει, 79.2
from for — Peloponnese when the of-the Athenians prospered
δείσαντες οἵ τε ἐπὶ Θρᾴκης ἀφεστῶτες Ἀθηναίων καὶ
having-feared those both in Thrace having-revolted from-Athenians and
Περδίκκας ἐξήγαγον τὸν στρατόν, οἱ μὲν Χαλκιδῆς
Perdiccas brought-out the army the indeed Chalcidians
νομίζοντες ἐπὶ σφᾶς πρῶτον ὁρμήσειν τοὺς Ἀθηναίους
thinking against them first to-set-out the Athenians
(καὶ ἅμα αἱ πλησιόχωροι πόλεις αὐτῶν αἱ οὐκ
and at-the-same-time the neighboring cities their the not
ἀφεστηκυῖαι ξυνεπῆγον κρύφα), Περδίκκας δὲ πολέμιος
having-revolted joined-in-inviting secretly Perdiccas and hostile
μὲν οὐκ ὢν ἐκ τοῦ φανεροῦ, φοβούμενος δὲ καὶ αὐτὸς τὰ
indeed not being from the open fearing and also himself the
παλαιὰ διάφορα τῶν Ἀθηναίων καὶ μάλιστα βουλόμενος
old differences with-the Athenians and most wishing
Ἀρραβαῖον τὸν Λυγκηστῶν βασιλέα παραστήσασθαι.
Arrhabaeus the of-Lyncestians king to-subdue
ξυνέβη δὲ αὐτοῖς, ὥστε ῥᾷον ἐκ τῆς Πελοποννήσου 79.3
it-happened and for-them so-that more-easily from — Peloponnese
στρατὸν ἐξαγαγεῖν, ἡ τῶν Λακεδαιμονίων ἐν τῷ παρόντι
an-army to-bring-out the of-the Lacedaemonians at the present
κακοπραγία.
ill-fortune
τῶν γὰρ Ἀθηναίων ἐγκειμένων τῇ Πελοποννήσῳ καὶ οὐχ 80.1
the for Athenians pressing-hard-on — Peloponnese and not
ἥκιστα τῇ ἐκείνων γῇ ἤλπιζον ἀποτρέψειν αὐτοὺς μάλιστα,
least the their land they-hoped to-divert them most
εἰ ἀντιπαραλυποῖεν πέμψαντες ἐπὶ τοὺς ξυμμάχους
if they-should-harass-in-return having-sent against the allies

αὐτῶν στρατιάν, ἄλλως τε καὶ ἑτοίμων ὄντων τρέφειν
their an-army otherwise both and ready being to-maintain-it
τε καὶ ἐπὶ ἀποστάσει σφᾶς ἐπικαλουμένων.
both and for revolt them calling-in
80.2 καὶ ἅμα τῶν Εἱλώτων βουλομένοις ἦν ἐπὶ
and at-the-same-time of-the Helots to-them-wishing it-was on
προφάσει ἐκπέμψαι, μή τι πρὸς τὰ παρόντα τῆς
a-pretext to-send-out lest anything at the present —
Πύλου ἐχομένης νεωτερίσωσιν·
Pylos being-held they-should-revolt
80.3 ἐπεὶ καὶ τόδε ἔπραξαν φοβούμενοι αὐτῶν τὴν σκαιότητα
since even this they-did fearing their the perversity
καὶ τὸ πλῆθος (αἰεὶ γὰρ τὰ πολλὰ Λακεδαιμονίοις πρὸς
and the number always for the most-things for-Lacedaemonians toward
τοὺς Εἵλωτας τῆς φυλακῆς πέρι μάλιστα καθειστήκει)·
the Helots the guarding about mostly had-been-established
προεῖπον αὐτῶν ὅσοι ἀξιοῦσιν ἐν τοῖς πολέμοις
they-proclaimed of-them as-many-as claim in the wars
γεγενῆσθαι σφίσιν ἄριστοι, κρίνεσθαι, ὡς ἐλευθερώσοντες,
to-have-proved for-them best to-be-picked-out as going-to-free-them
πεῖραν ποιούμενοι καὶ ἡγούμενοι τούτους σφίσιν ὑπὸ
a-test making and thinking these against-them from
φρονήματος, οἵπερ καὶ ἠξίωσαν πρῶτος ἕκαστος
spirit who-indeed also claimed first each
ἐλευθεροῦσθαι, μάλιστα ἂν καὶ ἐπιθέσθαι.
to-be-freed most — also to-attack
80.4 καὶ προκρίναντες ἐς δισχιλίους, οἱ μὲν ἐστεφανώσαντό
and having-selected up-to two-thousand they indeed crowned-themselves
τε καὶ τὰ ἱερὰ περιῆλθον ὡς ἠλευθερωμένοι, οἱ δὲ οὐ
both and the temples went-round as freed they and not

πολλῷ ὕστερον ἠφάνισάν τε αὐτοὺς καὶ οὐδεὶς ᾔσθετο
much later made-away-with both them and no-one perceived
ὅτῳ τρόπῳ ἕκαστος διεφθάρη.
in-what way each was-destroyed
καὶ τότε προθύμως τῷ Βρασίδᾳ αὐτῶν ξυνέπεμψαν 80.5
and then eagerly — with-Brasidas of-them they-sent
ἑπτακοσίους ὁπλίτας, τοὺς δ' ἄλλους ἐκ τῆς Πελοποννήσου
seven-hundred hoplites the and others from — Peloponnese
μισθῷ πείσας ἐξήγαγεν.
by-pay having-persuaded he-brought-out
αὐτόν τε Βρασίδαν βουλόμενον μάλιστα Λακεδαιμόνιοι 81.1
him both Brasidas wishing most Lacedaemonians
ἀπέστειλαν (προυθυμήθησαν δὲ καὶ οἱ Χαλκιδῆς), ἄνδρα ἔν
sent-off were-eager and also the Chalcidians a-man in
τε τῇ Σπάρτῃ δοκοῦντα δραστήριον εἶναι ἐς τὰ πάντα καὶ
both — Sparta seeming energetic to-be in the all-things and
ἐπειδὴ ἐξῆλθε πλείστου ἄξιον Λακεδαιμονίοις γενόμενον.
when he-went-out of-most worth to-Lacedaemonians having-become
τό τε γὰρ παραυτίκα ἑαυτὸν παρασχὼν δίκαιον καὶ μέτριον 81.2
the both for at-once himself showing just and moderate
ἐς τὰς πόλεις ἀπέστησε τὰ πολλά, τὰ δὲ προδοσίᾳ εἷλε
toward the cities he-detached the most the and by-betrayal took
τῶν χωρίων, ὥστε τοῖς Λακεδαιμονίοις γίγνεσθαι ξυμβαίνειν
of-the places so-that for-the Lacedaemonians to-come-about to-come-to-terms
τε βουλομένοις, ὅπερ ἐποίησαν, ἀνταπόδοσιν καὶ ἀποδοχὴν
both wishing which-very they-did exchange and restoration
χωρίων καὶ τοῦ πολέμου ἀπὸ τῆς Πελοποννήσου λώφησιν· ἔς
of-places and of-the war from — Peloponnese relief to
τε τὸν χρόνῳ ὕστερον μετὰ τὰ ἐκ Σικελίας πόλεμον ἡ τότε
and the in-time later after the from Sicily war the then
Βρασίδου ἀρετὴ καὶ ξύνεσις, τῶν μὲν πείρᾳ αἰσθομένων,
Brasidas' merit and intelligence of-those indeed by-trial having-perceived-it

τῶν δὲ ἀκοῇ νομισάντων, μάλιστα ἐπιθυμίαν ἐνεποίει
of-the-others and by-hearsay having-believed most a-desire produced
τοῖς Ἀθηναίων ξυμμάχοις ἐς τοὺς Λακεδαιμονίους.
in-the of-Athenians allies toward the Lacedaemonians
81.3 πρῶτος γὰρ ἐξελθὼν καὶ δόξας εἶναι κατὰ πάντα
first for having-gone-out and having-seemed to-be in all-respects
ἀγαθὸς ἐλπίδα ἐγκατέλιπε βέβαιον ὡς καὶ οἱ ἄλλοι
good a-hope he-left-behind sure that also the others
τοιοῦτοί εἰσιν.
such are
82.1 τότε δ' οὖν ἀφικομένου αὐτοῦ ἐς τὰ ἐπὶ Θράκης οἱ
then and then having-arrived he at the in Thrace the
Ἀθηναῖοι πυθόμενοι τόν τε Περδίκκαν πολέμιον ποιοῦνται,
Athenians having-learned — both Perdiccas an-enemy make
νομίσαντες αἴτιον εἶναι τῆς παρόδου, καὶ τῶν ταύτῃ
thinking responsible to-be for-the passage and of-the there
ξυμμάχων φυλακὴν πλέονα κατεστήσαντο.
allies a-guard greater established
83.1 Περδίκκας δὲ Βρασίδαν καὶ τὴν στρατιὰν εὐθὺς λαβὼν
Perdiccas and Brasidas and the army at-once taking
μετὰ τῆς ἑαυτοῦ δυνάμεως στρατεύει ἐπὶ Ἀρραβαῖον τὸν
with the his-own force marches against Arrhabaeus the
Βρομεροῦ Λυγκηστῶν Μακεδόνων βασιλέα ὅμορον ὄντα,
son-of-Bromerus of-Lyncestian Macedonians king neighboring being
διαφορᾶς τε αὐτῷ οὔσης καὶ βουλόμενος καταστρέψασθαι.
a-difference both with-him being and wishing to-subdue-him
83.2 ἐπεὶ δὲ ἐγένετο τῷ στρατῷ μετὰ τοῦ Βρασίδου ἐπὶ
when and he-was with-the army with — Brasidas at
τῇ ἐσβολῇ τῆς Λύγκου, Βρασίδας λόγοις ἔφη βούλεσθαι
the pass — of-Lyncus Brasidas in-words said to-wish

πρῶτον ἐλθὼν πρὸ πολέμου Ἀρραβαῖον ξύμμαχον
first having-gone before war Arrhabaeus ally
Λακεδαιμονίων, ἢν δύνηται, ποιῆσαι.
of-Lacedaemonians if he-can to-make
καὶ γάρ τι καὶ Ἀρραβαῖος ἐπεκηρυκεύετο, ἑτοῖμος ὢν 83.3
and for somewhat also Arrhabaeus sent-heralds ready being
Βρασίδᾳ μέσῳ δικαστῇ ἐπιτρέπειν· καὶ οἱ Χαλκιδέων
to-Brasidas as-intermediate arbiter to-refer and the of-Chalcidians
πρέσβεις ξυμπαρόντες ἐδίδασκον αὐτὸν μὴ ὑπεξελεῖν τῷ
envoys being-present-with instructed him not to-remove —
Περδίκκᾳ τὰ δεινά, ἵνα προθυμοτέρῳ ἔχοιεν καὶ
for-Perdiccas the dangers so-that more-eager they-might-have-him also
ἐς τὰ ἑαυτῶν χρῆσθαι.
for the their-own to-use
ἅμα δέ τι καὶ εἰρήκεσαν τοιοῦτον οἱ παρὰ 83.4
at-the-same-time and something also had-said such those from
τοῦ Περδίκκου ἐν τῇ Λακεδαίμονι, ὡς πολλὰ αὐτοῖς τῶν
— Perdiccas in — Lacedaemon that many to-them of-the
περὶ αὑτὸν χωρίων ξύμμαχα ποιήσοι, ὥστε ἐκ τοῦ
around himself places allied he-would-make so-that from the
τοιούτου κοινῇ μᾶλλον ὁ Βρασίδας τὰ τοῦ Ἀρραβαίου
such in-common rather — Brasidas the — of-Arrhabaeus
ἠξίου πράσσειν.
thought-fit to-handle
Περδίκκας δὲ οὔτε δικαστὴν ἔφη Βρασίδαν τῶν σφετέρων 83.5
Perdiccas and neither arbiter said Brasidas of-the their-own
διαφορῶν ἀγαγεῖν, μᾶλλον δὲ καθαιρέτην ὧν
differences to-have-brought rather but destroyer of-whatever
ἂν αὐτὸς ἀποφαίνῃ πολεμίων, ἀδικήσειν τε εἰ αὐτοῦ
— he-himself might-declare enemies to-do-wrong and if him
τρέφοντος τὸ ἥμισυ τοῦ στρατοῦ ξυνέσται Ἀρραβαίῳ.
maintaining the half of-the army he-will-join Arrhabaeus

83.6 ὁ δὲ ἄκοντος καὶ ἐκ διαφορᾶς ξυγγίγνεται, καὶ πεισθεὶς
he and against-his-will and from difference meets and persuaded
τοῖς λόγοις ἀπήγαγε τὴν στρατιὰν πρὶν ἐσβαλεῖν ἐς τὴν
by-the words led-off the army before to-invade into the
χώραν. Περδίκκας δὲ μετὰ τοῦτο τρίτον μέρος ἀνθ᾽
country Perdiccas and after this a-third part instead-of
ἡμίσεος τῆς τροφῆς ἐδίδου, νομίζων ἀδικεῖσθαι.
half of-the maintenance gave thinking to-be-wronged

XVI · BRASIDAS AT ACANTHUS

Brasidas marches on Acanthus just before the vintage. The Acanthians are divided between those who conspire with the Chalcidians and the people. For fear of their fruit they let him enter alone to speak, and he speaks well, for a Spartan.

84.1 ἐν δὲ τῷ αὐτῷ θέρει εὐθὺς ὁ Βρασίδας ἔχων καὶ
in and the same summer at-once — Brasidas having also
Χαλκιδέας ἐπὶ Ἄκανθον τὴν Ἀνδρίων ἀποικίαν ὀλίγον
Chalcidians against Acanthus the of-Andrians colony a-little
πρὸ τρυγήτου ἐστράτευσεν.
before vintage marched

84.2 οἱ δὲ περὶ τοῦ δέχεσθαι αὐτὸν κατ᾽ ἀλλήλους ἐστασίαζον,
they and about the to-receive him among one-another were-divided
οἵ τε μετὰ τῶν Χαλκιδέων ξυνεπάγοντες καὶ ὁ δῆμος.
those both with the Chalcidians joining-in-inviting and the populace
ὅμως δὲ διὰ τοῦ καρποῦ τὸ δέος ἔτι ἔξω ὄντος
nevertheless and because-of the fruit the fear still outside being
πεισθὲν τὸ πλῆθος ὑπὸ τοῦ Βρασίδου δέξασθαί τε
persuaded the multitude by — Brasidas to-receive both
αὐτὸν μόνον καὶ ἀκούσαντας βουλεύσασθαι, δέχεται· καὶ
him alone and having-heard to-deliberate receives and

καταστὰς ἐπὶ τὸ πλῆθος (ἦν δὲ οὐδὲ ἀδύνατος, ὡς
having-stood before the multitude he-was and not-even incapable for
Λακεδαιμόνιος, εἰπεῖν) ἔλεγε τοιάδε.
a-Lacedaemonian to-speak spoke as-follows

XVII · THE SPEECH AT ACANTHUS

Brasidas says that Sparta has sent him to free Greece from Athens, as it promised at the war's start, and he is surprised to find the gates shut. He has come at risk through foreign territory and does not mean to impose a faction. The Spartan authorities have sworn that the cities he wins will be autonomous. If the Acanthians refuse freedom, he will ravage their land and force them, since their tribute strengthens Athens and their example holds others back. After much debate the Acanthians vote in secret to revolt, partly for his words and partly for their harvest. Stagirus follows.

‘Ἡ μὲν ἔκπεμψίς μου καὶ τῆς στρατιᾶς ὑπὸ 85.1
the indeed sending-out of-me and of-the army by
Λακεδαιμονίων, ὦ Ἀκάνθιοι, γεγένηται τὴν αἰτίαν
Lacedaemonians O Acanthians has-come-about the cause
ἐπαληθεύουσα ἣν ἀρχόμενοι τοῦ πολέμου προείπομεν,
confirming which beginning the war we-proclaimed
Ἀθηναίοις ἐλευθεροῦντες τὴν Ἑλλάδα πολεμήσειν·
against-Athenians freeing — Greece to-make-war
εἰ δὲ χρόνῳ ἐπήλθομεν, σφαλέντες τῆς ἀπὸ τοῦ ἐκεῖ 85.2
if and late we-have-come disappointed of-the from the there
πολέμου δόξης, ᾗ διὰ τάχους αὐτοὶ ἄνευ τοῦ
war expectation by-which with speed ourselves without the
ὑμετέρου κινδύνου ἠλπίσαμεν Ἀθηναίους καθαιρήσειν,
your danger we-hoped Athenians to-destroy

μηδεὶς μεμφθῇ· νῦν γάρ, ὅτε παρέσχεν, ἀφιγμένοι καὶ
let-no-one blame-us now for when it-was-possible having-arrived also
μετὰ ὑμῶν πειρασόμεθα κατεργάζεσθαι αὐτούς.
with you we-shall-try to-subdue them

85.3 θαυμάζω δὲ τῇ τε ἀποκλῄσει μου τῶν πυλῶν, καὶ εἰ
I-wonder and at-the both shutting of-me of-the gates and if
μὴ ἀσμένοις ὑμῖν ἀφῖγμαι.
not to-glad you I-have-come

85.4 ἡμεῖς μὲν γὰρ οἱ Λακεδαιμόνιοι οἰόμενοί τε παρὰ
we indeed for the Lacedaemonians thinking both to
ξυμμάχους, καὶ πρὶν ἔργῳ ἀφικέσθαι, τῇ γοῦν γνώμῃ ἥξειν
allies and before in-deed to-arrive in-the at-least mind to-come
καὶ βουλομένοις ἔσεσθαι, κίνδυνον τοσόνδε ἀνερρίψαμεν
and to-willing to-be danger so-great we-cast-ourselves-into
διὰ τῆς ἀλλοτρίας πολλῶν ἡμερῶν ὁδὸν ἰόντες καὶ πᾶν
through the foreign-land of-many days road going and all
τὸ πρόθυμον παρεχόμενοι·
the zeal showing

85.5 ὑμεῖς δὲ εἴ τι ἄλλο ἐν νῷ ἔχετε ἢ εἰ ἐναντιώσεσθε
you and if anything else in mind you-have or if you-will-oppose
τῇ τε ὑμετέρᾳ αὐτῶν ἐλευθερίᾳ καὶ τῶν ἄλλων Ἑλλήνων,
the both your own freedom and of-the other Greeks
δεινὸν ἂν εἴη.
dreadful — it-would-be

85.6 καὶ γὰρ οὐ μόνον ὅτι αὐτοὶ ἀνθίστασθε, ἀλλὰ καὶ οἷς
and for not only that yourselves resist but also to-whom-ever
ἂν ἐπίω, ἧσσόν τις ἐμοὶ πρόσεισι, δυσχερὲς ποιούμενοι
— I-may-come less anyone me will-come-over difficulty making
εἰ ἐπὶ οὓς πρῶτον ἦλθον ὑμᾶς, καὶ πόλιν ἀξιόχρεων
if to whom first I-came you both a-city worthy
παρεχομένους καὶ ξύνεσιν δοκοῦντας ἔχειν, μὴ ἐδέξασθε·
offering and intelligence seeming to-have not received

καὶ τὴν αἰτίαν οὐχ ἕξω πιστὴν ἀποδεικνύναι, ἀλλ᾽ ἢ
and the cause not I-shall-have credible to-show but either
ἄδικον τὴν ἐλευθερίαν ἐπιφέρειν ἢ ἀσθενὴς καὶ ἀδύνατος
unjust the freedom to-bring or weak and powerless
τιμωρῆσαι τὰ πρὸς Ἀθηναίους, ἢν ἐπίωσιν, ἀφῖχθαι.
to-avenge the-things with Athenians if they-attack to-have-come
καίτοι στρατιᾷ γε τῇδ᾽ ἣν νῦν ἔχω ἐπὶ Νίσαιαν 85.7
and-yet with-army at-least this which now I-have to Nisaea
ἐμοῦ βοηθήσαντος οὐκ ἠθέλησαν Ἀθηναῖοι πλέονες ὄντες
me having-come-to-help not were-willing Athenians more being
προσμεῖξαι, ὥστε οὐκ εἰκὸς νηίτῃ γε αὐτοὺς τῷ
to-engage so-that not likely with-a-naval at-least them to-the
ἐν Νισαίᾳ στρατῷ ἴσον πλῆθος ἐφ᾽ ὑμᾶς ἀποστεῖλαι.
at Nisaea army equal number against you to-send
αὐτός τε οὐκ ἐπὶ κακῷ, ἐπ᾽ ἐλευθερώσει δὲ τῶν Ἑλλήνων 86.1
myself and not for harm for liberation but of-the Greeks
παρελήλυθα, ὅρκοις τε Λακεδαιμονίων καταλαβὼν τὰ
have-come with-oaths both of-Lacedaemonians having-bound the
τέλη τοῖς μεγίστοις ἦ μὴν οὓς ἂν ἔγωγε
magistrates the greatest truly indeed whom-ever — I
προσαγάγωμαι ξυμμάχους ἔσεσθαι αὐτονόμους, καὶ
win-over allies to-be independent and
ἅμα οὐχ ἵνα ξυμμάχους ὑμᾶς ἔχωμεν ἢ βίᾳ ἢ
at-the-same-time not so-that allies you we-may-have either by-force or
ἀπάτῃ προσλαβόντες, ἀλλὰ τοὐναντίον ὑμῖν δεδουλωμένοις
by-deceit having-gained but the-contrary to-you enslaved
ὑπὸ Ἀθηναίων ξυμμαχήσοντες.
by Athenians going-to-fight-as-allies

86.2 οὔκουν ἀξιῶ οὔτ' αὐτὸς ὑποπτεύεσθαι, πίστεις γε
not-then I-think-it-right neither myself to-be-suspected pledges at-least
διδοὺς τὰς μεγίστας, οὐδὲ τιμωρὸς ἀδύνατος νομισθῆναι,
giving the greatest nor avenger powerless to-be-thought
προσχωρεῖν τε ὑμᾶς θαρσήσαντας.
to-come-over and you having-taken-courage

86.3 καὶ εἴ τις ἰδίᾳ τινὰ δεδιὼς ἄρα, μὴ ἐγώ τισι
and if anyone privately someone fearing after-all lest I to-some
προσθῶ τὴν πόλιν, ἀπρόθυμός ἐστι, πάντων μάλιστα
may-hand-over the city reluctant is of-all most
πιστευσάτω.
let-him-trust

86.4 οὐ γὰρ ξυστασιάσων ἥκω, οὐδὲ ἂν σαφῆ τὴν ἐλευθερίαν
not for to-join-faction I-have-come nor — clear the freedom
νομίζω ἐπιφέρειν, εἰ τὸ πάτριον παρεὶς τὸ πλέον τοῖς
I-think to-bring if the ancestral setting-aside the more to-the
ὀλίγοις ἢ τὸ ἔλασσον τοῖς πᾶσι δουλώσαιμι.
few or the less to-the all I-should-enslave

86.5 χαλεπωτέρα γὰρ ἂν τῆς ἀλλοφύλου ἀρχῆς εἴη, καὶ ἡμῖν
harsher for — than-the foreign rule it-would-be and for-us
τοῖς Λακεδαιμονίοις οὐκ ἂν ἀντὶ πόνων χάρις καθίσταιτο,
the Lacedaemonians not — for toils gratitude would-result
ἀντὶ δὲ τιμῆς καὶ δόξης αἰτία μᾶλλον· οἷς τε τοὺς
for and honor and glory blame rather with-what and the
Ἀθηναίους ἐγκλήμασι καταπολεμοῦμεν, αὐτοὶ ἂν φαινοίμεθα
Athenians charges we-war-down ourselves — would-appear
ἐχθίονα ἢ ὁ μὴ ὑποδείξας ἀρετὴν κατακτώμενοι.
more-hateful than he not having-shown virtue acquiring

86.6 ἀπάτῃ γὰρ εὐπρεπεῖ αἴσχιον τοῖς γε ἐν ἀξιώματι
by-deceit for specious more-shameful for-those at-least in high-station
πλεονεκτῆσαι ἢ βίᾳ ἐμφανεῖ· τὸ μὲν γὰρ ἰσχύος
to-gain-advantage than by-force open the-one indeed for of-strength

δικαιώσει, ἣν ἡ τύχη ἔδωκεν, ἐπέρχεται, τὸ δὲ
by-right which the fortune gave comes-on the-other and
γνώμης ἀδίκου ἐπιβουλῇ.
of-judgment unjust by-plotting
οὕτω πολλὴν περιωπὴν τῶν ἡμῖν ἐς τὰ μέγιστα διαφόρων 87.1
so great circumspection of-the to-us at the greatest differing-matters
ποιούμεθα, καὶ οὐκ ἂν μείζω πρὸς τοῖς ὅρκοις βεβαίωσιν
we-make and not — greater besides the oaths assurance
λάβοιτε ἢ οἷς τὰ ἔργα ἐκ τῶν λόγων ἀναθρούμενα
you-could-get than in-whom the deeds from the words being-examined
δόκησιν ἀναγκαίαν παρέχεται ὡς καὶ ξυμφέρει ὁμοίως
belief necessary provide that also it-is-advantageous alike
ὡς εἶπον.
as I-said
Εἰ δ' ἐμοῦ ταῦτα προϊσχομένου ἀδύνατοι μὲν φήσετε 87.2
if and me these-things offering unable indeed you-shall-say
εἶναι, εὖνοι δ' ὄντες ἀξιώσετε μὴ κακούμενοι
to-be well-disposed but being you-shall-think-fit not being-harmed
διωθεῖσθαι καὶ τὴν ἐλευθερίαν μὴ ἀκίνδυνον ὑμῖν φαίνεσθαι,
to-reject and the freedom not without-danger to-you to-appear
δίκαιόν τε εἶναι, οἷς καὶ δυνατὸν δέχεσθαι αὐτήν,
just both to-be to-whom also possible to-receive it
τούτοις καὶ ἐπιφέρειν, ἄκοντα δὲ μηδένα προσαναγκάζειν,
to-these also to-offer unwilling but no-one to-compel
μάρτυρας μὲν θεοὺς καὶ ἥρως τοὺς ἐγχωρίους ποιήσομαι
witnesses indeed gods and heroes the local I-shall-make
ὡς ἐπ' ἀγαθῷ ἥκων οὐ πείθω, γῆν δὲ τὴν ὑμετέραν
that for good coming not I-persuade land but the your
δῃῶν πειράσομαι βιάζεσθαι,
ravaging I-shall-try to-force

87.3 καὶ οὐκ ἀδικεῖν ἔτι νομιῶ, προσεῖναι δέ τί μοι καὶ
and not to-do-wrong still I-shall-think to-be-present but something to-me also
κατὰ δύο ἀνάγκας τὸ εὔλογον, τῶν μὲν Λακεδαιμονίων,
by two necessities the reasonable of-the indeed Lacedaemonians
ὅπως μὴ τῷ ὑμετέρῳ εὔνῳ, εἰ μὴ προσαχθήσεσθε,
so-that not by-the your goodwill if not you-will-be-brought-over
τοῖς ἀπὸ ὑμῶν χρήμασι φερομένοις παρ' Ἀθηναίους
by-the from you money being-paid to Athenians
βλάπτωνται, οἱ δὲ Ἕλληνες ἵνα μὴ κωλύωνται ὑφ'
they-be-harmed the and Greeks so-that not they-be-hindered by
ὑμῶν δουλείας ἀπαλλαγῆναι.
you from-slavery to-be-freed

87.4 οὐ γὰρ δὴ εἰκότως γ' ἂν τάδε πράσσοιμεν, οὐδὲ
not for indeed reasonably at-least — these-things we-would-do nor
ὀφείλομεν οἱ Λακεδαιμόνιοι μὴ κοινοῦ τινὸς ἀγαθοῦ
we-are-obliged the Lacedaemonians not of-common some good
αἰτίᾳ τοὺς μὴ βουλομένους ἐλευθεροῦν·
on-account the not wishing to-free

87.5 οὐδ' αὖ ἀρχῆς ἐφιέμεθα, παῦσαι δὲ μᾶλλον ἑτέρους
nor again empire we-desire to-stop but rather others
σπεύδοντες τοὺς πλείους ἂν ἀδικοῖμεν, εἰ ξύμπασιν
hastening the most — we-would-wrong if to-all
αὐτονομίαν ἐπιφέροντες ὑμᾶς τοὺς ἐναντιουμένους
independence bringing you the opposing
περιίδοιμεν.
we-should-overlook

87.6 πρὸς ταῦτα βουλεύεσθε εὖ, καὶ ἀγωνίσασθε τοῖς τε
in-view-of these-things deliberate well and strive for-the both
Ἕλλησιν ἄρξαι πρῶτοι ἐλευθερίας καὶ ἀίδιον δόξαν
Greeks to-begin first freedom and everlasting glory

καταθέσθαι, καὶ αὐτοὶ τά τε ἴδια μὴ βλαφθῆναι
to-lay-up and yourselves the both private-interests not to-be-harmed
καὶ ξυμπάσῃ τῇ πόλει τὸ κάλλιστον ὄνομα περιθεῖναι.'
and for-the-whole the city the fairest name to-put-on
ὁ μὲν Βρασίδας τοσαῦτα εἶπεν. οἱ δὲ Ἀκάνθιοι, πολλῶν 88.1
— indeed Brasidas so-much said the and Acanthians many-things
λεχθέντων πρότερον ἐπ' ἀμφότερα, κρύφα διαψηφισάμενοι,
having-been-said before on both-sides secretly having-voted
διά τε τὸ ἐπαγωγὰ εἰπεῖν τὸν Βρασίδαν καὶ
because-of both the enticing to-have-spoken — Brasidas and
περὶ τοῦ καρποῦ φόβῳ ἔγνωσαν οἱ πλείους ἀφίστασθαι
about the fruit from-fear decided the most to-revolt
Ἀθηναίων, καὶ πιστώσαντες αὐτὸν τοῖς ὅρκοις οὓς τὰ
from-Athenians and having-bound him with-the oaths which the
τέλη τῶν Λακεδαιμονίων ὀμόσαντα αὐτὸν ἐξέπεμψαν,
magistrates of-the Lacedaemonians having-sworn him sent-out
ἢ μὴν ἔσεσθαι ξυμμάχους αὐτονόμους οὓς ἂν
truly indeed to-be allies independent whom-ever —
προσαγάγηται, οὕτω δέχονται τὸν στρατόν.
he-wins-over thus receive the army
καὶ οὐ πολὺ ὕστερον καὶ Στάγιρος Ἀνδρίων ἀποικία 88.2
and not long later also Stagirus of-Andrians colony
ξυναπέστη. ταῦτα μὲν οὖν ἐν τῷ θέρει τούτῳ ἐγένετο.
joined-in-revolt these-things indeed then in the summer this happened

In the winter Demosthenes sails to Siphae too early. The plot has been betrayed, and the Boeotians are waiting, so nothing happens there. Hippocrates marches out with the whole levy of Athens, citizens, resident aliens, and foreigners, to Delium, the temple of Apollo near Tanagra. In a few days they dig a ditch and raise a wall around the temple. Most of the light troops start home. The Boeotians gather at Tanagra, and most of their commanders do not want to fight now that the Athenians have left Boeotia. Pagondas, one of the Thebans, urges them to attack.

89.1 τοῦ δ' ἐπιγιγνομένου χειμῶνος εὐθὺς ἀρχομένου, ὡς τῷ
in-the and following winter at-once beginning when —
Ἱπποκράτει καὶ Δημοσθένει στρατηγοῖς οὖσιν Ἀθηναίων
to-Hippocrates and Demosthenes generals being of-Athenians
τὰ ἐν τοῖς Βοιωτοῖς ἐνεδίδοτο καὶ ἔδει τὸν
the-things in the Boeotians were-being-betrayed and it-was-necessary —
μὲν Δημοσθένη ταῖς ναυσὶν ἐς τὰς Σίφας ἀπαντῆσαι,
indeed Demosthenes with-the ships at — Siphae to-appear
τὸν δ' ἐπὶ τὸ Δήλιον, γενομένης διαμαρτίας τῶν
the-other and at — Delium having-happened a-mistake of-the
ἡμερῶν ἐς ἃς ἔδει ἀμφοτέρους στρατεύειν, ὁ
days on which it-was-necessary both to-march —
μὲν Δημοσθένης πρότερον πλεύσας πρὸς τὰς Σίφας
indeed Demosthenes earlier having-sailed to — Siphae
καὶ ἔχων ἐν ταῖς ναυσὶν Ἀκαρνᾶνας καὶ τῶν ἐκεῖ
and having on the ships Acarnanians and of-the there
πολλοὺς ξυμμάχων, ἄπρακτος γίγνεται μηνυθέντος τοῦ
many allies unsuccessful becomes having-been-disclosed the
ἐπιβουλεύματος ὑπὸ Νικομάχου ἀνδρὸς Φωκέως ἐκ
plot by Nicomachus a-man Phocian from
Φανοτέως, ὃς Λακεδαιμονίοις εἶπεν, ἐκεῖνοι δὲ Βοιωτοῖς·
Phanoteus who to-Lacedaemonians told they and to-Boeotians

καὶ βοηθείας γενομένης πάντων Βοιωτῶν (οὐ γάρ πω 89.2
and help having-come of-all Boeotians not for yet
Ἱπποκράτης παρελύπει ἐν τῇ γῇ ὤν) προκαταλαμβάνονται αἵ
Hippocrates was-harassing in the land being are-occupied-first —
τε Σῖφαι καὶ ἡ Χαιρώνεια. ὡς δὲ ᾔσθοντο οἱ πράσσοντες
both Siphae and — Chaeronea when and perceived those negotiating
τὸ ἁμάρτημα, οὐδὲν ἐκίνησαν τῶν ἐν ταῖς πόλεσιν.
the mistake nothing they-stirred of-the in the cities
ὁ δὲ Ἱπποκράτης ἀναστήσας Ἀθηναίους πανδημεί, 90.1
— and Hippocrates having-raised Athenians in-full-force
αὐτοὺς καὶ τοὺς μετοίκους καὶ ξένων ὅσοι παρῆσαν
themselves and the metics and of-foreigners as-many-as were-present
ὕστερος ἀφικνεῖται ἐπὶ τὸ Δήλιον, ἤδη τῶν Βοιωτῶν
later arrives at — Delium already the Boeotians
ἀνακεχωρηκότων ἀπὸ τῶν Σιφῶν· καὶ καθίσας τὸν
having-withdrawn from — Siphae and having-encamped the
στρατὸν Δήλιον ἐτείχιζε τοιῷδε τρόπῳ.
army Delium fortified in-the-following way
τάφρον μὲν κύκλῳ περὶ τὸ ἱερὸν καὶ τὸν νεὼν ἔσκαπτον, 90.2
a-ditch indeed in-a-circle round the sanctuary and the temple they-dug
ἐκ δὲ τοῦ ὀρύγματος ἀνέβαλλον ἀντὶ τείχους τὸν χοῦν,
from and the trench they-threw-up for wall the earth
καὶ σταυροὺς παρακαταπηγνύντες, ἄμπελον κόπτοντες
and stakes fixing-beside vines cutting
τὴν περὶ τὸ ἱερὸν ἐσέβαλλον καὶ λίθους ἅμα καὶ
the round the sanctuary they-threw-in and stones at-the-same-time and
πλίνθον ἐκ τῶν οἰκοπέδων τῶν ἐγγὺς καθαιροῦντες, καὶ
brick from the houses the near pulling-down and
παντὶ τρόπῳ ἐμετεώριζον τὸ ἔρυμα. πύργους τε ξυλίνους
by-every way raised the fortification towers and wooden

κατέστησαν ᾗ καιρὸς ἦν καὶ τοῦ ἱεροῦ οἰκοδόμημα
they-set-up where opportunity was and of-the sanctuary building
οὐδὲν ὑπῆρχεν· ἥπερ γὰρ ἦν στοὰ κατεπεπτώκει.
none was-left which-very for was colonnade had-collapsed

90.3 ἡμέρᾳ δὲ ἀρξάμενοι τρίτῃ ὡς οἴκοθεν ὥρμησαν ταύτην
on-day and having-begun third since from-home they-had-set-out this
τε εἰργάζοντο καὶ τὴν τετάρτην καὶ τῆς πέμπτης μέχρι
both they-worked and the fourth and of-the fifth until
ἀρίστου.
the-morning-meal

90.4 ἔπειτα, ὡς τὰ πλεῖστα ἀπετετέλεστο, τὸ μὲν στρατόπεδον
then when the most had-been-completed the indeed army
προαπεχώρησεν ἀπὸ τοῦ Δηλίου οἷον δέκα σταδίους ὡς ἐπ᾽
withdrew-ahead from — Delium about ten stades as to
οἴκου πορευόμενον, καὶ οἱ μὲν ψιλοὶ οἱ πλεῖστοι εὐθὺς
home marching and the indeed light-armed the most at-once
ἐχώρουν, οἱ δ᾽ ὁπλῖται θέμενοι τὰ ὅπλα ἡσύχαζον·
went-on the and hoplites having-grounded the arms kept-quiet
Ἱπποκράτης δὲ ὑπομένων ἔτι καθίστατο φυλακάς τε
Hippocrates and staying-behind still was-posting guards both
καὶ τὰ περὶ τὸ προτείχισμα, ὅσα ἦν ὑπόλοιπα, ὡς
and the about the outwork as-many-as were remaining as
χρῆν ἐπιτελέσαι.
it-was-necessary to-complete

91.1 οἱ δὲ Βοιωτοὶ ἐν ταῖς ἡμέραις ταύταις ξυνελέγοντο ἐς τὴν
the and Boeotians in the days these were-gathering at —
Τάναγραν· καὶ ἐπειδὴ ἀπὸ πασῶν τῶν πόλεων παρῆσαν
Tanagra and when from all the cities they-were-present
καὶ ᾐσθάνοντο τοὺς Ἀθηναίους προχωροῦντας ἐπ᾽ οἴκου, τῶν
and they-perceived the Athenians advancing to home of-the
ἄλλων βοιωταρχῶν, οἵ εἰσιν ἕνδεκα, οὐ ξυνεπαινούντων
other boeotarchs who are eleven not approving

μάχεσθαι, ἐπειδὴ οὐκ ἐν τῇ Βοιωτίᾳ ἔτι εἰσί (μάλιστα γὰρ
to-fight since not in — Boeotia still they-are most for
ἐν μεθορίοις τῆς Ὠρωπίας οἱ Ἀθηναῖοι ἦσαν, ὅτε ἔθεντο
in borders — of-Oropian-land the Athenians were when they-grounded
τὰ ὅπλα), Παγώνδας ὁ Αἰολάδου βοιωταρχῶν ἐκ Θηβῶν
the arms Pagondas the son-of-Aeoladas being-boeotarch from Thebes
μετ' Ἀριανθίδου τοῦ Λυσιμαχίδου καὶ ἡγεμονίας οὔσης αὐτοῦ
with Arianthidas the son-of-Lysimachidas and command being his
βουλόμενος τὴν μάχην ποιῆσαι καὶ νομίζων ἄμεινον εἶναι
wishing the battle to-make and thinking better to-be
κινδυνεῦσαι, προσκαλῶν ἑκάστους κατὰ λόχους, ὅπως μὴ
to-run-the-risk calling-up each by companies so-that not
ἀθρόοι ἐκλίποιεν τὰ ὅπλα, ἔπειθε τοὺς Βοιωτοὺς ἰέναι
in-a-body they-should-abandon the arms persuaded the Boeotians to-go
ἐπὶ τοὺς Ἀθηναίους καὶ τὸν ἀγῶνα ποιεῖσθαι, λέγων τοιάδε.
against the Athenians and the contest to-make saying as-follows

XIX · PAGONDAS AND HIPPOCRATES

Pagondas tells the Boeotians that the Athenians must be fought even across the border. Athens has built a fort in Boeotia to harm it, and a neighbor bent on conquest is the greatest danger of all. Their fathers beat the Athenians at Coronea, and the god whose temple Athens has fortified will be on their side. Persuaded, the Boeotians advance and draw up behind a hill, the Thebans twenty-five shields deep. Hippocrates tells the Athenians that one victory will mean the Peloponnesians never again invade without the Boeotian cavalry, and he recalls their fathers' victory at Oenophyta.

'Χρῆν μέν, ὦ ἄνδρες Βοιωτοί, μηδ' ἐς ἐπίνοιάν τινα 92.1
it-ought indeed O men Boeotians not-even to thought any
ἡμῶν ἐλθεῖν τῶν ἀρχόντων ὡς οὐκ εἰκὸς Ἀθηναίοις,
of-us to-come of-the commanders that not fitting with-Athenians

ἦν ἄρα μὴ ἐν τῇ Βοιωτίᾳ ἔτι καταλάβωμεν αὐτούς,
if after-all not in — Boeotia still we-overtake them
διὰ μάχης ἐλθεῖν. τὴν γὰρ Βοιωτίαν ἐκ τῆς ὁμόρου
through battle to-come — for Boeotia from the neighboring-land
ἐλθόντες τεῖχος ἐνοικοδομησάμενοι μέλλουσι φθείρειν, καὶ
having-come a-fort having-built-in they-intend to-ruin and
εἰσὶ δήπου πολέμιοι ἐν ᾧ τε ἂν χωρίῳ καταληφθῶσι
they-are surely enemies in whatever both — place they-be-caught
καὶ ὅθεν ἐπελθόντες πολέμια ἔδρασαν.
and from-where having-come hostile-acts they-did

92.2 νυνὶ δ' εἴ τῳ καὶ ἀσφαλέστερον ἔδοξεν εἶναι,
now but if to-anyone also safer it-seemed to-be
μεταγνώτω. οὐ γὰρ τὸ προμηθές, οἷς ἂν ἄλλος
let-him-change-his-mind not for the caution to-those-whom — another
ἐπίῃ, περὶ τῆς σφετέρας ὁμοίως ἐνδέχεται λογισμὸν καὶ
attacks about the their-own alike admits calculation and
ὅστις τὰ μὲν ἑαυτοῦ ἔχει, τοῦ πλέονος δὲ ὀρεγόμενος
whoever the indeed his-own has of-the more but reaching
ἑκών τινι ἐπέρχεται.
willingly someone attacks

92.3 πάτριόν τε ὑμῖν στρατὸν ἀλλόφυλον ἐπελθόντα καὶ ἐν τῇ
ancestral both for-you an-army foreign having-come both in the
οἰκείᾳ καὶ ἐν τῇ τῶν πέλας ὁμοίως ἀμύνεσθαι. Ἀθηναίους
own and in the of-the neighbors alike to-ward-off Athenians
δὲ καὶ προσέτι ὁμόρους ὄντας πολλῷ μάλιστα δεῖ.
and also moreover neighbors being much most is-necessary

92.4 πρός τε γὰρ τοὺς ἀστυγείτονας πᾶσι τὸ ἀντίπαλον καὶ
toward both for the neighbors for-all the being-a-match and
ἐλεύθερον καθίσταται, καὶ πρὸς τούτους γε δή, οἳ
free is-established and toward these at-least indeed who
καὶ μὴ τοὺς ἐγγύς, ἀλλὰ καὶ τοὺς ἄπωθεν πειρῶνται
even not the near but also the far-off try

δουλοῦσθαι, πῶς οὐ χρὴ καὶ ἐπὶ τὸ ἔσχατον ἀγῶνος
to-enslave how not must-one also to the uttermost of-contest
ἐλθεῖν (παράδειγμα δὲ ἔχομεν τούς τε ἀντιπέρας Εὐβοέας
to-go example and we-have the both opposite Euboeans
καὶ τῆς ἄλλης Ἑλλάδος τὸ πολὺ ὡς αὐτοῖς διάκειται),
and of-the other Greece the greater-part how to-them it-stands
καὶ γνῶναι ὅτι τοῖς μὲν ἄλλοις οἱ πλησιόχωροι περὶ
and to-know that for-the indeed others the neighbors about
γῆς ὅρων τὰς μάχας ποιοῦνται, ἡμῖν δὲ ἐς πᾶσαν, ἢν
of-land boundaries the battles make for-us but for all if
νικηθῶμεν, εἷς ὅρος οὐκ ἀντίλεκτος παγήσεται;
we-be-defeated one boundary not disputed will-be-fixed
ἐσελθόντες γὰρ βίᾳ τὰ ἡμέτερα ἕξουσιν. τοσούτῳ 92.5
having-come-in for by-force the our-things they-will-hold so-much
ἐπικινδυνοτέραν ἑτέρων τὴν παροίκησιν τῶνδε ἔχομεν.
more-dangerous than-others the neighborhood of-these we-have
εἰώθασί τε οἱ ἰσχύος που θράσει τοῖς πέλας, ὥσπερ
are-wont and the of-strength I-suppose in-boldness against-the neighbors as
Ἀθηναῖοι νῦν, ἐπιόντες τὸν μὲν ἡσυχάζοντα καὶ ἐν τῇ
Athenians now attacking the indeed keeping-quiet and in the
ἑαυτοῦ μόνον ἀμυνόμενον ἀδεέστερον ἐπιστρατεύειν, τὸν
his-own only defending-himself more-fearlessly to-march-against the
δὲ ἔξω ὅρων προαπαντῶντα καί, ἢν καιρὸς ᾖ, πολέμου
but outside borders meeting-them-first and if opportunity be of-war
ἄρχοντα ἧσσον ἑτοίμως κατέχειν.
beginning less readily to-subdue
πεῖραν δὲ ἔχομεν ἡμεῖς αὐτοῦ ἐς τούσδε· νικήσαντες γὰρ ἐν 92.6
trial and we-have we of-it against these having-conquered for at
Κορωνείᾳ αὐτούς, ὅτε τὴν γῆν ἡμῶν στασιαζόντων κατέσχον,
Coronea them when the land our being-in-faction they-occupied
πολλὴν ἄδειαν τῇ Βοιωτίᾳ μέχρι τοῦδε κατεστήσαμεν.
great security — to-Boeotia until this we-established

92.7 ὧν χρὴ μνησθέντας ἡμᾶς τούς τε πρεσβυτέρους
of-which it-is-necessary having-remembered us the both older
ὁμοιωθῆναι τοῖς πρὶν ἔργοις, τούς τε νεωτέρους πατέρων
to-be-like to-the former deeds the and younger of-fathers
τῶν τότε ἀγαθῶν γενομένων παῖδας πειρᾶσθαι μὴ αἰσχῦναι
the then brave having-been sons to-try not to-shame
τὰς προσηκούσας ἀρετάς, πιστεύσαντας δὲ τῷ θεῷ πρὸς
the belonging virtues trusting and in-the god on
ἡμῶν ἔσεσθαι, οὗ τὸ ἱερὸν ἀνόμως τειχίσαντες νέμονται,
our-side to-be whose the sanctuary lawlessly having-fortified they-occupy
καὶ τοῖς ἱεροῖς ἃ ἡμῖν θυσαμένοις καλὰ φαίνεται, ὁμόσε
and in-the sacrifices which to-us having-sacrificed fair appear to-close
χωρῆσαι τοῖσδε καὶ δεῖξαι ὅτι ὧν μὲν ἐφίενται πρὸς τοὺς μὴ
to-go with-these and to-show that what indeed they-desire against those not
ἀμυνομένους ἐπιόντες κτάσθων, οἷς δὲ γενναῖον τήν τε
defending-themselves attacking let-them-acquire for-whom but noble the both
αὑτῶν αἰεὶ ἐλευθεροῦν μάχῃ καὶ τὴν ἄλλων μὴ δουλοῦσθαι
their-own always to-free by-battle and the of-others not to-enslave
ἀδίκως, ἀνανταγώνιστοι ἀπ᾽ αὐτῶν οὐκ ἀπίασιν.᾽
unjustly unopposed from them not they-will-go-away

93.1 τοιαῦτα ὁ Παγώνδας τοῖς Βοιωτοῖς παραινέσας ἔπεισεν
such-things — Pagondas to-the Boeotians having-exhorted persuaded-them
ἰέναι ἐπὶ τοὺς Ἀθηναίους. καὶ κατὰ τάχος ἀναστήσας ἦγε
to-go against the Athenians and in haste having-raised-camp led
τὸν στρατόν (ἤδη γὰρ καὶ τῆς ἡμέρας ὀψὲ ἦν), καὶ ἐπειδὴ
the army now for also of-the day late it-was and when
προσέμειξεν ἐγγὺς τοῦ στρατεύματος αὐτῶν, ἐς χωρίον
he-drew-near near the army their in a-place
καθίσας ὅθεν λόφου ὄντος μεταξὺ οὐκ ἐθεώρουν
having-posted-them from-where a-hill being between not they-could-see
ἀλλήλους, ἔτασσέ τε καὶ παρεσκευάζετο ὡς ἐς μάχην.
one-another he-drew-up both and prepared as for battle

τῷ δὲ Ἱπποκράτει ὄντι περὶ τὸ Δήλιον ὡς αὐτῷ ἠγγέλθη 93.2
— *and to-Hippocrates being about — Delium when to-him it-was-announced*
ὅτι Βοιωτοὶ ἐπέρχονται, πέμπει ἐς τὸ στράτευμα κελεύων
that Boeotians are-advancing he-sends to the army ordering
ἐς τάξιν καθίστασθαι, καὶ αὐτὸς οὐ πολλῷ ὕστερον ἐπῆλθε,
into order to-form and himself not much later came
καταλιπὼν ὡς τριακοσίους ἱππέας περὶ τὸ Δήλιον, ὅπως
having-left about three-hundred cavalry about — Delium so-that
φύλακές τε ἅμα εἶεν, εἴ τις ἐπίοι αὐτῷ, καὶ
guards both at-the-same-time they-might-be if anyone attacked it and
τοῖς Βοιωτοῖς καιρὸν φυλάξαντες ἐπιγένοιντο ἐν τῇ μάχῃ.
to-the Boeotians an-opportunity having-watched-for they-might-fall-on in the battle
Βοιωτοὶ δὲ πρὸς τούτους ἀντικατέστησαν τοὺς ἀμυνουμένους, 93.3
Boeotians and against these posted-opposite those going-to-resist
καὶ ἐπειδὴ καλῶς αὐτοῖς εἶχεν, ὑπερεφάνησαν τοῦ λόφου
and when well for-them it-stood appeared-over the hill
καὶ ἔθεντο τὰ ὅπλα τεταγμένοι ὥσπερ ἔμελλον, ὁπλῖται
and grounded the arms drawn-up as they-were-to-be hoplites
ἑπτακισχίλιοι μάλιστα καὶ ψιλοὶ ὑπὲρ μυρίους, ἱππῆς
seven-thousand about and light-armed over ten-thousand cavalry
δὲ χίλιοι καὶ πελτασταὶ πεντακόσιοι.
and a-thousand and peltasts five-hundred
εἶχον δὲ δεξιὸν μὲν κέρας Θηβαῖοι καὶ οἱ ξύμμοροι αὐτοῖς· 93.4
held and right indeed wing Thebans and the associates with-them
μέσοι δὲ Ἁλιάρτιοι καὶ Κορωναῖοι καὶ Κωπαιῆς καὶ οἱ
in-the-center and Haliartians and Coronaeans and Copaeans and the
ἄλλοι οἱ περὶ τὴν λίμνην· τὸ δὲ εὐώνυμον εἶχον Θεσπιῆς
others those around the lake the and left held Thespians
καὶ Ταναγραῖοι καὶ Ὀρχομένιοι. ἐπὶ δὲ τῷ κέρᾳ ἑκατέρῳ
and Tanagraeans and Orchomenians on and the wing each

οἱ ἱππῆς καὶ ψιλοὶ ἦσαν. ἐπ᾽ ἀσπίδας δὲ πέντε μὲν καὶ
the cavalry and light-armed were on shields and five indeed and
εἴκοσι Θηβαῖοι ἐτάξαντο, οἱ δὲ ἄλλοι ὡς ἕκαστοι ἔτυχον.
twenty Thebans were-drawn-up the and others as each happened
93.5 αὕτη μὲν Βοιωτῶν παρασκευὴ καὶ διάκοσμος ἦν·
this indeed of-Boeotians armament and arrangement was
94.1 Ἀθηναῖοι δὲ οἱ μὲν ὁπλῖται ἐπὶ ὀκτὼ πᾶν τὸ
Athenians and the indeed hoplites on eight-deep all the
στρατόπεδον ἐτάξαντο ὄντες πλήθει ἰσοπαλεῖς τοῖς
army were-drawn-up being in-number equal to-the
ἐναντίοις, ἱππῆς δὲ ἐφ᾽ ἑκατέρῳ τῷ κέρᾳ. ψιλοὶ δὲ
enemy cavalry and on each the wing light-armed and
ἐκ παρασκευῆς μὲν ὡπλισμένοι οὔτε τότε παρῆσαν
from preparation indeed armed neither then were-present
οὔτε ἐγένοντο τῇ πόλει· οἵπερ δὲ ξυνεσέβαλον
nor existed for-the city those-who-indeed but joined-in-the-invasion
ὄντες πολλαπλάσιοι τῶν ἐναντίων, ἄοπλοί τε πολλοὶ
being many-times-more than-the enemy unarmed both many
ἠκολούθησαν, ἅτε πανστρατιᾶς ξένων τῶν παρόντων
followed inasmuch-as a-levy-in-full of-foreigners the present
καὶ ἀστῶν γενομένης, καὶ ὡς τὸ πρῶτον ὥρμησαν ἐπ᾽
and of-citizens having-taken-place and as the first they-had-set-out to
οἶκου, οὐ παρεγένοντο ὅτι μὴ ὀλίγοι.
home not were-present except — few
94.2 καθεστώτων δὲ ἐς τὴν τάξιν καὶ ἤδη μελλόντων ξυνιέναι,
having-taken-position and in the order and now being-about to-engage
Ἱπποκράτης ὁ στρατηγὸς ἐπιπαριὼν τὸ στρατόπεδον τῶν
Hippocrates the general passing-along the army of-the
Ἀθηναίων παρεκελεύετό τε καὶ ἔλεγε τοιάδε.
Athenians exhorted both and spoke as-follows

‘Ὦ Ἀθηναῖοι, δι’ ὀλίγου μὲν ἡ παραίνεσις γίγνεται, τὸ 95.1
O Athenians in brief indeed the exhortation is-made the
ἴσον δὲ πρός γε τοὺς ἀγαθοὺς ἄνδρας δύναται καὶ
equal and with at-least the brave men it-can-do and
ὑπόμνησιν μᾶλλον ἔχει ἢ ἐπικέλευσιν.
a-reminder rather holds than an-urging
παραστῇ δὲ μηδενὶ ὑμῶν ὡς ἐν τῇ ἀλλοτρίᾳ οὐ προσῆκον 95.2
let-it-occur and to-none of-you that in the foreign-land not fitting
τοσόνδε κίνδυνον ἀναρριπτοῦμεν. ἐν γὰρ τῇ τούτων ὑπὲρ
so-great danger we-are-incurring in for the of-these for
τῆς ἡμετέρας ὁ ἀγὼν ἔσται· καὶ ἢν νικήσωμεν, οὐ μή
the our-own the contest will-be and if we-conquer not —
ποτε ὑμῖν Πελοποννήσιοι ἐς τὴν χώραν ἄνευ τῆς τῶνδε
ever to-you Peloponnesians into the country without the of-these
ἵππου ἐσβάλωσιν, ἐν δὲ μιᾷ μάχῃ τήνδε τε προσκτᾶσθε
cavalry will-invade in and one battle this both you-gain
καὶ ἐκείνην μᾶλλον ἐλευθεροῦτε.
and that more you-free
χωρήσατε οὖν ἀξίως ἐς αὐτοὺς τῆς τε πόλεως, 95.3
advance then worthily against them of-the both city
ἣν ἕκαστος πατρίδα ἔχων πρώτην ἐν τοῖς Ἕλλησιν
which each fatherland having first among the Greeks
ἀγάλλεται, καὶ τῶν πατέρων, οἳ τούσδε μάχῃ κρατοῦντες
glories and of-the fathers who these in-battle defeating
μετὰ Μυρωνίδου ἐν Οἰνοφύτοις τὴν Βοιωτίαν ποτὲ ἔσχον.’
with Myronides at Oenophyta — Boeotia once held

The armies meet at a run. The Athenians beat the Boeotian left, but on the right the Thebans push the Athenians back step by step. Pagondas sends two squadrons of cavalry round the hill, and the Athenians, thinking a new army is upon them, break and flee. Hippocrates and nearly a thousand Athenians fall. The Boeotians refuse to give back the dead while the Athenians hold the temple, and heralds argue over sacrilege. With a fire engine the Boeotians burn the wall and take Delium, and then they return the dead. Demosthenes lands in Sicyonian territory and is beaten off, and Sitalces dies fighting the Triballians.

96.1 τοιαῦτα τοῦ Ἱπποκράτους παρακελευομένου καὶ μέχρι μὲν
such-things — Hippocrates exhorting and as-far-as indeed
μέσου τοῦ στρατοπέδου ἐπελθόντος, τὸ δὲ πλέον οὐκέτι
the-middle of-the army having-gone the and rest no-longer
φθάσαντος, οἱ Βοιωτοί, παρακελευσαμένου καὶ σφίσιν ὡς
having-had-time the Boeotians having-exhorted also them as
διὰ ταχέων καὶ ἐνταῦθα Παγώνδου, παιανίσαντες ἐπῆσαν
with speed also there Pagondas having-raised-the-paean advanced
ἀπὸ τοῦ λόφου. ἀντεπῆσαν δὲ καὶ οἱ Ἀθηναῖοι καὶ
from the hill advanced-against-them and also the Athenians and
προσέμειξαν δρόμῳ.
engaged at-a-run

96.2 καὶ ἑκατέρων τῶν στρατοπέδων τὰ ἔσχατα οὐκ ἦλθεν ἐς
and of-each-side the armies the extremities not came to
χεῖρας, ἀλλὰ τὸ αὐτὸ ἔπαθεν· ῥύακες γὰρ ἐκώλυσαν. τὸ
hands but the same-thing suffered watercourses for prevented the
δὲ ἄλλο καρτερᾷ μάχῃ καὶ ὠθισμῷ ἀσπίδων ξυνειστήκει.
and rest in-stubborn battle and shoving of-shields stood-locked

96.3 καὶ τὸ μὲν εὐώνυμον τῶν Βοιωτῶν καὶ μέχρι μέσου ἡσσᾶτο
and the indeed left of-the Boeotians and as-far-as the-middle was-worsted
ὑπὸ τῶν Ἀθηναίων, καὶ ἐπίεσαν τούς τε ἄλλους ταύτῃ καὶ
by the Athenians and they-pressed the both others there and

οὐχ ἥκιστα τοὺς Θεσπιᾶς. ὑποχωρησάντων γὰρ αὐτοῖς τῶν
not least the Thespians having-given-way for to-them those
παρατεταγμένων, καὶ κυκλωθέντων ἐν ὀλίγῳ, οἵπερ
posted-beside and having-been-surrounded in little-space those-who-indeed
διεφθάρησαν Θεσπιῶν, ἐν χερσὶν ἀμυνόμενοι κατεκόπησαν·
were-destroyed of-Thespians at hands defending-themselves were-cut-down
καί τινες καὶ τῶν Ἀθηναίων διὰ τὴν κύκλωσιν
and some also of-the Athenians because-of the encirclement
ταραχθέντες ἠγνόησάν τε καὶ ἀπέκτειναν ἀλλήλους.
confused failed-to-recognize both and killed one-another
τὸ μὲν οὖν ταύτῃ ἡσσᾶτο τῶν Βοιωτῶν καὶ πρὸς τὸ 96.4
the indeed then there was-worsted of-the Boeotians and to the
μαχόμενον κατέφυγε, τὸ δὲ δεξιόν, ᾗ οἱ Θηβαῖοι ἦσαν,
fighting-part fled the but right where the Thebans were
ἐκράτει τῶν Ἀθηναίων, καὶ ὠσάμενοι κατὰ βραχὺ τὸ
prevailed-over the Athenians and having-pushed by little the
πρῶτον ἐπηκολούθουν.
first followed
καὶ ξυνέβη, Παγώνδου περιπέμψαντος δύο τέλη τῶν 96.5
and it-happened Pagondas having-sent-round two squadrons of-the
ἱππέων ἐκ τοῦ ἀφανοῦς περὶ τὸν λόφον, ὡς ἐπόνει τὸ
cavalry from the unseen round the hill when was-in-trouble the
εὐώνυμον αὐτῶν, καὶ ὑπερφανέντων αἰφνιδίως, τὸ νικῶν
left of-them and having-appeared-over suddenly the victorious
τῶν Ἀθηναίων κέρας, νομίσαν ἄλλο στράτευμα ἐπιέναι,
of-the Athenians wing thinking another army to-be-coming
ἐς φόβον καταστῆναι·
into panic to-fall

96.6 καὶ ἀμφοτέρωθεν ἤδη, ὑπό τε τοῦ τοιούτου καὶ ὑπὸ
and on-both-sides now by both the such-thing and by
τῶν Θηβαίων ἐφεπομένων καὶ παραρρηγνύντων, φυγὴ
the Thebans following-up and breaking-through flight
καθειστήκει παντὸς τοῦ στρατοῦ τῶν Ἀθηναίων.
had-set-in of-all the army of-the Athenians

96.7 καὶ οἱ μὲν πρὸς τὸ Δήλιόν τε καὶ τὴν θάλασσαν
and the-ones indeed to — Delium both and the sea
ὥρμησαν, οἱ δὲ ἐπὶ τοῦ Ὠρωποῦ, ἄλλοι δὲ πρὸς
rushed the-others and toward — Oropus others and toward
Πάρνηθα τὸ ὄρος, οἱ δὲ ὡς ἕκαστοί τινα εἶχον
Parnes the mountain the-others and as each some had
ἐλπίδα σωτηρίας.
hope of-safety

96.8 Βοιωτοὶ δὲ ἐφεπόμενοι ἔκτεινον, καὶ μάλιστα οἱ ἱππῆς οἵ
Boeotians and following-up killed and most the cavalry the
τε αὐτῶν καὶ οἱ Λοκροὶ βεβοηθηκότες ἄρτι τῆς τροπῆς
both theirs and the Locrians having-come-to-help just the rout
γιγνομένης· νυκτὸς δὲ ἐπιλαβούσης τὸ ἔργον ῥᾷον τὸ
happening night and having-overtaken the action more-easily the
πλῆθος τῶν φευγόντων διεσώθη.
mass of-the fugitives was-saved

96.9 καὶ τῇ ὑστεραίᾳ οἵ τε ἐκ τοῦ Ὠρωποῦ καὶ οἱ ἐκ τοῦ
and on-the next-day the both from — Oropus and those from —
Δηλίου φυλακὴν ἐγκαταλιπόντες (εἶχον γὰρ αὐτὸ ὅμως
Delium a-garrison having-left-behind they-held for it nevertheless
ἔτι) ἀπεκομίσθησαν κατὰ θάλασσαν ἐπ᾽ οἴκου.
still were-conveyed by sea to home

97.1 καὶ οἱ Βοιωτοὶ τροπαῖον στήσαντες καὶ τοὺς ἑαυτῶν
and the Boeotians a-trophy having-set-up and the their-own
ἀνελόμενοι νεκροὺς τούς τε τῶν πολεμίων σκυλεύσαντες
having-taken-up dead those both of-the enemy having-stripped

καὶ φυλακὴν καταλιπόντες ἀνεχώρησαν ἐς τὴν Τάναγραν,
and a-guard having-left withdrew to — Tanagra
καὶ τῷ Δηλίῳ ἐπεβούλευον ὡς προσβαλοῦντες.
and — against-Delium they-plotted as going-to-attack
ἐκ δὲ τῶν Ἀθηναίων κῆρυξ πορευόμενος ἐπὶ τοὺς νεκροὺς 97.2
from and the Athenians a-herald going for the dead
ἀπαντᾷ κήρυκι Βοιωτῷ, ὃς αὐτὸν ἀποστρέψας καὶ εἰπὼν
meets a-herald Boeotian who him having-turned-back and having-said
ὅτι οὐδὲν πράξει πρὶν ἂν αὐτὸς ἀναχωρήσῃ πάλιν,
that nothing he-will-achieve before — he-himself returns back
καταστὰς ἐπὶ τοὺς Ἀθηναίους ἔλεγε τὰ παρὰ τῶν
having-come before the Athenians said the-things from the
Βοιωτῶν, ὅτι οὐ δικαίως δράσειαν παραβαίνοντες τὰ
Boeotians that not justly they-had-acted transgressing the
νόμιμα τῶν Ἑλλήνων·
customs of-the Greeks
πᾶσι γὰρ εἶναι καθεστηκὸς ἰόντας ἐπὶ τὴν ἀλλήλων 97.3
for-all for to-be established going into the each-other's(-land)
ἱερῶν τῶν ἐνόντων ἀπέχεσθαι, Ἀθηναίους δὲ Δήλιον
from-sanctuaries the being-there to-keep-off Athenians and Delium
τειχίσαντας ἐνοικεῖν, καὶ ὅσα ἄνθρωποι ἐν βεβήλῳ
having-fortified to-dwell-in and whatever men in unconsecrated-ground
δρῶσι πάντα γίγνεσθαι αὐτόθι, ὕδωρ τε ὃ ἦν ἄψαυστον
do all to-happen there water and which was untouchable
σφίσι πλὴν πρὸς τὰ ἱερὰ χέρνιβι χρῆσθαι, ἀνασπάσαντας
for-them except for the rites as-lustral-water to-use having-drawn-up
ὑδρεύεσθαι·
to-draw-water
ὥστε ὑπέρ τε τοῦ θεοῦ καὶ ἑαυτῶν Βοιωτούς, 97.4
so-that on-behalf both of-the god and themselves Boeotians
ἐπικαλουμένους τοὺς ὁμωχέτας δαίμονας καὶ τὸν Ἀπόλλω,
invoking the sharing-the-altar deities and — Apollo

προαγορεύειν αὐτοὺς ἐκ τοῦ ἱεροῦ ἀπιόντας ἀποφέρεσθαι
to-proclaim them from the sanctuary departing to-carry-off
τὰ σφέτερα αὐτῶν.
the their own

98.1 τοσαῦτα τοῦ κήρυκος εἰπόντος οἱ Ἀθηναῖοι πέμψαντες
so-much the herald having-said the Athenians having-sent
παρὰ τοὺς Βοιωτοὺς ἑαυτῶν κήρυκα τοῦ μὲν ἱεροῦ
to the Boeotians their-own herald the indeed sanctuary
οὔτε ἀδικῆσαι ἔφασαν οὐδὲν οὔτε τοῦ λοιποῦ ἑκόντες
neither to-have-wronged said in-nothing nor for-the future willingly
βλάψειν· οὐδὲ γὰρ τὴν ἀρχὴν ἐσελθεῖν ἐπὶ τούτῳ, ἀλλ'
to-harm not-even for the beginning to-have-entered for this but
ἵνα ἐξ αὐτοῦ τοὺς ἀδικοῦντας μᾶλλον σφᾶς ἀμύνωνται.
so-that from it those wronging rather them they-might-ward-off

98.2 τὸν δὲ νόμον τοῖς Ἕλλησιν εἶναι, ὧν ἂν ᾖ τὸ κράτος
the and custom for-the Greeks to-be whosever — is the mastery
τῆς γῆς ἑκάστης ἤν τε πλέονος ἤν τε βραχυτέρας, τούτων
of-the land each if both greater if and smaller of-these
καὶ τὰ ἱερὰ αἰεὶ γίγνεσθαι, τρόποις θεραπευόμενα οἷς
also the sanctuaries always to-become in-ways being-tended in-which
ἂν πρὸς τοῖς εἰωθόσι καὶ δύνωνται.
— in-addition-to the customary also they-can

98.3 καὶ γὰρ Βοιωτοὺς καὶ τοὺς πολλοὺς τῶν ἄλλων, ὅσοι
and for Boeotians and the most of-the others as-many-as
ἐξαναστήσαντές τινα βίᾳ νέμονται γῆν, ἀλλοτρίοις
having-driven-out someone by-force occupy a-land foreign
ἱεροῖς τὸ πρῶτον ἐπελθόντας οἰκεῖα νῦν κεκτῆσθαι.
sanctuaries the first having-attacked as-own now to-possess

καὶ αὐτοί, εἰ μὲν ἐπὶ πλέον δυνηθῆναι τῆς ἐκείνων 98.4
and themselves if indeed for more to-have-been-able of-the their
κρατῆσαι, τοῦτ᾽ ἂν ἔχειν· νῦν δὲ ἐν ᾧ μέρει εἰσίν,
to-master this — to-hold now and in which part they-are
ἑκόντες εἶναι ὡς ἐκ σφετέρου οὐκ ἀπιέναι.
willingly to-be as from their-own not to-go-away
ὕδωρ τε ἐν τῇ ἀνάγκῃ κινῆσαι, ἣν οὐκ αὐτοὶ 98.5
water and in the necessity to-disturb which not they-themselves
ὕβρει προσθέσθαι, ἀλλ᾽ ἐκείνους προτέρους ἐπὶ τὴν
from-insolence to-have-taken-on but those first against the
σφετέραν ἐλθόντας ἀμυνόμενοι βιάζεσθαι χρῆσθαι.
their-own having-come defending-themselves to-be-forced to-use
πᾶν δ᾽ εἰκὸς εἶναι τὸ πολέμῳ καὶ δεινῷ τινὶ κατειργόμενον 98.6
everything and fitting to-be the by-war and terror some being-constrained
ξύγγνωμόν τι γίγνεσθαι καὶ πρὸς τοῦ θεοῦ. καὶ γὰρ
pardonable something to-become even on-the-part-of the god and for
τῶν ἀκουσίων ἁμαρτημάτων καταφυγὴν εἶναι τοὺς βωμούς,
of-the involuntary errors refuge to-be the altars
παρανομίαν τε ἐπὶ τοῖς μὴ ἀνάγκῃ κακοῖς ὀνομασθῆναι
transgression and on the not by-necessity evils to-be-named
καὶ οὐκ ἐπὶ τοῖς ἀπὸ τῶν ξυμφορῶν τι τολμήσασιν.
and not on those from the misfortunes something having-dared
τούς τε νεκροὺς πολὺ μειζόνως ἐκείνους ἀντὶ ἱερῶν 98.7
the and dead much more those for sanctuaries
ἀξιοῦντας ἀποδιδόναι ἀσεβεῖν ἢ τοὺς μὴ ἐθέλοντας
claiming to-give-back to-be-impious than those not willing
ἱεροῖς τὰ πρέποντα κομίζεσθαι.
by-sanctuaries the fitting to-recover
σαφῶς τε ἐκέλευον σφίσιν εἰπεῖν μὴ ἀπιοῦσιν ἐκ τῆς 98.8
clearly and they-bade to-them to-say not departing from the
Βοιωτῶν γῆς (οὐ γὰρ ἐν τῇ ἐκείνων ἔτι εἶναι, ἐν ᾗ
of-Boeotians land not for in the their still to-be in which

δὲ δορὶ ἐκτήσαντο), ἀλλὰ κατὰ τὰ πάτρια τοὺς
but by-the-spear they-acquired but according-to the ancestral-ways the
νεκροὺς σπένδουσιν ἀναιρεῖσθαι.
dead granting-a-truce to-take-up

99.1 οἱ δὲ Βοιωτοὶ ἀπεκρίναντο, εἰ μὲν ἐν τῇ Βοιωτίᾳ εἰσίν,
the and Boeotians answered if indeed in — Boeotia they-are
ἀπιόντας ἐκ τῆς ἑαυτῶν ἀποφέρεσθαι τὰ σφέτερα, εἰ δὲ
departing from the their-own to-carry-off the theirs if but
ἐν τῇ ἐκείνων, αὐτοὺς γιγνώσκειν τὸ ποιητέον, νομίζοντες,
in the their themselves to-know the to-be-done thinking
τὴν μὲν Ὠρωπίαν, ἐν ᾗ τοὺς νεκροὺς ἐν μεθορίοις
— indeed Oropian-land in which the dead in borders
τῆς μάχης γενομένης κεῖσθαι ξυνέβη, Ἀθηναίων κατὰ τὸ
the battle having-taken-place to-lie it-happened of-Athenians in the
ὑπήκοον εἶναι, καὶ οὐκ ἂν αὐτοὺς βίᾳ σφῶν κρατῆσαι
subject to-be and not — them by-force them to-master
αὐτῶν· οὐδ' αὖ ἐσπένδοντο δῆθεν ὑπὲρ τῆς ἐκείνων·
them nor again they-made-a-truce supposedly on-behalf-of the theirs
τὸ δὲ 'ἐκ τῆς ἑαυτῶν' εὐπρεπὲς εἶναι ἀποκρίνασθαι
the but out-of the their-own(-land) fair to-be to-answer
'ἀπιόντας καὶ ἀπολαβεῖν ἃ ἀπαιτοῦσιν.' ὁ δὲ κῆρυξ
departing and to-recover what they-ask-back the and herald
τῶν Ἀθηναίων ἀκούσας ἀπῆλθεν ἄπρακτος.
of-the Athenians having-heard went-away unsuccessful

100.1 καὶ οἱ Βοιωτοὶ εὐθὺς μεταπεμψάμενοι ἔκ τε τοῦ Μηλιῶς
and the Boeotians at-once having-sent-for from both the Malian
κόλπου ἀκοντιστὰς καὶ σφενδονήτας, καὶ βεβοηθηκότων
gulf javelin-men and slingers and having-come-to-help
αὐτοῖς μετὰ τὴν μάχην Κορινθίων τε δισχιλίων ὁπλιτῶν καὶ
to-them after the battle Corinthians both two-thousand hoplites and
τῶν ἐκ Νισαίας ἐξεληλυθότων Πελοποννησίων φρουρῶν
of-those from Nisaea having-come-out Peloponnesian garrison

καὶ Μεγαρέων ἅμα, ἐστράτευσαν ἐπὶ τὸ Δήλιον καὶ
and Megarians together marched against — Delium and
προσέβαλον τῷ τειχίσματι, ἄλλῳ τε τρόπῳ πειράσαντες
attacked the fortification in-other both way having-tried
καὶ μηχανὴν προσήγαγον, ἥπερ εἷλεν αὐτό, τοιάνδε.
and an-engine brought-up which-indeed took it as-follows
κεραίαν μεγάλην δίχα πρίσαντες ἐκοίλαναν ἅπασαν καὶ 100.2
a-beam great in-two having-sawn hollowed-out all-of-it and
ξυνήρμοσαν πάλιν ἀκριβῶς ὥσπερ αὐλόν, καὶ ἐπ᾽ ἄκραν
fitted-together again exactly like a-pipe and at the-end
λέβητά τε ἤρτησαν ἁλύσεσι καὶ ἀκροφύσιον ἀπὸ τῆς
a-cauldron and they-hung by-chains and a-nozzle from the
κεραίας σιδηροῦν ἐς αὐτὸν νεῦον καθεῖτο, καὶ ἐσεσιδήρωτο
beam of-iron into it bending was-let-down and was-plated-with-iron
ἐπὶ μέγα καὶ τοῦ ἄλλου ξύλου.
for much also of-the other wood
προσῆγον δὲ ἐκ πολλοῦ ἁμάξαις τῷ τείχει, ᾗ μάλιστα 100.3
they-brought-up and from far with-wagons to-the wall where most
τῇ ἀμπέλῳ καὶ τοῖς ξύλοις ᾠκοδόμητο· καὶ ὁπότε
with-the vine and the timber it-had-been-built and whenever
εἴη ἐγγύς, φύσας μεγάλας ἐσθέντες ἐς τὸ πρὸς ἑαυτῶν
it-was near bellows great having-inserted into the toward themselves
ἄκρον τῆς κεραίας ἐφύσων.
end of-the beam they-blew
ἡ δὲ πνοὴ ἰοῦσα στεγανῶς ἐς τὸν λέβητα, ἔχοντα 100.4
the and blast going closely-confined into the cauldron holding
ἄνθρακάς τε ἡμμένους καὶ θεῖον καὶ πίσσαν, φλόγα ἐποίει
coals both lit and sulfur and pitch flame made
μεγάλην καὶ ἧψε τοῦ τείχους, ὥστε μηδένα ἔτι ἐπ᾽
great and set-on-fire the wall so-that no-one longer on

αὐτοῦ μεῖναι, ἀλλὰ ἀπολιπόντας ἐς φυγὴν καταστῆναι
it to-stay but having-abandoned-it into flight to-be-put
καὶ τὸ τείχισμα τούτῳ τῷ τρόπῳ ἁλῶναι.
and the fortification in-this the way to-be-taken
100.5 τῶν δὲ φρουρῶν οἱ μὲν ἀπέθανον, διακόσιοι δὲ
of-the and garrison the-ones indeed died two-hundred and
ἐλήφθησαν· τῶν δὲ ἄλλων τὸ πλῆθος ἐς τὰς ναῦς
were-taken of-the and others the mass onto the ships
ἐσβὰν ἀπεκομίσθη ἐπ᾽ οἴκου.
having-embarked was-conveyed to home
101.1 τοῦ δὲ Δηλίου ἑπτακαιδεκάτῃ ἡμέρᾳ ληφθέντος μετὰ τὴν
— *and Delium on-the-seventeenth day having-been-taken after the*
μάχην καὶ τοῦ ἀπὸ τῶν Ἀθηναίων κήρυκος οὐδὲν ἐπισταμένου
battle and the from the Athenians herald nothing knowing
τῶν γεγενημένων ἐλθόντος οὐ πολὺ ὕστερον αὖθις περὶ τῶν
of-the things-having-happened having-come not long later again about the
νεκρῶν, ἀπέδοσαν οἱ Βοιωτοὶ καὶ οὐκέτι ταὐτὰ ἀπεκρίναντο.
dead gave-back the Boeotians and no-longer the-same answered
101.2 ἀπέθανον δὲ Βοιωτῶν μὲν ἐν τῇ μάχῃ ὀλίγῳ ἐλάσσους
died and of-Boeotians indeed in the battle a-little fewer-than
πεντακοσίων, Ἀθηναίων δὲ ὀλίγῳ ἐλάσσους χιλίων καὶ
five-hundred of-Athenians and a-little fewer-than a-thousand and
Ἱπποκράτης ὁ στρατηγός, ψιλῶν δὲ καὶ σκευοφόρων
Hippocrates the general of-light-armed and also of-baggage-carriers
πολὺς ἀριθμός.
great number
101.3 μετὰ δὲ τὴν μάχην ταύτην καὶ ὁ Δημοσθένης ὀλίγῳ
after and the battle this also — Demosthenes a-little
ὕστερον, ὡς αὐτῷ τότε πλεύσαντι τὰ περὶ τὰς Σίφας
later when for-him then having-sailed the-things about — Siphae
τῆς προδοσίας πέρι οὐ προυχώρησεν, ἔχων τὸν στρατὸν ἐπὶ
of-the betrayal about not succeeded having the army on

τῶν νεῶν τῶν τε Ἀκαρνάνων καὶ Ἀγραίων καὶ Ἀθηναίων
the ships of-the both Acarnanians and Agraeans and Athenians
τετρακοσίους ὁπλίτας, ἀπόβασιν ἐποιήσατο ἐς τὴν Σικυωνίαν.
four-hundred hoplites a-landing made in — Sicyonian-land
καὶ πρὶν πάσας τὰς ναῦς καταπλεῦσαι βοηθήσαντες οἱ 101.4
and before all the ships to-put-in having-come-to-help the
Σικυώνιοι τοὺς ἀποβεβηκότας ἔτρεψαν καὶ κατεδίωξαν ἐς τὰς
Sicyonians those having-landed routed and pursued to the
ναῦς, καὶ τοὺς μὲν ἀπέκτειναν, τοὺς δὲ ζῶντας ἔλαβον.
ships and the indeed killed the-others and alive took
τροπαῖον δὲ στήσαντες τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν.
a-trophy and having-set-up the dead under-truce gave-back
ἀπέθανε δὲ καὶ Σιτάλκης Ὀδρυσῶν βασιλεὺς ὑπὸ 101.5
died and also Sitalces of-Odrysians king about
τὰς αὐτὰς ἡμέρας τοῖς ἐπὶ Δηλίῳ, στρατεύσας ἐπὶ
the same days as-those at Delium having-campaigned against
Τριβαλλοὺς καὶ νικηθεὶς μάχῃ. Σεύθης δὲ ὁ Σπαραδόκου
Triballians and defeated in-battle Seuthes and the son-of-Sparadocus
ἀδελφιδοῦς ὢν αὐτοῦ ἐβασίλευσεν Ὀδρυσῶν τε καὶ τῆς
nephew being his became-king of-Odrysians both and of-the
ἄλλης Θρᾴκης ἥσπερ καὶ ἐκεῖνος.
other Thrace of-which-indeed also that-one

Amphipolis on the Strymon was founded by Hagnon for Athens. Brasidas marches on it in a snowy winter night, with men inside ready to betray it, seizes the bridge, and takes the country around it. He offers moderate terms: anyone may stay with equal rights or leave within five days. The city accepts. Thucydides the general, who wrote this history, sails from Thasos with seven ships, too late for Amphipolis, and saves Eion. Brasidas wins Myrcinus, Galepsus, and Oesyme. Athens takes alarm, and the subject cities, misjudging its power and trusting Brasidas, are eager to revolt. Brasidas asks Sparta for an army, but Sparta, from envy and wanting the island prisoners back, does not help.

102.1 τοῦ δ' αὐτοῦ χειμῶνος Βρασίδας ἔχων τοὺς ἐπὶ Θράκης
in-the and same winter Brasidas having the in Thrace
ξυμμάχους ἐστράτευσεν ἐς Ἀμφίπολιν τὴν ἐπὶ Στρυμόνι
allies marched against Amphipolis the on Strymon
ποταμῷ Ἀθηναίων ἀποικίαν.
river of-Athenians colony

102.2 τὸ δὲ χωρίον τοῦτο ἐφ' οὗ νῦν ἡ πόλις ἐστὶν ἐπείρασε μὲν
the and place this on which now the city is tried indeed
πρότερον καὶ Ἀρισταγόρας ὁ Μιλήσιος φεύγων βασιλέα
before also Aristagoras the Milesian fleeing king
Δαρεῖον κατοικίσαι, ἀλλὰ ὑπὸ Ἠδώνων ἐξεκρούσθη, ἔπειτα
Darius to-settle but by Edonians was-driven-out then
δὲ καὶ οἱ Ἀθηναῖοι ἔτεσι δύο καὶ τριάκοντα ὕστερον, ἐποίκους
and also the Athenians in-years two and thirty later settlers
μυρίους σφῶν τε αὐτῶν καὶ τῶν ἄλλων τὸν βουλόμενον
ten-thousand of-them both selves and of-the others the willing
πέμψαντες, οἳ διεφθάρησαν ἐν Δραβήσκῳ ὑπὸ Θρᾳκῶν.
having-sent who were-destroyed at Drabescus by Thracians

καὶ αὖθις ἑνὸς δέοντι τριακοστῷ ἔτει ἐλθόντες οἱ Ἀθηναῖοι, 102.3
and again one lacking in-the-thirtieth year having-come the Athenians
Ἄγνωνος τοῦ Νικίου οἰκιστοῦ ἐκπεμφθέντος, Ἠδῶνας
Hagnon the son-of-Nicias as-founder having-been-sent-out Edonians
ἐξελάσαντες ἔκτισαν τὸ χωρίον τοῦτο, ὅπερ πρότερον
having-driven-out founded the place this which before
Ἐννέα ὁδοὶ ἐκαλοῦντο.
Nine Ways were-called
ὡρμῶντο δὲ ἐκ τῆς Ἠιόνος, ἣν αὐτοὶ εἶχον ἐμπόριον ἐπὶ 102.4
they-set-out and from — Eion which themselves held a-trading-post at
τῷ στόματι τοῦ ποταμοῦ ἐπιθαλάσσιον, πέντε καὶ εἴκοσι
the mouth of-the river on-the-sea five and twenty
σταδίους ἀπέχον ἀπὸ τῆς νῦν πόλεως, ἣν Ἀμφίπολιν
stades distant from the present city which Amphipolis
Ἄγνων ὠνόμασεν, ὅτι ἐπ᾽ ἀμφότερα περιρρέοντος τοῦ
Hagnon named because on both-sides flowing-round —
Στρυμόνος τείχει μακρῷ ἀπολαβὼν ἐκ ποταμοῦ ἐς
Strymon with-a-wall long having-cut-off from river to
ποταμὸν περιφανῆ ἐς θάλασσάν τε καὶ τὴν ἤπειρον
river conspicuous toward sea both and the mainland
ᾤκισεν.
he-founded-it
ἐπὶ ταύτην οὖν ὁ Βρασίδας ἄρας ἐξ Ἀρνῶν τῆς 103.1
against this then — Brasidas having-set-out from Arnae —
Χαλκιδικῆς ἐπορεύετο τῷ στρατῷ. καὶ ἀφικόμενος περὶ
of-Chalcidice marched with-the army and having-arrived about
δείλην ἐπὶ τὸν Αὐλῶνα καὶ Βορμίσκον, ᾗ ἡ Βόλβη
afternoon at — Aulon and Bormiscus where — Bolbe
λίμνη ἐξίησιν ἐς θάλασσαν, καὶ δειπνοποιησάμενος ἐχώρει
lake flows-out into sea and having-taken-supper he-advanced
τὴν νύκτα.
the night

103.2 χειμὼν δὲ ἦν καὶ ὑπένειφεν· ᾗ καὶ μᾶλλον ὥρμησε,
storm and there-was and it-snowed-lightly whereby also the-more he-pressed-on
βουλόμενος λαθεῖν τοὺς ἐν τῇ Ἀμφιπόλει πλὴν τῶν
wishing to-escape-notice-of those in — Amphipolis except those
προδιδόντων.
betraying

103.3 ἦσαν γὰρ Ἀργιλίων τε ἐν αὐτῇ οἰκήτορες (εἰσὶ δὲ οἱ
there-were for of-Argilians both in it settlers are and the
Ἀργίλιοι Ἀνδρίων ἄποικοι) καὶ ἄλλοι οἳ ξυνέπρασσον ταῦτα,
Argilians of-Andrians colonists and others who helped-contrive this
οἱ μὲν Περδίκκᾳ πειθόμενοι, οἱ δὲ Χαλκιδεῦσιν.
the-ones indeed Perdiccas obeying the-others and Chalcidians

103.4 μάλιστα δὲ οἱ Ἀργίλιοι, ἐγγύς τε προσοικοῦντες καὶ αἰεί
most and the Argilians near both dwelling and always
ποτε τοῖς Ἀθηναίοις ὄντες ὕποπτοι καὶ ἐπιβουλεύοντες
ever to-the Athenians being suspect and plotting
τῷ χωρίῳ, ἐπειδὴ παρέτυχεν ὁ καιρὸς καὶ Βρασίδας
against-the place when came-along the opportunity and Brasidas
ἦλθεν, ἔπραξάν τε ἐκ πλέονος πρὸς τοὺς ἐμπολιτεύοντας
came negotiated both from long-before with those citizens-there
σφῶν ἐκεῖ ὅπως ἐνδοθήσεται ἡ πόλις, καὶ τότε δεξάμενοι
of-theirs there so-that would-be-betrayed the city and then having-received
αὐτὸν τῇ πόλει καὶ ἀποστάντες τῶν Ἀθηναίων ἐκείνῃ
him into-the city and having-revolted from-the Athenians that
τῇ νυκτὶ κατέστησαν τὸν στρατὸν πρὸ ἕω ἐπὶ τὴν
the night they-set the army before dawn at the
γέφυραν τοῦ ποταμοῦ.
bridge of-the river

103.5 ἀπέχει δὲ τὸ πόλισμα πλέον τῆς διαβάσεως, καὶ
is-distant and the town more than-the crossing and
οὐ καθεῖτο τείχη ὥσπερ νῦν, φυλακὴ δέ τις
not had-been-carried-down walls as now a-guard but some

βραχεῖα καθειστήκει· ἣν βιασάμενος ῥᾳδίως ὁ Βρασίδας,
small had-been-posted which having-overpowered easily — Brasidas
ἅμα μὲν τῆς προδοσίας οὔσης, ἅμα δὲ καὶ
at-the-same-time indeed the betrayal existing at-the-same-time and also
χειμῶνος ὄντος καὶ ἀπροσδοκήτοις προσπεσών, διέβη τὴν
storm being and unexpectedly falling-on-them crossed the
γέφυραν, καὶ τὰ ἔξω τῶν Ἀμφιπολιτῶν οἰκούντων
bridge and the-things outside of-the Amphipolitans dwelling
κατὰ πᾶν τὸ χωρίον εὐθὺς εἶχεν.
throughout all the place at-once held
τῆς δὲ διαβάσεως αὐτοῦ ἄφνω τοῖς ἐν τῇ πόλει γεγενημένης, 104.1
the and crossing his suddenly for-those in the city having-happened
καὶ τῶν ἔξω πολλῶν μὲν ἁλισκομένων, τῶν δὲ καὶ
and of-those outside many indeed being-captured the-others and also
καταφευγόντων ἐς τὸ τεῖχος, οἱ Ἀμφιπολῖται ἐς θόρυβον
fleeing into the wall the Amphipolitans into uproar
μέγαν κατέστησαν, ἄλλως τε καὶ ἀλλήλοις ὕποπτοι ὄντες.
great fell otherwise both and of-one-another suspicious being
καὶ λέγεται Βρασίδαν, εἰ ἠθέλησε μὴ ἐφ' ἁρπαγὴν τῷ 104.2
and it-is-said Brasidas if he-had-wished not to plunder with-the
στρατῷ τραπέσθαι, ἀλλ' εὐθὺς χωρῆσαι πρὸς τὴν πόλιν,
army to-turn but at-once to-advance against the city
δοκεῖν ἂν ἑλεῖν.
to-be-thought — to-have-taken-it
νῦν δὲ ὁ μὲν ἱδρύσας τὸν στρατόν, ἐπεὶ τὰ ἔξω 104.3
now but he indeed having-settled the army when the-things outside
ἐπέδραμε καὶ οὐδὲν αὐτῷ ἀπὸ τῶν ἔνδον ὡς προσεδέχετο
he-overran and nothing to-him from those inside as he-expected
ἀπέβαινεν, ἡσύχαζεν·
turned-out kept-quiet

104.4 οἱ δὲ ἐναντίοι τοῖς προδιδοῦσι, κρατοῦντες τῷ πλήθει
the and opponents to-the betrayers prevailing by-the numbers
ὥστε μὴ αὐτίκα τὰς πύλας ἀνοίγεσθαι, πέμπουσι μετὰ
so-that not at-once the gates to-be-opened send with
Εὐκλέους τοῦ στρατηγοῦ, ὃς ἐκ τῶν Ἀθηνῶν παρῆν
Eucles the general who from — Athens was-present
αὐτοῖς φύλαξ τοῦ χωρίου, ἐπὶ τὸν ἕτερον στρατηγὸν
to-them as-guard of-the place to the other general
τῶν ἐπὶ Θρᾴκης, Θουκυδίδην τὸν Ὀλόρου, ὃς τάδε
of-those in Thrace Thucydides the son-of-Olorus who these-things
ξυνέγραψεν, ὄντα περὶ Θάσον (ἔστι δὲ ἡ νῆσος Παρίων
wrote being near Thasos is and the island of-Parians
ἀποικία, ἀπέχουσα τῆς Ἀμφιπόλεως ἡμίσεος ἡμέρας
a-colony distant — from-Amphipolis half day
μάλιστα πλοῦν), κελεύοντες σφίσι βοηθεῖν.
about voyage bidding to-them to-come-to-help

104.5 καὶ ὁ μὲν ἀκούσας κατὰ τάχος ἑπτὰ ναυσὶν αἳ ἔτυχον
and he indeed having-heard in haste with-seven ships which happened
παροῦσαι ἔπλει, καὶ ἐβούλετο φθάσαι μάλιστα μὲν οὖν
being-present sailed and wished to-anticipate most indeed then
τὴν Ἀμφίπολιν, πρίν τι ἐνδοῦναι, εἰ δὲ μή, τὴν
— Amphipolis before something to-give-way if and not —
Ἠιόνα προκαταλαβών.
Eion having-seized-first

105.1 ἐν τούτῳ δὲ ὁ Βρασίδας δεδιὼς καὶ τὴν ἀπὸ τῆς Θάσου
in this and — Brasidas fearing both the from — Thasos
τῶν νεῶν βοήθειαν καὶ πυνθανόμενος τὸν Θουκυδίδην κτῆσίν
of-the ships help and learning — Thucydides possession
τε ἔχειν τῶν χρυσείων μετάλλων ἐργασίας ἐν τῇ περὶ ταῦτα
both to-have of-the gold mines of-working in the about these
Θρᾴκῃ καὶ ἀπ᾽ αὐτοῦ δύνασθαι ἐν τοῖς πρώτοις τῶν
Thrace and from it to-have-influence among the first of-the

ἠπειρωτῶν, ἠπείγετο προκατασχεῖν, εἰ δύναιτο, τὴν πόλιν,
mainlanders hastened to-seize-first if he-could the city
μὴ ἀφικνουμένου αὐτοῦ τὸ πλῆθος τῶν Ἀμφιπολιτῶν,
lest arriving him the commonalty of-the Amphipolitans
ἐλπίσαν ἐκ θαλάσσης ξυμμαχικὸν καὶ ἀπὸ τῆς Θρᾴκης
hoping from sea an-allied-force and from — Thrace
ἀγείραντα αὐτὸν περιποιήσειν σφᾶς, οὐκέτι προσχωροίη.
having-gathered him to-save them no-longer come-over
καὶ τὴν ξύμβασιν μετρίαν ἐποιεῖτο, κήρυγμα τόδε 105.2
and the agreement moderate he-made a-proclamation this
ἀνειπών, Ἀμφιπολιτῶν καὶ Ἀθηναίων τῶν ἐνόντων τὸν
proclaiming of-Amphipolitans and of-Athenians those within the
μὲν βουλόμενον ἐπὶ τοῖς ἑαυτοῦ τῆς ἴσης καὶ ὁμοίας
indeed wishing on the his-own of-the equal and like
μετέχοντα μένειν, τὸν δὲ μὴ ἐθέλοντα ἀπιέναι τὰ ἑαυτοῦ
sharing to-remain the and not willing to-depart the his-own
ἐκφερόμενον πέντε ἡμερῶν.
carrying-out within-five days
οἱ δὲ πολλοὶ ἀκούσαντες ἀλλοιότεροι ἐγένοντο τὰς 106.1
the and many having-heard more-altered became in-the
γνώμας, ἄλλως τε καὶ βραχὺ μὲν Ἀθηναίων ἐμπολιτεῦον,
minds otherwise both and few indeed of-Athenians being-citizens
τὸ δὲ πλέον ξύμμεικτον, καὶ τῶν ἔξω ληφθέντων συχνοῖς
the and more mixed and of-those outside captured many
οἰκεῖοι ἔνδον ἦσαν· καὶ τὸ κήρυγμα πρὸς τὸν φόβον
kinsmen inside were and the proclamation against the fear
δίκαιον εἶναι ὑπελάμβανον, οἱ μὲν Ἀθηναῖοι διὰ τὸ
just to-be they-supposed the indeed Athenians because-of the
ἄσμενοι ἂν ἐξελθεῖν, ἡγούμενοι οὐκ ἐν ὁμοίῳ σφίσι τὰ
gladly — to-go-out thinking not in like-case for-them the
δεινὰ εἶναι καὶ ἅμα οὐ προσδεχόμενοι βοήθειαν ἐν
dangers to-be and at-the-same-time not expecting help in

τάχει, ὁ δὲ ἄλλος ὅμιλος πόλεώς τε ἐν τῷ ἴσῳ
haste the and other crowd of-city both on the equal-terms
οὐ στερισκόμενοι καὶ κινδύνου παρὰ δόξαν ἀφιέμενοι.
not being-deprived and from-danger beyond expectation being-released
106.2 ὥστε τῶν πρασσόντων τῷ Βρασίδᾳ ἤδη καὶ ἐκ τοῦ
so-that those negotiating — with-Brasidas now also from the
φανεροῦ διαδικαιούντων αὐτά, ἐπειδὴ καὶ τὸ πλῆθος
open justifying it since also the commonalty
ἑώρων τεταμμένον καὶ τοῦ παρόντος Ἀθηναίων στρατηγοῦ
they-saw turned and the present of-Athenians general
οὐκέτι ἀκροώμενον, ἐγένετο ἡ ὁμολογία καὶ προσεδέξαντο
no-longer listening came-about the agreement and they-received-him
ἐφ' οἷς ἐκήρυξεν.
on what he-proclaimed
106.3 καὶ οἱ μὲν τὴν πόλιν τοιούτῳ τρόπῳ παρέδοσαν, ὁ δὲ
and they indeed the city in-such way handed-over — and
Θουκυδίδης καὶ αἱ νῆες ταύτῃ τῇ ἡμέρᾳ ὀψὲ κατέπλεον
Thucydides and the ships this the day late sailed-in
ἐς τὴν Ἠιόνα.
to — Eion
106.4 καὶ τὴν μὲν Ἀμφίπολιν Βρασίδας ἄρτι εἶχε, τὴν δὲ
and — indeed Amphipolis Brasidas just held — and
Ἠιόνα παρὰ νύκτα ἐγένετο λαβεῖν· εἰ γὰρ μὴ ἐβοήθησαν
Eion by a-night it-came to-take if for not had-come-to-help
αἱ νῆες διὰ τάχους, ἅμα ἕῳ ἂν εἴχετο.
the ships with speed together-with dawn — it-would-have-been-held
107.1 μετὰ δὲ τοῦτο ὁ μὲν τὰ ἐν τῇ Ἠιόνι καθίστατο,
after and this he indeed the-things in — Eion settled
ὅπως καὶ τὸ αὐτίκα, ἢν ἐπίῃ ὁ Βρασίδας, καὶ τὸ ἔπειτα
so-that both the immediate if attacks — Brasidas and the hereafter

ἀσφαλῶς ἕξει, δεξάμενος τοὺς ἐθελήσαντας ἐπιχωρῆσαι
safely it-will-hold having-received those having-wished to-come-in
ἄνωθεν κατὰ τὰς σπονδάς·
from-upriver according-to the truce
ὁ δὲ πρὸς μὲν τὴν Ἠιόνα κατά τε τὸν ποταμὸν πολλοῖς 107.2
he and to indeed — Eion by both the river with-many
πλοίοις ἄφνω καταπλεύσας, εἴ πως τὴν προύχουσαν
boats suddenly having-sailed-down if somehow the projecting
ἄκραν ἀπὸ τοῦ τείχους λαβὼν κρατοίη τοῦ ἔσπλου,
point from the wall taking he-might-command the entrance
καὶ κατὰ γῆν ἀποπειράσας ἅμα, ἀμφοτέρωθεν
and by land having-made-an-attempt at-the-same-time from-both-sides
ἀπεκρούσθη, τὰ δὲ περὶ τὴν Ἀμφίπολιν ἐξηρτύετο.
was-beaten-off the-things and about — Amphipolis he-set-in-order
καὶ Μύρκινός τε αὐτῷ προσεχώρησεν Ἠδωνικὴ πόλις, 107.3
and Myrcinus both to-him came-over an-Edonian city
Πιττακοῦ τοῦ Ἠδώνων βασιλέως ἀποθανόντος ὑπὸ τῶν
Pittacus the of-Edonians king having-been-killed by the
Γοάξιος παίδων καὶ Βραυροῦς τῆς γυναικὸς αὐτοῦ, καὶ
of-Goaxis sons and Brauro the wife his and
Γαληψὸς οὐ πολλῷ ὕστερον καὶ Οἰσύμη· εἰσὶ δὲ αὗται
Galepsus not much later and Oesyme are and these
Θασίων ἀποικίαι. παρὼν δὲ καὶ Περδίκκας εὐθὺς μετὰ
of-Thasians colonies being-present and also Perdiccas at-once after
τὴν ἅλωσιν ξυγκαθίστη ταῦτα.
the capture helped-settle these-things
ἐχομένης δὲ τῆς Ἀμφιπόλεως οἱ Ἀθηναῖοι ἐς μέγα δέος 108.1
being-held and — Amphipolis the Athenians into great alarm
κατέστησαν, ἄλλως τε καὶ ὅτι ἡ πόλις αὐτοῖς ἦν ὠφέλιμος
fell otherwise both and because the city to-them was useful
ξύλων τε ναυπηγησίμων πομπῇ καὶ χρημάτων προσόδῳ,
of-timber both for-shipbuilding by-conveyance and of-money by-revenue

καὶ ὅτι μέχρι μὲν τοῦ Στρυμόνος ἦν πάροδος Θεσσαλῶν
and because as-far-as indeed — Strymon there-was a-passage Thessalians
διαγόντων ἐπὶ τοὺς ξυμμάχους σφῶν τοῖς Λακεδαιμονίοις,
leading-them against the allies their for-the Lacedaemonians
τῆς δὲ γεφύρας μὴ κρατούντων, ἄνωθεν μὲν μεγάλης οὔσης
the but bridge not commanding from-upriver indeed large being
ἐπὶ πολὺ λίμνης τοῦ ποταμοῦ, τὰ δὲ πρὸς Ἠιόνα τριήρεσι
for far a-lake of-the river the and toward Eion with-triremes
τηρουμένων, οὐκ ἂν δύνασθαι προελθεῖν· τότε δὲ ῥᾴδια ἤδη
being-watched not — to-be-able to-advance then but easy now
γεγενῆσθαι. καὶ τοὺς ξυμμάχους ἐφοβοῦντο μὴ ἀποστῶσιν.
to-have-become and the allies they-feared lest they-revolt

108.2 ὁ γὰρ Βρασίδας ἔν τε τοῖς ἄλλοις μέτριον ἑαυτὸν
— for Brasidas in both the other-respects moderate himself
παρεῖχε, καὶ ἐν τοῖς λόγοις πανταχοῦ ἐδήλου ὡς
showed and in the speeches everywhere declared that
ἐλευθερώσων τὴν Ἑλλάδα ἐκπεμφθείη.
going-to-free — Greece he-had-been-sent-out

108.3 καὶ αἱ πόλεις πυνθανόμεναι αἱ τῶν Ἀθηναίων ὑπήκοοι τῆς τε
and the cities learning the of-the Athenians subject — both
Ἀμφιπόλεως τὴν ἅλωσιν καὶ ἃ παρέχεται, τήν τε ἐκείνου
of-Amphipolis the capture and what he-offers the and his
πραότητα, μάλιστα δὴ ἐπήρθησαν ἐς τὸ νεωτερίζειν,
mildness most indeed were-roused to the to-revolt
καὶ ἐπεκηρυκεύοντο πρὸς αὐτὸν κρύφα, ἐπιπαριέναι τε
and sent-heralds to him secretly to-come-to-them both
κελεύοντες καὶ βουλόμενοι αὐτοὶ ἕκαστοι πρῶτοι ἀποστῆναι.
bidding and wishing themselves each first to-revolt

108.4 καὶ γὰρ καὶ ἄδεια ἐφαίνετο αὐτοῖς, ἐψευσμένοις μὲν τῆς
and for also security appeared to-them deceived indeed about-the
Ἀθηναίων δυνάμεως ἐπὶ τοσοῦτον ὅση ὕστερον διεφάνη,
of-Athenians power to such-a-degree as later was-shown

τὸ δὲ πλέον βουλήσει κρίνοντες ἀσαφεῖ ἢ προνοίᾳ
the but more by-wish judging uncertain than by-foresight
ἀσφαλεῖ, εἰωθότες οἱ ἄνθρωποι οὗ μὲν ἐπιθυμοῦσιν
safe accustomed the men to-what indeed they-desire
ἐλπίδι ἀπερισκέπτῳ διδόναι, ὃ δὲ μὴ προσίενται λογισμῷ
to-a-hope heedless to-give what but not they-accept with-reason
αὐτοκράτορι διωθεῖσθαι.
absolute to-reject
ἅμα δὲ τῶν Ἀθηναίων ἐν τοῖς Βοιωτοῖς νεωστὶ 108.5
at-the-same-time and the Athenians among the Boeotians recently
πεπληγμένων καὶ τοῦ Βρασίδου ἐφολκὰ καὶ οὐ τὰ ὄντα
having-been-struck and — Brasidas enticing and not the true-things
λέγοντος, ὡς αὐτῷ ἐπὶ Νίσαιαν τῇ ἑαυτοῦ μόνῃ
saying that with-him at Nisaea with-the his-own alone
στρατιᾷ οὐκ ἠθέλησαν οἱ Ἀθηναῖοι ξυμβαλεῖν, ἐθάρσουν
army not were-willing the Athenians to-engage they-were-confident
καὶ ἐπίστευον μηδένα ἂν ἐπὶ σφᾶς βοηθῆσαι.
and believed no-one — against them to-come-to-help
τὸ δὲ μέγιστον, διὰ τὸ ἡδονὴν ἔχον ἐν τῷ αὐτίκα 108.6
the but greatest because-of the pleasure having at the immediate
καὶ ὅτι τὸ πρῶτον Λακεδαιμονίων ὀργώντων ἔμελλον
and that the first Lacedaemonians being-eager they-were-going
πειράσεσθαι, κινδυνεύειν παντὶ τρόπῳ ἑτοῖμοι ἦσαν. ὧν
to-make-trial to-run-risk in-every way ready they-were of-which
αἰσθανόμενοι οἱ μὲν Ἀθηναῖοι φυλακάς, ὡς ἐξ ὀλίγου καὶ ἐν
perceiving the indeed Athenians garrisons as at short-notice and in
χειμῶνι, διέπεμπον ἐς τὰς πόλεις, ὁ δὲ ἐς τὴν Λακεδαίμονα
winter sent-round to the cities he and to — Lacedaemon
ἐφιέμενος στρατιάν τε προσαποστέλλειν ἐκέλευε καὶ αὐτὸς
sending-word an-army both to-send-in-addition urged and himself
ἐν τῷ Στρυμόνι ναυπηγίαν τριήρων παρεσκευάζετο.
on — Strymon building of-triremes prepared

108.7 οἱ δὲ Λακεδαιμόνιοι τὰ μὲν καὶ φθόνῳ ἀπὸ τῶν
the and Lacedaemonians partly indeed also from-envy from the
πρώτων ἀνδρῶν οὐχ ὑπηρέτησαν αὐτῷ, τὰ δὲ καὶ
first men not served him partly and also
βουλόμενοι μᾶλλον τούς τε ἄνδρας τοὺς ἐκ τῆς νήσου
wishing rather the both men those from the island
κομίσασθαι καὶ τὸν πόλεμον καταλῦσαι.
to-recover and the war to-end

XXII · ACTE, TORONE, AND LECYTHUS

In the same winter the Megarians raze the long walls. Brasidas marches into Acte, the peninsula of Athos, and most of its towns come over, though Sane and Dium hold out. At Torone, traitors inside let a party in by night, the gates are opened, and the city is taken while the Athenian garrison flees to the fort of Lecythus. Brasidas tells the Toronaeans that he has not come to harm the city and that its people should be loyal allies. He attacks Lecythus. The building the defenders have set a wooden tower on collapses under the weight, and the place falls. He gives thirty minae to the temple of Athena, believing the place was taken by more than human means.

109.1 τοῦ δ' αὐτοῦ χειμῶνος Μεγαρῆς τε τὰ μακρὰ τείχη,
in-the and same winter Megarians both the long walls
ἃ σφῶν οἱ Ἀθηναῖοι εἶχον, κατέσκαψαν ἑλόντες ἐς
which from-them the Athenians held razed having-taken-them to
ἔδαφος, καὶ Βρασίδας μετὰ τὴν Ἀμφιπόλεως ἅλωσιν ἔχων
ground and Brasidas after the of-Amphipolis capture having
τοὺς ξυμμάχους στρατεύει ἐπὶ τὴν Ἀκτὴν καλουμένην.
the allies marches against — Acte called

ἔστι δὲ ἀπὸ τοῦ βασιλέως διορύγματος ἔσω προύχουσα, 109.2
it-is and from the king's canal inward projecting
καὶ ὁ Ἄθως αὐτῆς ὄρος ὑψηλὸν τελευτᾷ ἐς τὸ Αἰγαῖον
and — Athos of-it mountain high ends in the Aegean
πέλαγος.
sea
πόλεις δὲ ἔχει Σάνην μὲν Ἀνδρίων ἀποικίαν παρ' αὐτὴν 109.3
cities and it-has Sane indeed of-Andrians colony along the-very
τὴν διώρυχα, ἐς τὸ πρὸς Εὔβοιαν πέλαγος τετραμμένην,
the canal toward the toward Euboea sea facing
τὰς δὲ ἄλλας Θυσσὸν καὶ Κλεωνὰς καὶ Ἀκροθώους καὶ
the and others Thyssus and Cleonae and Acrothoi and
Ὀλόφυξον καὶ Δῖον·
Olophyxus and Dium
αἳ οἰκοῦνται ξυμμείκτοις ἔθνεσι βαρβάρων διγλώσσων, 109.4
which are-inhabited by-mixed races of-barbarians bilingual
καί τι καὶ Χαλκιδικὸν ἔνι βραχύ, τὸ δὲ πλεῖστον
and some also Chalcidian is-in-them small the but most
Πελασγικόν, τῶν καὶ Λῆμνόν ποτε καὶ Ἀθήνας Τυρσηνῶν
Pelasgian of-the also Lemnos once and Athens Tyrrhenians
οἰκησάντων, καὶ Βισαλτικὸν καὶ Κρηστωνικὸν καὶ Ἠδῶνες·
having-inhabited and Bisaltic and Crestonian and Edonians
κατὰ δὲ μικρὰ πολίσματα οἰκοῦσιν.
in and small towns they-dwell
καὶ οἱ μὲν πλείους προσεχώρησαν τῷ Βρασίδᾳ, Σάνη δὲ 109.5
and the indeed most came-over — to-Brasidas Sane but
καὶ Δῖον ἀντέστη, καὶ αὐτῶν τὴν χώραν ἐμμείνας τῷ
and Dium held-out and of-them the country having-stayed with-the
στρατῷ ἐδῄου.
army he-ravaged

110.1 ὡς δ᾽ οὐκ ἐσήκουον, εὐθὺς στρατεύει ἐπὶ Τορώνην τὴν
when and not they-listened at-once he-marches against Torone the
Χαλκιδικήν, κατεχομένην ὑπὸ Ἀθηναίων· καὶ αὐτὸν ἄνδρες
Chalcidian held by Athenians and him men
ὀλίγοι ἐπήγοντο, ἑτοῖμοι ὄντες τὴν πόλιν παραδοῦναι.
few were-inviting ready being the city to-hand-over
καὶ ἀφικόμενος νυκτὸς ἔτι καὶ περὶ ὄρθρον τῷ στρατῷ
and having-arrived by-night still and about daybreak with-the army
ἐκαθέζετο πρὸς τὸ Διοσκόρεον, ὃ ἀπέχει τῆς πόλεως
he-sat-down at — Dioscureum which is-distant from-the city
τρεῖς μάλιστα σταδίους.
three about stades

110.2 τὴν μὲν οὖν ἄλλην πόλιν τῶν Τορωναίων καὶ τοὺς
the indeed then other city of-the Toronaeans and the
Ἀθηναίους τοὺς ἐμφρουροῦντας ἔλαθεν· οἱ δὲ
Athenians the garrisoning he-escaped-notice-of the and
πράσσοντες αὐτῷ εἰδότες ὅτι ἥξοι, καὶ προελθόντες
negotiating with-him knowing that he-would-come and having-gone-forward
τινὲς αὐτῶν λάθρᾳ ὀλίγοι, ἐτήρουν τὴν πρόσοδον, καὶ
some of-them secretly few watched the approach and
ὡς ᾔσθοντο παρόντα, ἐσκομίζουσι παρ᾽ αὑτοὺς ἐγχειρίδια
when they-perceived him-present they-bring-in to themselves daggers
ἔχοντας ἄνδρας ψιλοὺς ἑπτά (τοσοῦτοι γὰρ μόνοι
having men light-armed seven so-many for alone
ἀνδρῶν εἴκοσι τὸ πρῶτον ταχθέντων οὐ κατέδεισαν
of-men twenty the first having-been-assigned not feared
ἐσελθεῖν· ἦρχε δὲ αὐτῶν Λυσίστρατος Ὀλύνθιος), οἳ
to-enter commanded and them Lysistratus an-Olynthian who
διαδύντες διὰ τοῦ πρὸς τὸ πέλαγος τείχους καὶ
having-slipped-through by the toward the sea wall and
λαθόντες τούς τε ἐπὶ τοῦ ἀνωτάτω φυλακτηρίου
having-escaped-notice-of the both on the topmost guard-post

φρουρούς, οὔσης τῆς πόλεως πρὸς λόφον, ἀναβάντες
garrison being the city on a-hill having-gone-up
διέφθειραν καὶ τὴν κατὰ Καναστραῖον πυλίδα διῄρουν.
killed and the toward Canastraeum postern broke-through
ὁ δὲ Βρασίδας τῷ μὲν ἄλλῳ στρατῷ ἡσύχαζεν 111.1
— *and Brasidas with-the indeed other army kept-quiet*
ὀλίγον προελθών, ἑκατὸν δὲ πελταστὰς προπέμπει, ὅπως,
a-little having-advanced a-hundred and peltasts sends-ahead so-that
ὁπότε πύλαι τινὲς ἀνοιχθεῖεν καὶ τὸ σημεῖον ἀρθείη ὃ
whenever gates some should-be-opened and the signal raised which
ξυνέκειτο, πρῶτοι ἐσδράμοιεν.
had-been-agreed first they-might-run-in
καὶ οἱ μὲν χρόνου ἐγγιγνομένου καὶ θαυμάζοντες κατὰ 111.2
and they indeed time passing and wondering by
μικρὸν ἔτυχον ἐγγὺς τῆς πόλεως προσελθόντες· οἱ δὲ
little happened near the city having-come-up the and
τῶν Τορωναίων ἔνδοθεν παρασκευάζοντες μετὰ τῶν
of-the Toronaeans from-within preparing with those
ἐσεληλυθότων, ὡς αὐτοῖς ἥ τε πυλὶς διῄρητο καὶ
having-come-in when by-them the both postern had-been-broken-through and
αἱ κατὰ τὴν ἀγορὰν πύλαι τοῦ μοχλοῦ διακοπέντος
the by the market gates the bar having-been-cut-through
ἀνεῴγοντο, πρῶτον μὲν κατὰ τὴν πυλίδα τινὰς
were-opened first indeed by the postern some
περιαγαγόντες ἐσεκόμισαν, ὅπως κατὰ νώτου καὶ
having-brought-round they-brought-in so-that on back and
ἀμφοτέρωθεν τοὺς ἐν τῇ πόλει οὐδὲν εἰδότας ἐξαπίνης
from-both-sides those in the city nothing knowing suddenly
φοβήσειαν, ἔπειτα τὸ σημεῖόν τε τοῦ πυρός, ὡς εἴρητο,
they-might-terrify then the signal both of-the fire as had-been-agreed

ἀνέσχον, καὶ διὰ τῶν κατὰ τὴν ἀγορὰν πυλῶν τοὺς
they-raised and through the by the market gates the
λοιποὺς ἤδη τῶν πελταστῶν ἐσεδέχοντο.
rest now of-the peltasts they-received

112.1 καὶ ὁ Βρασίδας ἰδὼν τὸ ξύνθημα ἔθει δρόμῳ, ἀναστήσας
and — Brasidas seeing the signal ran at-a-run having-raised
τὸν στρατὸν ἐμβοήσαντάς τε ἁθρόον καὶ ἔκπληξιν πολλὴν
the army having-shouted both together and consternation much
τοῖς ἐν τῇ πόλει παρασχόντας.
to-those in the city having-caused

112.2 καὶ οἱ μὲν κατὰ τὰς πύλας εὐθὺς ἐσέπιπτον, οἱ
and the-ones indeed by the gates at-once rushed-in the-others
δὲ κατὰ δοκοὺς τετραγώνους, αἳ ἔτυχον τῷ τείχει
and by beams squared which happened against-the wall
πεπτωκότι καὶ οἰκοδομουμένῳ πρὸς λίθων ἀνολκὴν
having-fallen and being-rebuilt for of-stones hauling
προσκείμεναι.
lying-against-it

112.3 Βρασίδας μὲν οὖν καὶ τὸ πλῆθος εὐθὺς ἄνω καὶ ἐπὶ τὰ
Brasidas indeed then and the multitude at-once upward and to the
μετέωρα τῆς πόλεως ἐτράπετο, βουλόμενος κατ᾽ ἄκρας
heights of-the city turned wishing from top
καὶ βεβαίως ἑλεῖν αὐτήν· ὁ δὲ ἄλλος ὅμιλος κατὰ
and securely to-take it the and other crowd in
πάντα ὁμοίως ἐσκεδάννυντο.
all-directions alike scattered

113.1 τῶν δὲ Τορωναίων γιγνομένης τῆς ἁλώσεως τὸ μὲν
of-the and Toronaeans happening the capture the indeed
πολὺ οὐδὲν εἰδὸς ἐθορυβεῖτο, οἱ δὲ πράσσοντες καὶ
greater-part nothing knowing was-in-uproar the and negotiating and
οἷς ταῦτα ἤρεσκε μετὰ τῶν ἐσελθόντων εὐθὺς ἦσαν.
whom these-things pleased with those having-entered at-once were

οἱ δὲ Ἀθηναῖοι (ἔτυχον γὰρ ἐν τῇ ἀγορᾷ ὁπλῖται 113.2
the and Athenians happened for in the market hoplites
καθεύδοντες ὡς πεντήκοντα) ἐπειδὴ ᾔσθοντο, οἱ μέν
sleeping about fifty when they-perceived the indeed
τινες ὀλίγοι διαφθείρονται ἐν χερσὶν αὐτῶν, τῶν δὲ
some few are-destroyed in hands of-them of-the and
λοιπῶν οἱ μὲν πεζῇ, οἱ δὲ ἐς τὰς ναῦς, αἳ
rest the-ones indeed by-land the-others and to the ships which
ἐφρούρουν δύο, καταφυγόντες διασῴζονται ἐς τὴν Λήκυθον
kept-guard two having-fled get-safe to — Lecythus
τὸ φρούριον, ὃ εἶχον αὐτοὶ καταλαβόντες, ἄκρον τῆς
the fort which held themselves having-occupied a-height of-the
πόλεως ἐς τὴν θάλασσαν ἀπειλημμένον ἐν στενῷ ἰσθμῷ.
city into the sea cut-off on narrow isthmus
κατέφυγον δὲ καὶ τῶν Τορωναίων ἐς αὐτοὺς ὅσοι 113.3
fled and also of-the Toronaeans to them as-many-as
ἦσαν σφίσιν ἐπιτήδειοι.
were to-them friendly
γεγενημένης δὲ ἡμέρας ἤδη καὶ βεβαίως τῆς πόλεως ἐχομένης 114.1
having-come and day now and securely the city being-held
ὁ Βρασίδας τοῖς μὲν μετὰ τῶν Ἀθηναίων Τορωναίοις
— Brasidas to-the indeed with the Athenians Toronaeans
καταπεφευγόσι κήρυγμα ἐποιήσατο τὸν βουλόμενον ἐπὶ τὰ
having-fled a-proclamation made the willing to the
ἑαυτοῦ ἐξελθόντα ἀδεῶς πολιτεύειν, τοῖς δὲ Ἀθηναίοις
his-own having-come-out without-fear to-be-a-citizen to-the and Athenians
κήρυκα προσπέμψας ἐξιέναι ἐκέλευεν ἐκ τῆς Ληκύθου
a-herald having-sent to-come-out he-bade from — Lecythus
ὑποσπόνδους καὶ τὰ ἑαυτῶν ἔχοντας ὡς οὔσης Χαλκιδέων.
under-truce and the their-own having as being of-Chalcidians

114.2 οἱ δὲ ἐκλείψειν μὲν οὐκ ἔφασαν, σπείσασθαι δὲ σφίσιν
they and to-abandon indeed not said to-make-a-truce but for-them
ἐκέλευον ἡμέραν τοὺς νεκροὺς ἀνελέσθαι. ὁ δὲ ἐσπείσατο
bade for-a-day the dead to-take-up he and made-truce
δύο. ἐν ταύταις δὲ αὐτός τε τὰς ἐγγὺς οἰκίας ἐκρατύνατο
for-two in these and himself both the near houses fortified
καὶ Ἀθηναῖοι τὰ σφέτερα.
and Athenians the their-own

114.3 καὶ ξύλλογον τῶν Τορωναίων ποιήσας ἔλεξε τοῖς ἐν
and an-assembly of-the Toronaeans having-made he-spoke to-those at
τῇ Ἀκάνθῳ παραπλήσια, ὅτι οὐ δίκαιον εἴη οὔτε τοὺς
— *Acanthus things-similar that not just it-was neither those*
πράξαντας πρὸς αὐτὸν τὴν λῆψιν τῆς πόλεως χείρους
having-negotiated with him the taking of-the city worse
οὐδὲ προδότας ἡγεῖσθαι (οὐ γὰρ ἐπὶ δουλείᾳ οὐδὲ χρήμασι
nor traitors to-consider not for for enslavement nor by-money
πεισθέντας δρᾶσαι τοῦτο, ἀλλ᾽ ἐπὶ ἀγαθῷ καὶ ἐλευθερίᾳ
persuaded to-have-done this but for good and freedom
τῆς πόλεως) οὔτε τοὺς μὴ μετασχόντας οἴεσθαι μὴ τῶν
of-the city nor those not having-taken-part to-think not the
αὐτῶν τεύξεσθαι· ἀφῖχθαι γὰρ οὐ διαφθερῶν οὔτε πόλιν
same to-obtain to-have-come for not going-to-destroy neither city
οὔτε ἰδιώτην οὐδένα.
nor private-man any

114.4 τὸ δὲ κήρυγμα ποιήσασθαι τούτου ἕνεκα τοῖς παρ᾽
the and proclamation to-have-made for-this sake to-those with
Ἀθηναίους καταπεφευγόσιν, ὡς ἡγούμενος οὐδὲν χείρους τῇ
Athenians having-fled as thinking not-at-all worse for-the
ἐκείνων φιλίᾳ· οὐδ᾽ ἂν σφῶν πειρασαμένους αὐτοὺς δοκεῖν
their friendship nor — them having-tried them to-seem

ἧσσον, ἀλλὰ πολλῷ μᾶλλον, ὅσῳ δικαιότερα πράσσουσιν,
less but much rather by-as-much juster-things they-do
εὔνους ἂν σφίσι γενέσθαι, ἀπειρίᾳ δὲ νῦν πεφοβῆσθαι.
well-disposed — to-them to-become from-inexperience but now to-have-been-afraid
τούς τε πάντας παρασκευάζεσθαι ἐκέλευεν ὡς βεβαίους 114.5
the and all to-prepare he-bade as faithful
τε ἐσομένους ξυμμάχους καὶ τὸ ἀπὸ τοῦδε ἤδη ὅτι ἂν
both going-to-be allies and the from this now whatever —
ἁμαρτάνωσιν αἰτίαν ἔξοντας· τὰ δὲ πρότερα οὐ σφεῖς
they-err blame going-to-bear the and former-things not themselves
ἀδικεῖσθαι, ἀλλ᾽ ἐκείνους μᾶλλον ὑπ᾽ ἄλλων κρεισσόνων,
to-be-wronged but those rather by others stronger
καὶ ξυγγνώμην εἶναι εἴ τι ἠναντιοῦντο.
and pardon to-be if anything they-had-opposed
καὶ ὁ μὲν τοιαῦτα εἰπὼν καὶ παραθαρσύνας διελθουσῶν 115.1
and he indeed such-things having-said and having-encouraged having-expired
τῶν σπονδῶν τὰς προσβολὰς ἐποιεῖτο τῇ Λεκύθῳ· οἱ δὲ
the truce the attacks made — on-Lecythus the and
Ἀθηναῖοι ἠμύνοντό τε ἐκ φαύλου τειχίσματος καὶ ἀπ᾽
Athenians defended-themselves both from a-poor fortification and from
οἰκιῶν ἐπάλξεις ἐχουσῶν,
houses battlements having
καὶ μίαν μὲν ἡμέραν ἀπεκρούσαντο· τῇ δ᾽ ὑστεραίᾳ 115.2
and one indeed day they-beat-them-off on-the and next-day
μηχανῆς μελλούσης προσάξεσθαι αὐτοῖς ἀπὸ τῶν
an-engine being-about to-be-brought-up against-them from the
ἐναντίων, ἀφ᾽ ἧς πῦρ ἐνήσειν διενοοῦντο ἐς τὰ ξύλινα
enemy from which fire to-throw-in they-intended into the wooden
παραφράγματα, καὶ προσιόντος ἤδη τοῦ στρατεύματος,
screens and approaching already the army
ᾗ ὤοντο μάλιστα αὐτοὺς προσκομεῖν τὴν μηχανὴν καὶ
where they-thought most them to-bring-up the engine and

ἦν ἐπιμαχώτατον, πύργον ξύλινον ἐπ᾽ οἴκημα ἀντέστησαν,
it-was most-assailable a-tower wooden on a-building they-set-up-against-it
καὶ ὕδατος ἀμφορέας πολλοὺς καὶ πίθους ἀνεφόρησαν καὶ
and of-water jars many and casks carried-up and
λίθους μεγάλους, ἄνθρωποί τε πολλοὶ ἀνέβησαν.
stones great men both many went-up
115.3 τὸ δὲ οἴκημα λαβὸν μεῖζον ἄχθος ἐξαπίνης κατερράγη
the and building taking greater load suddenly broke-down
καὶ ψόφου πολλοῦ γενομένου τοὺς μὲν ἐγγὺς καὶ ὁρῶντας
and noise great having-arisen those indeed near and seeing
τῶν Ἀθηναίων ἐλύπησε μᾶλλον ἢ ἐφόβησεν, οἱ δὲ
of-the Athenians it-grieved rather than frightened those but
ἄπωθεν, καὶ μάλιστα οἱ διὰ πλείστου, νομίσαντες ταύτῃ
far-off and most those at greatest-distance thinking here
ἑαλωκέναι ἤδη τὸ χωρίον, φυγῇ ἐς τὴν θάλασσαν καὶ
to-have-been-taken already the place in-flight to the sea and
τὰς ναῦς ὥρμησαν.
the ships rushed
116.1 καὶ ὁ Βρασίδας ὡς ᾔσθετο αὐτοὺς ἀπολείποντάς τε
and — Brasidas when he-perceived them leaving both
τὰς ἐπάλξεις καὶ τὸ γιγνόμενον ὁρῶν, ἐπιφερόμενος
the battlements and the happening seeing pressing-on
τῷ στρατῷ εὐθὺς τὸ τείχισμα λαμβάνει, καὶ ὅσους
with-the army at-once the fortification takes and as-many-as
ἐγκατέλαβε διέφθειρεν.
he-caught he-killed
116.2 καὶ οἱ μὲν Ἀθηναῖοι τοῖς τε πλοίοις καὶ ταῖς ναυσὶ
and the indeed Athenians with-the both boats and the ships
τούτῳ τῷ τρόπῳ ἐκλιπόντες τὸ χωρίον ἐς Παλλήνην
in-this the way having-abandoned the place to Pallene
διεκομίσθησαν· ὁ δὲ Βρασίδας (ἔστι γὰρ ἐν τῇ Λεκύθῳ
were-conveyed — and Brasidas is for in — Lecythus

Ἀθηνᾶς ἱερόν, καὶ ἔτυχε κηρύξας, ὅτε ἔμελλε
of-Athena a-sanctuary and he-happened having-proclaimed when he-was-about
προσβαλεῖν, τῷ ἐπιβάντι πρώτῳ τοῦ τείχους
to-attack to-the-one having-mounted first of-the wall
τριάκοντα μνᾶς ἀργυρίου δώσειν) νομίσας ἄλλῳ τινὶ
thirty minae of-silver to-give thinking by-other some
τρόπῳ ἢ ἀνθρωπείῳ τὴν ἅλωσιν γενέσθαι, τάς τε
way than human the capture to-have-happened the both
τριάκοντα μνᾶς τῇ θεῷ ἀπέδωκεν ἐς τὸ ἱερὸν καὶ τὴν
thirty minae to-the goddess gave to the sanctuary and —
Λήκυθον καθελὼν καὶ ἀνασκευάσας τέμενος ἀνῆκεν ἅπαν.
Lecythus having-razed and having-cleared a-precinct dedicated all-of-it
καὶ ὁ μὲν τὸ λοιπὸν τοῦ χειμῶνος ἅ τε εἶχε τῶν 116.3
and he indeed the rest of-the winter what both he-held of-the
χωρίων καθίστατο καὶ τοῖς ἄλλοις ἐπεβούλευεν· καὶ τοῦ
places settled and against-the others plotted and the
χειμῶνος διελθόντος ὄγδοον ἔτος ἐτελεύτα τῷ πολέμῳ.
winter having-passed eighth year ended for-the war

XXIII · THE TRUCE FOR A YEAR

In the spring the Athenians and the Spartans make a truce for a year. The Athenians want to stop Brasidas winning more cities while they prepare, and the Spartans hope to recover the men taken on the island and to reach a longer peace. The terms are recorded: access to the oracle of Pythian Apollo, each side keeping what it holds, no reception of deserters, envoys free to travel, and negotiation toward an end of the war. The Athenian assembly passes it, and the names of those who swore are given.

Λακεδαιμόνιοι δὲ καὶ Ἀθηναῖοι ἅμα ἦρι τοῦ 117.1
Lacedaemonians and and Athenians together-with spring of-the
ἐπιγιγνομένου θέρους εὐθὺς ἐκεχειρίαν ἐποιήσαντο ἐνιαύσιον,
following summer at-once an-armistice made for-a-year

νομίσαντες Ἀθηναῖοι μὲν οὐκ ἂν ἔτι τὸν Βρασίδαν σφῶν
thinking Athenians indeed not — any-longer — Brasidas from-them
προσαποστῆσαι οὐδὲν πρὶν παρασκευάσαιντο καθ' ἡσυχίαν,
to-detach nothing before they-should-prepare at leisure
καὶ ἅμα, εἰ καλῶς σφίσιν ἔχοι, καὶ ξυμβῆναι τὰ
and at-the-same-time if well for-them it-should-be also to-come-to-terms for-the
πλείω, Λακεδαιμόνιοι δὲ ταῦτα τοὺς Ἀθηναίους ἡγούμενοι
more Lacedaemonians and these-things the Athenians thinking
ἅπερ ἐδέδισαν φοβεῖσθαι, καὶ γενομένης ἀνοκωχῆς
which-very they-had-feared to-fear and having-come-about a-respite
κακῶν καὶ ταλαιπωρίας μᾶλλον ἐπιθυμήσειν αὐτοὺς
from-ills and distress more to-desire them
πειρασαμένους ξυναλλαγῆναί τε καὶ τοὺς ἄνδρας σφίσιν
having-tasted-it to-be-reconciled both and the men to-them
ἀποδόντας σπονδὰς ποιήσασθαι καὶ ἐς τὸν πλείω χρόνον.
having-given-back a-truce to-make even for the longer time
117.2 τοὺς γὰρ δὴ ἄνδρας περὶ πλέονος ἐποιοῦντο κομίσασθαι,
the for indeed men of more they-made to-recover
ὡς ἔτι Βρασίδας ηὐτύχει· καὶ ἔμελλον ἐπὶ μεῖζον
while still Brasidas was-succeeding and they-were-likely to greater
χωρήσαντος αὐτοῦ καὶ ἀντίπαλα καταστήσαντος τῶν
having-advanced him and equal having-made of-the-ones
μὲν στέρεσθαι, τοῖς δ' ἐκ τοῦ ἴσου ἀμυνόμενοι
indeed to-be-deprived with-the-others and on the equal defending-themselves
κινδυνεύσειν καὶ κρατήσειν.
to-run-risk and to-win
117.3 γίγνεται οὖν ἐκεχειρία αὐτοῖς τε καὶ τοῖς ξυμμάχοις
comes-about then an-armistice for-themselves both and for-the allies
ἥδε.
as-follows

Περὶ μὲν τοῦ ἱεροῦ καὶ τοῦ μαντείου τοῦ Ἀπόλλωνος τοῦ 118.1
about indeed the sanctuary and the oracle — of-Apollo the
Πυθίου δοκεῖ ἡμῖν χρῆσθαι τὸν βουλόμενον ἀδόλως
Pythian it-seems-good to-us to-use-it the willing without-fraud
καὶ ἀδεῶς κατὰ τοὺς πατρίους νόμους.
and without-fear according-to the ancestral laws
τοῖς μὲν Λακεδαιμονίοις ταῦτα δοκεῖ καὶ τοῖς ξυμμάχοις 118.2
to-the indeed Lacedaemonians this seems-good and to-the allies
τοῖς παροῦσιν· Βοιωτοὺς δὲ καὶ Φωκέας πείσειν φασὶν ἐς
those present Boeotians and and Phocians to-persuade they-say to
δύναμιν προσκηρυκευόμενοι.
power sending-heralds
περὶ δὲ τῶν χρημάτων τῶν τοῦ θεοῦ ἐπιμέλεσθαι ὅπως 118.3
about and the money the of-the god to-take-care so-that
τοὺς ἀδικοῦντας ἐξευρήσομεν, ὀρθῶς καὶ δικαίως τοῖς
the wrongdoers we-shall-find-out rightly and justly the
πατρίοις νόμοις χρώμενοι καὶ ὑμεῖς καὶ ἡμεῖς καὶ τῶν
ancestral laws using both you and we and of-the
ἄλλων οἱ βουλόμενοι, τοῖς πατρίοις νόμοις χρώμενοι πάντες.
others the willing the ancestral laws using all
περὶ μὲν οὖν τούτων ἔδοξε Λακεδαιμονίοις καὶ 118.4
about indeed then these-things it-seemed-good to-Lacedaemonians and
τοῖς ἄλλοις ξυμμάχοις κατὰ ταῦτα· τάδε δὲ ἔδοξε
to-the other allies on these-terms these-things and seemed-good
Λακεδαιμονίοις καὶ τοῖς ἄλλοις ξυμμάχοις ἐὰν σπονδὰς
to-Lacedaemonians and to-the other allies if a-truce
ποιῶνται οἱ Ἀθηναῖοι, ἐπὶ τῆς αὐτῶν μένειν ἑκατέρους
make the Athenians on the their-own(-land) to-remain each-side
ἔχοντας ἅπερ νῦν ἔχομεν, τοὺς μὲν ἐν τῷ Κορυφασίῳ
holding what-very now we-hold those indeed in — Coryphasium
ἐντὸς τῆς Βουφράδος καὶ τοῦ Τομέως μένοντας, τοὺς δὲ ἐν
within — Buphras and — Tomeus remaining those and in

Κυθήροις μὴ ἐπιμισγομένους ἐς τὴν ξυμμαχίαν, μήτε ἡμᾶς
Cythera not mixing with the alliance neither us
πρὸς αὐτοὺς μήτε αὐτοὺς πρὸς ἡμᾶς, τοὺς δ' ἐν Νισαίᾳ καὶ
with them nor them with us those and in Nisaea and
Μινῴᾳ μὴ ὑπερβαίνοντας τὴν ὁδὸν τὴν ἀπὸ τῶν πυλῶν τῶν
Minoa not crossing the road the from the gates the
παρὰ τοῦ Νίσου ἐπὶ τὸ Ποσειδώνιον, ἀπὸ δὲ τοῦ Ποσειδωνίου
by — Nisus to — Poseidonium from and — Poseidonium
εὐθὺς ἐπὶ τὴν γέφυραν τὴν ἐς Μινῴαν (μηδὲ Μεγαρέας καὶ
straight to the bridge the to Minoa nor Megarians and
τοὺς ξυμμάχους ὑπερβαίνειν τὴν ὁδὸν ταύτην) καὶ τὴν νῆσον,
the allies to-cross the road this and the island
ἥνπερ ἔλαβον οἱ Ἀθηναῖοι, ἔχοντας, μηδὲ ἐπιμισγομένους
which-very took the Athenians holding nor mixing
μηδετέρους μηδετέρωσε, καὶ τὰ ἐν Τροιζῆνι, ὅσαπερ
neither-side to-neither and the-things in Troezen whatever
νῦν ἔχουσι, καθ' ἃ ξυνέθεντο πρὸς Ἀθηναίους·
now they-hold according-to what they-agreed with Athenians
118.5 καὶ τῇ θαλάσσῃ χρωμένους, ὅσα ἂν κατὰ τὴν
and the sea using as-much-as — along the
ἑαυτῶν καὶ κατὰ τὴν ξυμμαχίαν, Λακεδαιμονίους καὶ
their-own and along the alliance Lacedaemonians and
τοὺς ξυμμάχους πλεῖν μὴ μακρᾷ νηί, ἄλλῳ δὲ κωπήρει
the allies to-sail not with-long ship with-other but oared
πλοίῳ, ἐς πεντακόσια τάλαντα ἄγοντι μέτρα.
vessel up-to five-hundred talents carrying measures
118.6 κήρυκι δὲ καὶ πρεσβείᾳ καὶ ἀκολούθοις, ὁπόσοις ἂν
for-a-herald and and an-embassy and attendants as-many-as —
δοκῇ, περὶ καταλύσεως τοῦ πολέμου καὶ δικῶν ἐς
it-seems-good about ending of-the war and of-suits to

Πελοπόννησον καὶ Ἀθήναζε σπονδὰς εἶναι ἰοῦσι καὶ
Peloponnese and to-Athens a-truce to-be going and
ἀπιοῦσι καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν.
coming both by land and by sea
τοὺς δὲ αὐτομόλους μὴ δέχεσθαι ἐν τούτῳ τῷ χρόνῳ, 118.7
the and deserters not to-receive in this the time
μήτε ἐλεύθερον μήτε δοῦλον, μήτε ὑμᾶς μήτε ἡμᾶς.
neither free nor slave neither you nor us
δίκας τε διδόναι ὑμᾶς τε ἡμῖν καὶ ἡμᾶς ὑμῖν κατὰ τὰ 118.8
justice both to-give you both to-us and us to-you according-to the
πάτρια, τὰ ἀμφίλογα δίκῃ διαλύοντας ἄνευ πολέμου.
ancestral-ways the disputes by-law settling without war
τοῖς μὲν Λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις ταῦτα δοκεῖ· 118.9
to-the indeed Lacedaemonians and to-the allies these-things seem-good
εἰ δέ τι ὑμῖν εἴτε κάλλιον εἴτε δικαιότερον τούτων
if but anything to-you either finer or juster than-these
δοκεῖ εἶναι, ἰόντες ἐς Λακεδαίμονα διδάσκετε· οὐδενὸς
seems to-be going to Lacedaemon teach nothing
γὰρ ἀποστήσονται, ὅσα ἂν δίκαια λέγητε, οὔτε οἱ
for they-will-reject as-much-as — just you-say neither the
Λακεδαιμόνιοι οὔτε οἱ ξύμμαχοι.
Lacedaemonians nor the allies
οἱ δὲ ἰόντες τέλος ἔχοντες ἰόντων, ᾗπερ καὶ ὑμεῖς 118.10
the and going full-authority having let-them-go just-as also you
ἡμᾶς κελεύετε. αἱ δὲ σπονδαὶ ἐνιαυτὸν ἔσονται.
us bid the and truce a-year will-be
‘Ἔδοξεν τῷ δήμῳ. Ἀκαμαντὶς ἐπρυτάνευε, Φαίνιππος 118.11
it-seemed-good to-the people Acamantis held-the-prytany Phaenippus
ἐγραμμάτευε, Νικιάδης ἐπεστάτει. Λάχης εἶπε, τύχῃ
was-secretary Niciades presided Laches proposed with-fortune
ἀγαθῇ τῇ Ἀθηναίων, ποιεῖσθαι τὴν ἐκεχειρίαν καθ’ ἃ
good the of-Athenians to-make the armistice by what

ξυγχωροῦσι Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι αὐτῶν καὶ
agree Lacedaemonians and the allies their and
ὡμολόγησαν ἐν τῷ δήμῳ·
they-agreed in the people

118.12 τὴν δ' ἐκεχειρίαν εἶναι ἐνιαυτόν, ἄρχειν δὲ τήνδε τὴν
the and armistice to-be for-a-year to-begin and this the
ἡμέραν, τετράδα ἐπὶ δέκα τοῦ Ἐλαφηβολιῶνος μηνός.
day the-fourth on ten of-the Elaphebolion month

118.13 ἐν τούτῳ τῷ χρόνῳ ἰόντας ὡς ἀλλήλους πρέσβεις καὶ
in this the time going to one-another envoys and
κήρυκας ποιεῖσθαι τοὺς λόγους, καθ' ὅτι ἔσται ἡ κατάλυσις
heralds to-make the talks by what will-be the ending
τοῦ πολέμου.
of-the war

118.14 ἐκκλησίαν δὲ ποιήσαντας τοὺς στρατηγοὺς καὶ τοὺς
an-assembly and having-convened the generals and the
πρυτάνεις πρῶτον περὶ τῆς εἰρήνης *** βουλεύσασθαι
prytaneis first about the peace (lacuna) to-deliberate
Ἀθηναίους καθ' ὅτι ἂν ἐσίῃ ἡ πρεσβεία περὶ τῆς
Athenians by what — comes-in the embassy about the
καταλύσεως τοῦ πολέμου. σπείσασθαι δὲ αὐτίκα μάλα τὰς
ending of-the war to-make-truce and at-once very the
πρεσβείας ἐν τῷ δήμῳ τὰς παρούσας ἢ μὴν ἐμμενεῖν
embassies in the people the present truly indeed to-abide
ἐν ταῖς σπονδαῖς τὸν ἐνιαυτόν.
in the truce the year

119.1 Ταῦτα ξυνέθεντο Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι Ἀθηναίοις
these-things agreed Lacedaemonians and the allies with-Athenians
καὶ τοῖς ξυμμάχοις μηνὸς ἐν Λακεδαίμονι Γεραστίου
and the allies in-the-month in Lacedaemon Gerastius
δωδεκάτῃ.
on-the-twelfth

ξυνετίθεντο δὲ καὶ ἐσπένδοντο Λακεδαιμονίων μὲν οἵδε· 119.2
agreed and and made-the-truce of-Lacedaemonians indeed these
Ταῦρος Ἐχετιμίδα, Ἀθήναιος Περικλείδα, Φιλοχαρίδας
Taurus son-of-Echetimidas Athenaeus son-of-Periclidas Philocharidas
Ἐρυξιλαΐδα· Κορινθίων δὲ Αἰνέας Ὠκύτου, Εὐφαμίδας
son-of-Eryxilaidas of-Corinthians and Aeneas son-of-Ocytus Euphamidas
Ἀριστωνύμου· Σικυωνίων δὲ Δαμότιμος Ναυκράτους,
son-of-Aristonymus of-Sicyonians and Damotimus son-of-Naucrates
Ὀνάσιμος Μεγακλέους· Μεγαρέων δὲ Νίκασος Κεκάλου,
Onasimus son-of-Megacles of-Megarians and Nicasus son-of-Cecalus
Μενεκράτης Ἀμφιδώρου· Ἐπιδαυρίων δὲ Ἀμφίας Εὐπαΐδα·
Menecrates son-of-Amphidorus of-Epidaurians and Amphias son-of-Eupaidas
Ἀθηναίων δὲ οἱ στρατηγοὶ Νικόστρατος Διειτρέφους,
of-Athenians and the generals Nicostratus son-of-Diitrephes
Νικίας Νικηράτου, Αὐτοκλῆς Τολμαίου.’
Nicias son-of-Niceratus Autocles son-of-Tolmaeus
ἡ μὲν δὴ ἐκεχειρία αὕτη ἐγένετο, καὶ ξυνῆσαν ἐν αὐτῇ 119.3
the indeed then armistice this came-about and they-met in it
περὶ τῶν μειζόνων σπονδῶν διὰ παντὸς ἐς λόγους.
about the greater truce through all-time for talks

During the days of the truce Scione revolts from Athens. Brasidas crosses to it by night in a boat, praises the Scionaeans for their courage, and is crowned with a crown of gold as the liberator of Greece. Commissioners bring news of the truce, and the two sides dispute whether Scione revolted before or after it. Sparta offers arbitration, but the Athenians, angry, refuse it. Thucydides judges that Scione revolted two days after the truce. Athens passes Cleon's motion to destroy Scione and kill its citizens. Mende revolts as well. Brasidas receives it and sends the women and children of both towns to Olynthus.

120.1 περὶ δὲ τὰς ἡμέρας ταύτας αἷς ἐπήρχοντο Σκιώνη
about and the days these on-which they-were-going-about Scione
ἐν τῇ Παλλήνῃ πόλις ἀπέστη ἀπ' Ἀθηναίων πρὸς
in — Pallene a-city revolted from Athenians to
Βρασίδαν. φασὶ δὲ οἱ Σκιωναῖοι Πελληνῆς μὲν εἶναι
Brasidas say and the Scionaeans Pellenians indeed to-be
ἐκ Πελοποννήσου, πλέοντας δ' ἀπὸ Τροίας σφῶν τοὺς
from Peloponnese sailing and from Troy their the
πρώτους κατενεχθῆναι ἐς τὸ χωρίον τοῦτο τῷ χειμῶνι
first to-have-been-carried-down to the place this by-the storm
ᾧ ἐχρήσαντο Ἀχαιοί, καὶ αὐτοῦ οἰκῆσαι.
which experienced Achaeans and there to-have-settled
120.2 ἀποστᾶσι δ' αὐτοῖς ὁ Βρασίδας διέπλευσε νυκτὸς ἐς
having-revolted and to-them — Brasidas crossed by-night to
τὴν Σκιώνην, τριήρει μὲν φιλίᾳ προπλεούσῃ, αὐτὸς δὲ
— Scione with-a-trireme indeed friendly sailing-ahead himself but
ἐν κελητίῳ ἄπωθεν ἐφεπόμενος, ὅπως, εἰ μέν τινι τοῦ
in a-skiff far-behind following so-that if indeed some than-the
κέλητος μείζονι πλοίῳ περιτυγχάνοι, ἡ τριήρης ἀμύνοι
skiff larger vessel it-should-meet the trireme might-defend
αὐτῷ, ἀντιπάλου δὲ ἄλλης τριήρους ἐπιγενομένης οὐ πρὸς
him a-match and another trireme coming-up not to

τὸ ἔλασσον νομίζων τρέψεσθαι, ἀλλ᾽ ἐπὶ τὴν ναῦν, καὶ
the smaller thinking to-be-going-to-turn but against the ship and
ἐν τούτῳ αὐτὸν διασώσειν.
in this himself to-get-safe
περαιωθεὶς δὲ καὶ ξύλλογον ποιήσας τῶν Σκιωναίων ἔλεγεν 120.3
having-crossed and and an-assembly having-made of-the Scionaeans he-said
ἅ τε ἐν τῇ Ἀκάνθῳ καὶ Τορώνῃ, καὶ προσέτι φάσκων
the-things both at — Acanthus and Torone and moreover asserting
ἀξιωτάτους αὐτοὺς εἶναι ἐπαίνου, οἵτινες τῆς Παλλήνης
most-worthy them to-be of-praise who — Pallene
ἐν τῷ ἰσθμῷ ἀπειλημμένης ὑπὸ Ἀθηναίων Ποτείδαιαν
in the isthmus being-cut-off by Athenians Potidaea
ἐχόντων καὶ ὄντες οὐδὲν ἄλλο ἢ νησιῶται αὐτεπάγγελτοι
holding and being nothing other than islanders of-their-own-accord
ἐχώρησαν πρὸς τὴν ἐλευθερίαν καὶ οὐκ ἀνέμειναν ἀτολμίᾳ
went toward the freedom and not waited from-cowardice
ἀνάγκην σφίσι προσγενέσθαι περὶ τοῦ φανερῶς οἰκείου
for-necessity on-them to-come about the plainly own
ἀγαθοῦ· σημεῖόν τ᾽ εἶναι τοῦ καὶ ἄλλο τι ἂν αὐτοὺς
good a-sign and to-be of-the also other anything — them
τῶν μεγίστων ἀνδρείως ὑπομεῖναι· εἴ τε θήσεται κατὰ
of-the greatest manfully to-endure if and he-shall-settle according-to
νοῦν τὰ πράγματα, πιστοτάτους τε τῇ ἀληθείᾳ ἡγήσεσθαι
mind the affairs most-faithful both in-the truth to-consider
αὐτοὺς Λακεδαιμονίων φίλους καὶ τἆλλα τιμήσειν.
them of-Lacedaemonians friends and the-rest to-honor
καὶ οἱ μὲν Σκιωναῖοι ἐπήρθησάν τε τοῖς λόγοις καὶ 121.1
and the indeed Scionaeans were-elated both by-the words and
θαρσήσαντες πάντες ὁμοίως, καὶ οἷς πρότερον μὴ
having-taken-courage all alike even to-whom before not
ἤρεσκε τὰ πρασσόμενα, τόν τε πόλεμον διενοοῦντο
pleased the things-being-done the both war intended

προθύμως οἴσειν καὶ τὸν Βρασίδαν τά τ᾽ ἄλλα καλῶς
eagerly to-bear and — Brasidas the both other-things finely
ἐδέξαντο καὶ δημοσίᾳ μὲν χρυσῷ στεφάνῳ ἀνέδησαν
received and publicly indeed with-a-golden crown crowned
ὡς ἐλευθεροῦντα τὴν Ἑλλάδα, ἰδίᾳ δὲ ἐταινίουν τε
as freeing — Greece privately and wreathed-with-ribbons both
καὶ προσήρχοντο ὥσπερ ἀθλητῇ.
and approached as an-athlete

121.2 ὁ δὲ τό τε παραυτίκα φυλακήν τινα αὐτοῖς ἐγκαταλιπὼν
he and for-the both immediate a-guard some for-them having-left
διέβη πάλιν καὶ ὕστερον οὐ πολλῷ στρατιὰν πλείω
crossed back and later not much an-army greater
ἐπεραίωσε, βουλόμενος μετ᾽ αὐτῶν τῆς τε Μένδης καὶ τῆς
took-across wishing with them — both Mende and —
Ποτειδαίας ἀποπειρᾶσαι, ἡγούμενος καὶ τοὺς Ἀθηναίους
Potidaea to-attempt thinking also the Athenians
βοηθῆσαι ἂν ὡς ἐς νῆσον καὶ βουλόμενος φθάσαι·
to-come-to-help — as to an-island and wishing to-anticipate-them
καί τι αὐτῷ καὶ ἐπράσσετο ἐς τὰς πόλεις ταύτας
and something to-him also was-being-negotiated with the cities these
προδοσίας πέρι.
betrayal about

122.1 καὶ ὁ μὲν ἔμελλεν ἐγχειρήσειν ταῖς πόλεσι ταύταις, ἐν
and he indeed was-going to-attempt the cities these in
τούτῳ δὲ τριήρει οἱ τὴν ἐκεχειρίαν περιαγγέλλοντες
this and in-a-trireme those the armistice announcing-round
ἀφικνοῦνται παρ᾽ αὐτόν, Ἀθηναίων μὲν Ἀριστώνυμος,
arrive to him of-Athenians indeed Aristonymus
Λακεδαιμονίων δὲ Ἀθήναιος.
of-Lacedaemonians and Athenaeus

καὶ ἡ μὲν στρατιὰ πάλιν διέβη ἐς Τορώνην, οἱ δὲ τῷ 122.2
and the indeed army back crossed to Torone they and —
Βρασίδᾳ ἀνήγγελλον τὴν ξυνθήκην, καὶ ἐδέξαντο πάντες
to-Brasidas announced the agreement and accepted all
οἱ ἐπὶ Θρᾴκης ξύμμαχοι Λακεδαιμονίων τὰ πεπραγμένα.
the in Thrace allies of-Lacedaemonians the things-done
Ἀριστώνυμος δὲ τοῖς μὲν ἄλλοις κατῄνει, Σκιωναίους 122.3
Aristonymus and for-the indeed others agreed Scionaeans
δὲ αἰσθόμενος ἐκ λογισμοῦ τῶν ἡμερῶν ὅτι ὕστερον
but having-perceived from reckoning of-the days that later
ἀφεστήκοιεν, οὐκ ἔφη ἐνσπόνδους ἔσεσθαι. Βρασίδας δὲ
they-had-revolted not said in-the-truce to-be Brasidas and
ἀντέλεγε πολλά, ὡς πρότερον, καὶ οὐκ ἀφίει τὴν πόλιν.
argued much that before and not gave-up the city
ὡς δ' ἀπήγγελλεν ἐς τὰς Ἀθήνας ὁ Ἀριστώνυμος περὶ 122.4
when and reported to — Athens — Aristonymus about
αὐτῶν, οἱ Ἀθηναῖοι εὐθὺς ἑτοῖμοι ἦσαν στρατεύειν ἐπὶ
them the Athenians at-once ready were to-march against
τὴν Σκιώνην. οἱ δὲ Λακεδαιμόνιοι πρέσβεις πέμψαντες
— Scione the and Lacedaemonians envoys having-sent
παραβήσεσθαι ἔφασαν αὐτοὺς τὰς σπονδάς, καὶ τῆς
to-be-going-to-break said them the truce and the
πόλεως ἀντεποιοῦντο Βρασίδᾳ πιστεύοντες, δίκῃ τε
city claimed Brasidas trusting by-arbitration and
ἑτοῖμοι ἦσαν περὶ αὐτῆς κρίνεσθαι.
ready they-were about it to-be-judged
οἱ δὲ δίκῃ μὲν οὐκ ἤθελον κινδυνεύειν, στρατεύειν 122.5
they and by-arbitration indeed not were-willing to-risk to-march
δὲ ὡς τάχιστα, ὀργὴν ποιούμενοι εἰ καὶ οἱ ἐν ταῖς
but as quickly-as-possible anger feeling if even those in the

νήσοις ἤδη ὄντες ἀξιοῦσι σφῶν ἀφίστασθαι, τῇ κατὰ
islands now being think-fit from-them to-revolt on-the by
γῆν Λακεδαιμονίων ἰσχύι ἀνωφελεῖ πιστεύοντες.
land of-Lacedaemonians strength useless trusting

122.6 εἶχε δὲ καὶ ἡ ἀλήθεια περὶ τῆς ἀποστάσεως μᾶλλον ἢ οἱ
held and also the truth about the revolt rather as the
Ἀθηναῖοι ἐδικαίουν· δύο γὰρ ἡμέραις ὕστερον ἀπέστησαν
Athenians claimed two for days later revolted
οἱ Σκιωναῖοι. ψήφισμά τ' εὐθὺς ἐποιήσαντο, Κλέωνος
the Scionaeans a-decree and at-once they-made of-Cleon
γνώμῃ πεισθέντες, Σκιωναίους ἐξελεῖν τε καὶ ἀποκτεῖναι.
on-the-motion persuaded Scionaeans to-destroy both and to-kill
καὶ τἆλλα ἡσυχάζοντες ἐς τοῦτο παρεσκευάζοντο.
and the-rest keeping-quiet for this prepared

123.1 ἐν τούτῳ δὲ Μένδη ἀφίσταται αὐτῶν, πόλις ἐν τῇ
in this and Mende revolts from-them a-city in —
Παλλήνῃ, Ἐρετριῶν ἀποικία. καὶ αὐτοὺς ἐδέξατο ὁ
Pallene of-Eretrians colony and them received —
Βρασίδας, οὐ νομίζων ἀδικεῖν, ὅτι ἐν τῇ ἐκεχειρίᾳ
Brasidas not thinking to-do-wrong because in the armistice
φανερῶς προσεχώρησαν· ἔστι γὰρ ἃ καὶ αὐτὸς
openly they-came-over there-are for things-which also himself
ἐνεκάλει τοῖς Ἀθηναίοις παραβαίνειν τὰς σπονδάς.
charged the Athenians to-transgress the truce

123.2 δι' ὃ καὶ οἱ Μενδαῖοι μᾶλλον ἐτόλμησαν, τήν τε
because-of which also the Mendaeans more dared the both
τοῦ Βρασίδου γνώμην ὁρῶντες ἑτοίμην, τεκμαιρόμενοι καὶ
— of-Brasidas mind seeing ready judging also
ἀπὸ τῆς Σκιώνης ὅτι οὐ προυδίδου, καὶ ἅμα τῶν
from — Scione that not he-betrayed and at-the-same-time those
πρασσόντων σφίσιν ὀλίγων τε ὄντων καὶ ὡς τότε ἐμέλλησαν
negotiating with-them few both being and as then they-intended

οὐκέτι ἀνέντων, ἀλλὰ περὶ σφίσιν αὐτοῖς φοβουμένων τὸ
no-longer letting-go but about them selves fearing the
κατάδηλον καὶ καταβιασαμένων παρὰ γνώμην τοὺς πολλούς.
detection and having-overborne against judgment the many
οἱ δὲ Ἀθηναῖοι εὐθὺς πυθόμενοι, πολλῷ ἔτι μᾶλλον 123.3
the and Athenians at-once having-learned much still more
ὀργισθέντες παρεσκευάζοντο ἐπ᾽ ἀμφοτέρας τὰς πόλεις.
angered prepared against both the cities
καὶ Βρασίδας προσδεχόμενος τὸν ἐπίπλουν αὐτῶν ὑπεκκομίζει 123.4
and Brasidas expecting the attack their conveys-secretly
ἐς Ὄλυνθον τὴν Χαλκιδικὴν παῖδας καὶ γυναῖκας τῶν
to Olynthus the Chalcidian children and women of-the
Σκιωναίων καὶ Μενδαίων, καὶ τῶν Πελοποννησίων αὐτοῖς
Scionaeans and Mendaeans and of-the Peloponnesians to-them
πεντακοσίους ὁπλίτας διέπεμψε καὶ πελταστὰς τριακοσίους
five-hundred hoplites he-sent and peltasts three-hundred
Χαλκιδέων, ἄρχοντά τε τῶν ἁπάντων Πολυδαμίδαν.
of-Chalcidians commander both of-the all Polydamidas
καὶ οἱ μὲν τὰ περὶ σφᾶς αὐτούς, ὡς ἐν τάχει
and they indeed the-things about them selves as in haste
παρεσομένων τῶν Ἀθηναίων, κοινῇ ηὐτρεπίζοντο.
going-to-be-present the Athenians in-common made-ready

Brasidas and Perdiccas march again against Arrhabaeus in Lyncus, rout the Lyncestians, and set up a trophy. The Illyrians whom Perdiccas has hired go over to Arrhabaeus, and the Macedonians take fright in the night and flee without telling Brasidas. He forms his hoplites into a square with the light troops inside. He tells his men that barbarians make a show of fierceness and break before men who hold their ground. He beats off their attacks, his three hundred drive them from a hill above the pass, and he reaches Arnisa. His men, angry at the desertion, plunder the Macedonian baggage, and Perdiccas now treats Brasidas as an enemy and seeks terms with Athens.

124.1 Βρασίδας δὲ καὶ Περδίκκας ἐν τούτῳ στρατεύουσιν ἅμα
Brasidas and and Perdiccas in this march together
ἐπὶ Ἀρραβαῖον τὸ δεύτερον ἐς Λύγκον. καὶ ἦγον ὁ
against Arrhabaeus the second-time into Lyncus and led the-one
μὲν ὧν ἐκράτει Μακεδόνων τὴν δύναμιν καὶ τῶν
indeed of-whom he-ruled Macedonians the force and of-the
ἐνοικούντων Ἑλλήνων ὁπλίτας, ὁ δὲ πρὸς τοῖς
dwelling-there Greeks hoplites the-other and in-addition-to the
αὐτοῦ περιλοίποις τῶν Πελοποννησίων Χαλκιδέας καὶ
his-own remainder of-the Peloponnesians Chalcidians and
Ἀκανθίους καὶ τῶν ἄλλων κατὰ δύναμιν ἑκάστων. ξύμπαν
Acanthians and of-the others by strength each the-whole
δὲ τὸ ὁπλιτικὸν τῶν Ἑλλήνων τρισχίλιοι μάλιστα, ἱππῆς
and the hoplite-force of-the Greeks three-thousand about cavalry
δ' οἱ πάντες ἠκολούθουν Μακεδόνων ξὺν Χαλκιδεῦσιν
and the all followed of-Macedonians with Chalcidians
ὀλίγου ἐς χιλίους, καὶ ἄλλος ὅμιλος τῶν βαρβάρων πολύς.
nearly to a-thousand and other crowd of-the barbarians large

ἐσβαλόντες δὲ ἐς τὴν Ἀρραβαίου καὶ εὑρόντες 124.2
having-invaded and into — Arrhabaeus' and having-found
ἀντεστρατοπεδευμένους αὐτοῖς τοὺς Λυγκηστὰς
encamped-opposite them the Lyncestians
ἀντεκαθέζοντο καὶ αὐτοί.
took-position-opposite also themselves
καὶ ἐχόντων τῶν μὲν πεζῶν λόφον ἑκατέρωθεν, πεδίου 124.3
and holding the indeed infantry a-hill on-each-side a-plain
δὲ τοῦ μέσου ὄντος, οἱ ἱππῆς ἐς αὐτὸ καταδραμόντες
and the between being the cavalry into it having-ridden-down
ἱππομάχησαν πρῶτα ἀμφοτέρων, ἔπειτα δὲ καὶ ὁ Βρασίδας
fought-on-horse first of-both then and also — Brasidas
καὶ ὁ Περδίκκας, προελθόντων προτέρων ἀπὸ τοῦ λόφου
and — Perdiccas having-advanced first from the hill
μετὰ τῶν ἱππέων τῶν Λυγκηστῶν ὁπλιτῶν καὶ ἑτοίμων
with the cavalry the Lyncestian hoplites and ready
ὄντων μάχεσθαι, ἀντεπαγαγόντες καὶ αὐτοὶ ξυνέβαλον καὶ
being to-fight having-led-against and themselves engaged and
ἔτρεψαν τοὺς Λυγκηστάς, καὶ πολλοὺς μὲν διέφθειραν,
routed the Lyncestians and many indeed killed
οἱ δὲ λοιποὶ διαφυγόντες πρὸς τὰ μετέωρα ἡσύχαζον.
the and rest having-escaped to the heights kept-quiet
μετὰ δὲ τοῦτο τροπαῖον στήσαντες δύο μὲν ἢ τρεῖς 124.4
after and this a-trophy having-set-up two indeed or three
ἡμέρας ἐπέσχον, τοὺς Ἰλλυριοὺς μένοντες, οἳ ἔτυχον τῷ
days they-waited the Illyrians awaiting who happened —
Περδίκκᾳ μισθοῦ μέλλοντες ἥξειν· ἔπειτα ὁ Περδίκκας
for-Perdiccas for-pay being-about to-come then — Perdiccas
ἐβούλετο προϊέναι ἐπὶ τὰς τοῦ Ἀρραβαίου κώμας καὶ
wished to-advance against the — of-Arrhabaeus villages and
μὴ καθῆσθαι, Βρασίδας δὲ τῆς τε Μένδης περιορώμενος,
not to-sit Brasidas and — both Mende being-anxious-about

μὴ τῶν Ἀθηναίων πρότερον ἐπιπλευσάντων τι πάθῃ,
lest the Athenians first having-sailed something it-suffer
καὶ ἅμα τῶν Ἰλλυριῶν οὐ παρόντων, οὐ πρόθυμος
and at-the-same-time the Illyrians not being-present not eager
ἦν, ἀλλὰ ἀναχωρεῖν μᾶλλον.
was but to-withdraw rather
125.1 καὶ ἐν τούτῳ διαφερομένων αὐτῶν ἠγγέλθη ὅτι οἱ
and in this disagreeing they it-was-announced that the
Ἰλλυριοὶ μετ᾽ Ἀρραβαίου προδόντες Περδίκκαν γεγένηνται·
Illyrians with Arrhabaeus having-betrayed Perdiccas have-become
ὥστε ἤδη ἀμφοτέροις μὲν δοκοῦν ἀναχωρεῖν διὰ
so-that already to-both indeed seeming-good to-withdraw because-of
τὸ δέος αὐτῶν ὄντων ἀνθρώπων μαχίμων, κυρωθὲν δὲ
the fear of-them being men warlike decided but
οὐδὲν ἐκ τῆς διαφορᾶς ὁπηνίκα χρὴ ὁρμᾶσθαι,
nothing from the disagreement when it-was-necessary to-set-out
νυκτός τε ἐπιγενομένης, οἱ μὲν Μακεδόνες καὶ τὸ
night and having-come-on the indeed Macedonians and the
πλῆθος τῶν βαρβάρων εὐθὺς φοβηθέντες, ὅπερ φιλεῖ
mass of-the barbarians at-once having-taken-fright which-very loves
μεγάλα στρατόπεδα ἀσαφῶς ἐκπλήγνυσθαι, καὶ νομίσαντες
great armies obscurely to-be-panic-struck and thinking
πολλαπλασίους μὲν ἢ ἦλθον ἐπιέναι, ὅσον δὲ οὔπω
many-times-more indeed than came to-be-advancing all-but but not-yet
παρεῖναι, καταστάντες ἐς αἰφνίδιον φυγὴν ἐχώρουν ἐπ᾽
to-be-present having-fallen into sudden flight went to
οἴκου, καὶ τὸν Περδίκκαν τὸ πρῶτον οὐκ αἰσθανόμενον,
home and — Perdiccas the first not perceiving-it
ὡς ἔγνω, ἠνάγκασαν πρὶν τὸν Βρασίδαν ἰδεῖν (ἄπωθεν
when he-knew they-compelled before — Brasidas to-see far
γὰρ πολὺ ἀλλήλων ἐστρατοπεδεύοντο) προαπελθεῖν.
for much from-one-another they-were-encamped to-depart-first

Βρασίδας δὲ ἅμα τῇ ἕῳ ὡς εἶδε τοὺς Μακεδόνας 125.2
Brasidas and together-with the dawn when he-saw the Macedonians
προκεχωρηκότας τούς τε Ἰλλυριοὺς καὶ τὸν Ἀρραβαῖον
having-gone-ahead the both Illyrians and — Arrhabaeus
μέλλοντας ἐπιέναι, ξυναγαγὼν καὶ αὐτὸς ἐς τετράγωνον
about to-attack having-drawn-together also himself into square
τάξιν τοὺς ὁπλίτας καὶ τὸν ψιλὸν ὅμιλον ἐς μέσον
formation the hoplites and the light-armed crowd into the-middle
λαβὼν διενοεῖτο ἀναχωρεῖν.
having-taken intended to-withdraw
ἐκδρόμους δέ, εἴ πῃ προσβάλλοιεν αὐτοῖς, ἔταξε τοὺς 125.3
as-skirmishers and if anywhere they-should-attack them he-posted the
νεωτάτους, καὶ αὐτὸς λογάδας ἔχων τριακοσίους τελευταῖος
youngest and himself picked-men having three-hundred last
γνώμην εἶχεν ὑποχωρῶν τοῖς τῶν ἐναντίων πρώτοις
intention had withdrawing against-those of-the enemy first
προσκεισομένοις ἀνθιστάμενος ἀμύνεσθαι.
going-to-press resisting to-ward-off
καὶ πρὶν τοὺς πολεμίους ἐγγὺς εἶναι, ὡς διὰ ταχέων 125.4
and before the enemy near to-be as with speed
παρεκελεύσατο τοῖς στρατιώταις τοιάδε.
he-exhorted the soldiers as-follows
Εἰ μὲν μὴ ὑπώπτευον, ἄνδρες Πελοποννήσιοι, ὑμᾶς τῷ 126.1
if indeed not I-suspected men Peloponnesians you by-the
τε μεμονῶσθαι καὶ ὅτι βάρβαροι οἱ ἐπιόντες καὶ
both to-have-been-left-alone and because barbarians those coming and
πολλοὶ ἔκπληξιν ἔχειν, οὐκ ἂν ὁμοίως διδαχὴν ἅμα τῇ
many dismay to-have not — alike instruction together-with the
παρακελεύσει ἐποιούμην· νῦν δὲ πρὸς μὲν τὴν ἀπόλειψιν
exhortation I-would-make now but against indeed the desertion

τῶν ἡμετέρων καὶ τὸ πλῆθος τῶν ἐναντίων βραχεῖ
of-the ours and the number of-the enemy by-a-brief
ὑπομνήματι καὶ παραινέσει τὰ μέγιστα πειράσομαι πείθειν.
reminder and advice the greatest-things I-shall-try to-persuade
126.2 ἀγαθοῖς γὰρ εἶναι ὑμῖν προσήκει τὰ πολέμια οὐ διὰ
brave for to-be for-you it-befits the warlike-things not because-of
ξυμμάχων παρουσίαν ἑκάστοτε, ἀλλὰ δι᾽ οἰκείαν ἀρετήν,
allies' presence each-time but because-of own valor
καὶ μηδὲν πλῆθος πεφοβῆσθαι ἑτέρων, οἵ γε μηδὲ
and no number to-fear of-others you-who at-least not-even
ἀπὸ πολιτειῶν τοιούτων ἥκετε, ἐν αἷς οὐ πολλοὶ ὀλίγων
from constitutions such have-come in which not many few
ἄρχουσιν, ἀλλὰ πλεόνων μᾶλλον ἐλάσσους, οὐκ ἄλλῳ τινὶ
rule but more rather fewer not by-other any
κτησάμενοι τὴν δυναστείαν ἢ τῷ μαχόμενοι κρατεῖν.
having-acquired the power than by-the fighting to-conquer
126.3 βαρβάρους δὲ οὓς νῦν ἀπειρίᾳ δέδιτε μαθεῖν χρή,
barbarians and whom now from-inexperience you-fear to-learn one-must
ἐξ ὧν τε προηγώνισθε τοῖς Μακεδόσιν αὐτῶν καὶ
from what both you-fought-before against-the Macedonians of-them and
ἀφ᾽ ὧν ἐγὼ εἰκάζω τε καὶ ἄλλων ἀκοῇ ἐπίσταμαι, οὐ
from what I conjecture both and of-others by-hearsay know not
δεινοὺς ἐσομένους.
dangerous going-to-be
126.4 καὶ γὰρ ὅσα μὲν τῷ ὄντι ἀσθενῆ ὄντα τῶν πολεμίων
and for whatever indeed in-the reality weak being of-the enemy
δόκησιν ἔχει ἰσχύος, διδαχὴ ἀληθὴς προσγενομένη περὶ
an-appearance has of-strength instruction true added about
αὐτῶν ἐθάρσυνε μᾶλλον τοὺς ἀμυνομένους· οἷς δὲ
them emboldens rather the defenders in-whom but

βεβαίως τι πρόσεστιν ἀγαθόν, μὴ προειδώς τις ἂν
securely some is-present advantage not having-foreknown one —
αὐτοῖς τολμηρότερον προσφέροιτο.
them more-boldly would-encounter
οὗτοι δὲ τὴν μέλλησιν μὲν ἔχουσι τοῖς ἀπείροις φοβεράν· 126.5
these and the threatening indeed have to-the inexperienced fearsome
καὶ γὰρ πλήθει ὄψεως δεινοὶ καὶ βοῆς μεγέθει
and for in-number of-appearance terrible and of-shouting in-loudness
ἀφόρητοι, ἥ τε διὰ κενῆς ἐπανάσεισις τῶν ὅπλων ἔχει
unbearable the both in empty brandishing of-the arms has
τινὰ δήλωσιν ἀπειλῆς. προσμεῖξαι δὲ τοῖς ὑπομένουσιν
some show of-threat to-close but with-those standing-up-to
αὐτὰ οὐχ ὁμοῖοι· οὔτε γὰρ τάξιν ἔχοντες αἰσχυνθεῖεν
it not alike neither for order having they-would-be-ashamed
ἂν λιπεῖν τινὰ χώραν βιαζόμενοι ἥ τε φυγὴ καὶ ἡ
— to-leave any position being-forced the both flight and the
ἔφοδος αὐτῶν ἴσην ἔχουσα δόξαν τοῦ καλοῦ ἀνεξέλεγκτον
advance their equal having credit of-the honorable untested
καὶ τὸ ἀνδρεῖον ἔχει (αὐτοκράτωρ δὲ μάχη μάλιστ' ἂν
also the courage has independent and battle most —
καὶ πρόφασιν τοῦ σῴζεσθαί τινι πρεπόντως πορίσειε),
also pretext of-the being-saved to-anyone fittingly would-provide
τοῦ τε ἐς χεῖρας ἐλθεῖν πιστότερον τὸ ἐκφοβῆσαι ὑμᾶς
than-the both into hands to-come safer the to-frighten you
ἀκινδύνως ἡγοῦνται· ἐκείνῳ γὰρ ἂν πρὸ τούτου ἐχρῶντο.
without-risk they-consider that for — instead-of this they-would-use
σαφῶς τε πᾶν τὸ προϋπάρχον δεινὸν ἀπ' αὐτῶν ὁρᾶτε 126.6
clearly and all the previously-existing danger from them you-see
ἔργῳ μὲν βραχὺ ὄν, ὄψει δὲ καὶ ἀκοῇ κατασπέρχον.
in-action indeed small being to-sight but and to-hearing urgent
ὃ ὑπομείναντες ἐπιφερόμενον καί, ὅταν καιρὸς ᾖ, κόσμῳ
which having-withstood as-it-comes-on and when opportunity is in-order

καὶ τάξει αὖθις ὑπαγαγόντες, ἔς τε τὸ ἀσφαλὲς θᾶσσον
and arrangement again having-withdrawn into both the safety sooner
ἀφίζεσθε καὶ γνώσεσθε τὸ λοιπὸν ὅτι οἱ τοιοῦτοι ὄχλοι
you-will-arrive and you-will-learn for-the future that the such crowds
τοῖς μὲν τὴν πρώτην ἔφοδον δεξαμένοις ἄπωθεν ἀπειλαῖς τὸ
to-those indeed the first attack having-received from-afar with-threats the
ἀνδρεῖον μελλήσει ἐπικομποῦσιν, οἳ δ' ἂν εἴξωσιν αὐτοῖς,
courage by-delay boast those-who but — yield to-them
κατὰ πόδας τὸ εὔψυχον ἐν τῷ ἀσφαλεῖ ὀξεῖς ἐνδείκνυνται.'
at heels the valor in the safety quick show
127.1 τοιαῦτα ὁ Βρασίδας παραινέσας ὑπῆγε τὸ στράτευμα. οἱ
such-things — Brasidas having-exhorted led-back the army the
δὲ βάρβαροι ἰδόντες πολλῇ βοῇ καὶ θορύβῳ προσέκειντο,
and barbarians having-seen with-much shouting and uproar pressed
νομίσαντες φεύγειν τε αὐτὸν καὶ καταλαβόντες διαφθερεῖν.
thinking to-flee both him and having-caught to-destroy
127.2 καὶ ὡς αὐτοῖς αἵ τε ἐκδρομαὶ ὅπῃ προσπίπτοιεν
and when them the both sallying-parties wherever they-attacked
ἀπήντων καὶ αὐτὸς ἔχων τοὺς λογάδας ἐπικειμένους
met and himself having the picked-men those-pressing
ὑφίστατο, τῇ τε πρώτῃ ὁρμῇ παρὰ γνώμην ἀντέστησαν
withstood the both first onset against expectation they-stood-up-to
καὶ τὸ λοιπὸν ἐπιφερομένους μὲν δεχόμενοι ἠμύνοντο,
and the future those-coming-on indeed receiving defended-themselves
ἡσυχαζόντων δὲ αὐτοὶ ὑπεχώρουν, τότε δὴ τῶν μετὰ
keeping-quiet but themselves withdrew then indeed of-the with
τοῦ Βρασίδου Ἑλλήνων ἐν τῇ εὐρυχωρίᾳ οἱ πολλοὶ τῶν
— Brasidas Greeks in the open-country the most of-the
βαρβάρων ἀπέσχοντο, μέρος δέ τι καταλιπόντες αὐτοῖς
barbarians held-off a-part but some having-left them
ἐπακολουθοῦν προσβάλλειν, οἱ λοιποὶ χωρήσαντες δρόμῳ
following to-attack the rest having-gone at-a-run

ἐπί τε τοὺς φεύγοντας τῶν Μακεδόνων οἷς ἐντύχοιεν
against both the fleeing of-the Macedonians whom they-met
ἔκτεινον καὶ τὴν ἐσβολήν, ἥ ἐστι μεταξὺ δυοῖν λόφοιν
killed and the pass which is between two hills
στενὴ ἐς τὴν Ἀρραβαίου, φθάσαντες προκατέλαβον,
narrow into — Arrhabaeus-country having-anticipated occupied-first
εἰδότες οὐκ οὖσαν ἄλλην τῷ Βρασίδᾳ ἀναχώρησιν. καὶ
knowing not being other — for-Brasidas retreat and
προσιόντος αὐτοῦ ἐς αὐτὸ ἤδη τὸ ἄπορον τῆς ὁδοῦ
approaching him into it already the impassable-part of-the road
κυκλοῦνται ὡς ἀπολησόμενοι.
surround-him as going-to-cut-off
ὁ δὲ γνοὺς προεῖπε τοῖς μεθ' αὑτοῦ τριακοσίοις, οὓς 128.1
he and having-perceived ordered the with himself three-hundred which
ᾤετο μᾶλλον ἂν ἑλεῖν τῶν λόφων, χωρήσαντας πρὸς
he-thought more — to-take of-the hills having-advanced to
αὐτὸν δρόμῳ, ὡς τάχιστα ἕκαστος δύναται, ἄνευ τάξεως,
it at-a-run as fast-as each can without order
πειρᾶσαι ἀπ' αὐτοῦ ἐκκροῦσαι τοὺς ἤδη ἐπόντας βαρβάρους,
to-try from it to-dislodge the already on-it barbarians
πρὶν καὶ τὴν πλέονα κύκλωσιν σφῶν αὐτόσε προσμεῖξαι.
before even the greater encircling of-them there to-join
καὶ οἱ μὲν προσπεσόντες ἐκράτησάν τε τῶν ἐπὶ τοῦ 128.2
and they indeed having-fallen-on prevailed-over both those on the
λόφου, καὶ ἡ πλείων ἤδη στρατιὰ τῶν Ἑλλήνων ῥᾷον
hill and the greater now army of-the Greeks more-easily
πρὸς αὐτὸν ἐπορεύοντο· οἱ γὰρ βάρβαροι καὶ ἐφοβήθησαν,
to it marched the for barbarians also took-fright
τῆς τροπῆς αὐτοῖς ἐνταῦθα γενομένης σφῶν ἀπὸ τοῦ
the rout for-them there having-happened of-theirs from the

μετεώρου, καὶ ἐς τὸ πλέον οὐκέτ᾽ ἐπηκολούθουν, νομίζοντες
height and to the further no-longer followed thinking
καὶ ἐν μεθορίοις εἶναι αὐτοὺς ἤδη καὶ διαπεφευγέναι.
also on borders to-be them already and to-have-escaped
128.3 Βρασίδας δὲ ὡς ἀντελάβετο τῶν μετεώρων, κατὰ
Brasidas and when he-laid-hold-of the heights in
ἀσφάλειαν μᾶλλον ἰὼν αὐθημερὸν ἀφικνεῖται ἐς Ἄρνισαν
safety more going same-day arrives at Arnisa
πρῶτον τῆς Περδίκκου ἀρχῆς.
first of-the Perdiccas' realm
128.4 καὶ αὐτοὶ ὀργιζόμενοι οἱ στρατιῶται τῇ προαναχωρήσει
and themselves angered the soldiers at-the withdrawal-ahead
τῶν Μακεδόνων, ὅσοις ἐνέτυχον κατὰ τὴν ὁδὸν ζεύγεσιν
of-the Macedonians whatever they-met along the road yokes
αὐτῶν βοεικοῖς ἢ εἴ τινι σκεύει ἐκπεπτωκότι, οἷα ἐν
of-their oxen or if any baggage fallen-off such-as in
νυκτερινῇ καὶ φοβερᾷ ἀναχωρήσει εἰκὸς ἦν ξυμβῆναι, τὰ
night and fearful retreat likely was to-happen the-ones
μὲν ὑπολύοντες κατέκοπτον, τῶν δὲ οἰκείωσιν ἐποιοῦντο.
indeed unyoking they-cut-down of-the-others and appropriation they-made
128.5 ἀπὸ τούτου τε πρῶτον Περδίκκας Βρασίδαν τε πολέμιον
from this both first Perdiccas Brasidas both an-enemy
ἐνόμισε καὶ ἐς τὸ λοιπὸν Πελοποννησίων τῇ μὲν γνώμῃ
considered and for the future of-Peloponnesians in-the indeed mind
δι᾽ Ἀθηναίους οὐ ξύνηθες μῖσος εἶχε, τῶν δὲ ἀναγκαίων
because-of Athenians not usual hatred had of-the but necessary
ξυμφόρων διαναστὰς ἔπρασσεν ὅτῳ τρόπῳ τάχιστα
interests having-broken-away he-negotiated in-what way most-quickly
τοῖς μὲν ξυμβήσεται, τῶν δὲ ἀπαλλάξεται.
with-the-ones indeed he-will-come-to-terms from-the-others and he-will-be-rid

Nicias and Nicostratus attack Mende, and Brasidas, back at Torone, cannot cross to help it. The Mendaean commons turn on the Peloponnesian garrison, and the Athenians burst in and sack the city. The generals barely keep them from killing its people and leave the Mendaeans their constitution. Then they wall in Scione. Perdiccas makes terms with Athens and has his Thessalian friends stop Peloponnesian reinforcements, but Spartan commissioners reach Brasidas and set governors over Amphipolis and Torone. The Thebans pull down the walls of Thespiae, and the temple of Hera at Argos burns. The Mantineans and Tegeans fight an indecisive battle. Brasidas fails to take Potidaea by night, and the ninth year ends.

Βρασίδας δὲ ἀναχωρήσας ἐκ Μακεδονίας ἐς Τορώνην 129.1
Brasidas and having-withdrawn from Macedonia to Torone
καταλαμβάνει Ἀθηναίους Μένδην ἤδη ἔχοντας, καὶ αὐτοῦ
finds Athenians Mende already holding and there
ἡσυχάζων ἐς μὲν τὴν Παλλήνην ἀδύνατος ἤδη ἐνόμιζεν
keeping-quiet to indeed — Pallene unable now he-thought
εἶναι διαβὰς τιμωρεῖν, τὴν δὲ Τορώνην ἐν φυλακῇ εἶχεν.
to-be having-crossed to-help — and Torone in guard held
ὑπὸ γὰρ τὸν αὐτὸν χρόνον τοῖς ἐν τῇ Λύγκῳ ἐξέπλευσαν 129.2
about for the same time as-those in — Lyncus sailed
ἐπί τε τὴν Μένδην καὶ τὴν Σκιώνην οἱ Ἀθηναῖοι,
against both — Mende and — Scione the Athenians
ὥσπερ παρεσκευάζοντο, ναυσὶ μὲν πεντήκοντα, ὧν
as they-had-been-preparing with-ships indeed fifty of-which
ἦσαν δέκα Χῖαι, ὁπλίταις δὲ χιλίοις ἑαυτῶν καὶ τοξόταις
were ten Chian with-hoplites and a-thousand their-own and archers
ἑξακοσίοις καὶ Θρᾳξὶ μισθωτοῖς χιλίοις καὶ ἄλλοις τῶν
six-hundred and Thracians mercenary a-thousand and other of-the

αὐτόθεν ξυμμάχων πελτασταῖς· ἐστρατήγει δὲ Νικίας ὁ
from-there allies peltasts commanded and Nicias the
Νικηράτου καὶ Νικόστρατος ὁ Διειτρέφους.
son-of-Niceratus and Nicostratus the son-of-Diitrephes
129.3 ἄραντες δὲ ἐκ Ποτειδαίας ταῖς ναυσὶ καὶ σχόντες
having-set-out and from Potidaea with-the ships and having-put-in
κατὰ τὸ Ποσειδώνιον ἐχώρουν ἐς τοὺς Μενδαίους. οἱ
at — Poseidonium went against the Mendaeans they
δὲ αὐτοί τε καὶ Σκιωναίων τριακόσιοι βεβοηθηκότες
and themselves both and of-Scionaeans three-hundred having-come-to-help
Πελοποννησίων τε οἱ ἐπίκουροι, ξύμπαντες ἑπτακόσιοι
of-Peloponnesians both the auxiliaries all-together seven-hundred
ὁπλῖται, καὶ Πολυδαμίδας ὁ ἄρχων αὐτῶν, ἔτυχον
hoplites and Polydamidas the commander their happened
ἐξεστρατοπεδευμένοι ἔξω τῆς πόλεως ἐπὶ λόφου καρτεροῦ.
having-encamped outside the city on a-hill strong
129.4 καὶ αὐτοῖς Νικίας μὲν Μεθωναίους τε ἔχων εἴκοσι καὶ
and them Nicias indeed Methonaeans both having twenty and
ἑκατὸν ψιλοὺς καὶ λογάδας τῶν Ἀθηναίων ὁπλιτῶν
a-hundred light-armed and picked-men of-the Athenian hoplites
ἑξήκοντα καὶ τοὺς τοξότας ἅπαντας κατὰ ἀτραπόν τινα
sixty and the archers all by path some
τοῦ λόφου πειρώμενος προσβῆναι καὶ τραυματιζόμενος ὑπ'
of-the hill trying to-ascend and being-wounded by
αὐτῶν οὐκ ἐδυνήθη βιάσασθαι· Νικόστρατος δὲ ἄλλῃ
them not could to-force Nicostratus and by-another
ἐφόδῳ ἐκ πλέονος παντὶ τῷ ἄλλῳ στρατοπέδῳ ἐπιὼν τῷ
approach from farther with-all the other army attacking the
λόφῳ ὄντι δυσπροσβάτῳ καὶ πάνυ ἐθορυβήθη, καὶ ἐς
hill being hard-to-climb and very was-thrown-into-confusion and to
ὀλίγον ἀφίκετο πᾶν τὸ στράτευμα τῶν Ἀθηναίων νικηθῆναι.
little came all the army of-the Athenians to-be-defeated

καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ, ὡς οὐκ ἐνέδοσαν οἱ Μενδαῖοι καὶ 129.5
and this indeed the day as not gave-way the Mendaeans and
οἱ ξύμμαχοι, οἱ Ἀθηναῖοι ἀναχωρήσαντες ἐστρατοπεδεύσαντο,
the allies the Athenians having-withdrawn encamped
καὶ οἱ Μενδαῖοι νυκτὸς ἐπελθούσης ἐς τὴν πόλιν ἀπῆλθον.
and the Mendaeans night coming-on into the city went-away
τῇ δ' ὑστεραίᾳ οἱ μὲν Ἀθηναῖοι περιπλεύσαντες ἐς τὸ 130.1
on-the and next-day the indeed Athenians having-sailed-round to the
πρὸς Σκιώνης τό τε προάστειον εἷλον καὶ τὴν ἡμέραν
toward Scione the both suburb took and the day
ἅπασαν ἐδῄουν τὴν γῆν οὐδενὸς ἐπεξιόντος (ἦν γάρ
whole ravaged the land no-one coming-out there-was for
τι καὶ στασιασμοῦ ἐν τῇ πόλει), οἱ δὲ τριακόσιοι τῶν
some also of-faction in the city the and three-hundred of-the
Σκιωναίων τῆς ἐπιούσης νυκτὸς ἀπεχώρησαν ἐπ' οἴκου.
Scionaeans in-the following night withdrew to home
καὶ τῇ ἐπιγιγνομένῃ ἡμέρᾳ Νικίας μὲν τῷ ἡμίσει τοῦ 130.2
and on-the following day Nicias indeed with-the half of-the
στρατοῦ προϊὼν ἅμα ἐς τὰ μεθόρια τῶν Σκιωναίων τὴν
army advancing at-once to the borders of-the Scionaeans the
γῆν ἐδῄου, Νικόστρατος δὲ τοῖς λοιποῖς κατὰ τὰς ἄνω
land ravaged Nicostratus and with-the rest by the upper
πύλας, ᾗ ἐπὶ Ποτειδαίας ἔρχονται, προσεκάθητο τῇ πόλει.
gates where to Potidaea they-go sat-down-before the city
ὁ δὲ Πολυδαμίδας (ἔτυχε γὰρ ταύτῃ τοῖς Μενδαίοις καὶ 130.3
— and Polydamidas there-happened for there for-the Mendaeans and
ἐπικούροις ἐντὸς τοῦ τείχους τὰ ὅπλα κείμενα) διατάσσει
auxiliaries within the wall the arms lying draws-up
τε ὡς ἐς μάχην καὶ παρῄνει τοῖς Μενδαίοις ἐπεξιέναι.
both as for battle and exhorted the Mendaeans to-go-out

130.4 καί τινος αὐτῷ τῶν ἀπὸ τοῦ δήμου ἀντειπόντος κατὰ
and someone to-him of-those from the people having-answered-back in
τὸ στασιωτικὸν ὅτι οὐκ ἐπέξεισιν οὐδὲ δέοιτο πολεμεῖν,
the factious-spirit that not he-will-go-out nor needed to-make-war
καὶ ὡς ἀντεῖπεν ἐπισπασθέντος τε τῇ χειρὶ ὑπ᾽
and when he-had-answered-back having-been-dragged both by-the hand by
αὐτοῦ καὶ θορυβηθέντος, ὁ δῆμος εὐθὺς ἀναλαβὼν τὰ
him and roughly-handled the people at-once having-taken-up the
ὅπλα περιοργὴς ἐχώρει ἐπί τε Πελοποννησίους καὶ τοὺς
arms in-fury advanced against both Peloponnesians and those
τὰ ἐναντία σφίσι μετ᾽ αὐτῶν πράξαντας.
the opposite to-them with them having-done

130.5 καὶ προσπεσόντες τρέπουσιν ἅμα μὲν μάχῃ αἰφνιδίῳ,
and having-fallen-on they-rout at-once indeed by-battle sudden
ἅμα δὲ τοῖς Ἀθηναίοις τῶν πυλῶν ἀνοιγομένων
at-once and to-the Athenians the gates being-opened
φοβηθέντων· ᾠήθησαν γὰρ ἀπὸ προειρημένου τινὸς αὐτοῖς
having-taken-fright they-thought for from prearranged some to-them
τὴν ἐπιχείρησιν γενέσθαι.
the attack to-have-happened

130.6 καὶ οἱ μὲν ἐς τὴν ἀκρόπολιν, ὅσοι μὴ αὐτίκα
and they indeed to the acropolis as-many-as not at-once
διεφθάρησαν, κατέφυγον, ἥνπερ καὶ τὸ πρότερον αὐτοὶ
were-killed fled which-very also the before themselves
εἶχον· οἱ δὲ Ἀθηναῖοι (ἤδη γὰρ καὶ ὁ Νικίας ἐπαναστρέψας
held the and Athenians already for also — Nicias having-turned-back
πρὸς τῇ πόλει ἦν) ἐσπεσόντες ἐς τὴν Μένδην πόλιν, ἅτε
at the city was having-burst into — Mende city as
οὐκ ἀπὸ ξυμβάσεως ἀνοιχθεῖσαν, ἁπάσῃ τῇ στρατιᾷ ὡς
not by agreement opened with-all the army as

κατὰ κράτος ἑλόντες διήρπασαν, καὶ μόλις οἱ στρατηγοὶ
by storm having-taken plundered and with-difficulty the generals
κατέσχον ὥστε μὴ καὶ τοὺς ἀνθρώπους διαφθείρεσθαι.
restrained-them so-that not also the men to-be-killed
καὶ τοὺς μὲν Μενδαίους μετὰ ταῦτα πολιτεύειν ἐκέλευον 130.7
and the indeed Mendaeans after these-things to-be-citizens they-bade
ὥσπερ εἰώθεσαν, αὐτοὺς κρίναντας ἐν σφίσιν αὐτοῖς
as they-were-accustomed themselves judging among them selves
εἴ τινας ἡγοῦνται αἰτίους εἶναι τῆς ἀποστάσεως· τοὺς
if any they-think guilty to-be of-the revolt those
δ' ἐν τῇ ἀκροπόλει ἀπετείχισαν ἑκατέρωθεν τείχει ἐς
and in the acropolis they-walled-off on-both-sides with-a-wall to
θάλασσαν καὶ φυλακὴν ἐπικαθίσταντο. ἐπειδὴ δὲ τὰ
sea and a-guard set-over-them when and the-things
περὶ τὴν Μένδην κατέσχον, ἐπὶ τὴν Σκιώνην ἐχώρουν.
about — Mende they-had-settled against — Scione went
οἱ δὲ ἀντεπεξελθόντες αὐτοὶ καὶ Πελοποννήσιοι 131.1
they and having-come-out-against-them themselves and Peloponnesians
ἱδρύθησαν ἐπὶ λόφου καρτεροῦ πρὸ τῆς πόλεως, ὃν εἰ
settled on a-hill strong before the city which if
μὴ ἕλοιεν οἱ ἐναντίοι, οὐκ ἐγίγνετο σφῶν περιτείχισις.
not should-take the enemy not was-possible their circumvallation
προσβαλόντες δ' αὐτῷ κατὰ κράτος οἱ Ἀθηναῖοι καὶ μάχῃ 131.2
having-attacked and it by storm the Athenians and in-battle
ἐκκρούσαντες τοὺς ἐπόντας ἐστρατοπεδεύσαντό τε καὶ ἐς
having-dislodged those on-it encamped both and for
τὸν περιτειχισμὸν τροπαῖον στήσαντες παρεσκευάζοντο.
the circumvallation a-trophy having-set-up prepared
καὶ αὐτῶν οὐ πολὺ ὕστερον ἤδη ἐν ἔργῳ ὄντων 131.3
and they not long later already at work being
οἱ ἐκ τῆς ἀκροπόλεως ἐν τῇ Μένδῃ πολιορκούμενοι
those from the acropolis in — Mende besieged

ἐπίκουροι βιασάμενοι παρὰ θάλασσαν τὴν φυλακὴν νυκτὸς
auxiliaries having-forced along the-sea the guard by-night
ἀφικνοῦνται, καὶ διαφυγόντες οἱ πλεῖστοι τὸ ἐπὶ τῇ
arrive and having-escaped the most the at —
Σκιώνῃ στρατόπεδον ἐσῆλθον ἐς αὐτήν.
Scione camp got into it

132.1 περιτειχιζομένης δὲ τῆς Σκιώνης Περδίκκας τοῖς τῶν
being-walled-round and — Scione Perdiccas with-the of-the
Ἀθηναίων στρατηγοῖς ἐπικηρυκευσάμενος ὁμολογίαν ποιεῖται
Athenians generals having-sent-heralds an-agreement makes
πρὸς τοὺς Ἀθηναίους διὰ τὴν τοῦ Βρασίδου ἔχθραν
with the Athenians because-of the — of-Brasidas hatred
περὶ τῆς ἐκ τῆς Λύγκου ἀναχωρήσεως, εὐθὺς τότε
about the from — Lyncus retreat at-once then
ἀρξάμενος πράσσειν.
having-begun to-negotiate

132.2 καὶ (ἐτύγχανε γὰρ τότε Ἰσχαγόρας ὁ Λακεδαιμόνιος
and happened for then Ischagoras the Lacedaemonian
στρατιὰν μέλλων πεζῇ πορεύσειν ὡς Βρασίδαν) ὁ Περδίκκας,
an-army about by-land to-lead to Brasidas — Perdiccas
ἅμα μὲν κελεύοντος τοῦ Νικίου, ἐπειδὴ ξυνεβεβήκει,
at-the-same-time indeed urging — Nicias since he-had-come-to-terms
ἔνδηλόν τι ποιεῖν τοῖς Ἀθηναίοις βεβαιότητος πέρι,
evident something to-do for-the Athenians of-security about
ἅμα δ' αὐτὸς οὐκέτι βουλόμενος Πελοποννησίους ἐς
at-the-same-time and himself no-longer wishing Peloponnesians into
τὴν αὑτοῦ ἀφικνεῖσθαι, παρασκευάσας τοὺς ἐν Θεσσαλίᾳ
the his-own-country to-come having-prepared the in Thessaly
ξένους, χρώμενος αἰεὶ τοῖς πρώτοις, διεκώλυσε τὸ στράτευμα
friends using always the first-men prevented the army
καὶ τὴν παρασκευήν, ὥστε μηδὲ πειρᾶσθαι Θεσσαλῶν.
and the armament so-that not-even to-try of-Thessalians

Ἰσχαγόρας μέντοι καὶ Ἀμεινίας καὶ Ἀριστεὺς αὐτοί τε ὡς 132.3
Ischagoras however and Ameinias and Aristeus themselves both to
Βρασίδαν ἀφίκοντο, ἐπιδεῖν πεμψάντων Λακεδαιμονίων τὰ
Brasidas came to-inspect having-sent Lacedaemonians the
πράγματα, καὶ τῶν ἡβώντων αὐτῶν παρανόμως ἄνδρας
affairs and of-the young-men of-them unlawfully men
ἐξῆγον ἐκ Σπάρτης, ὥστε τῶν πόλεων ἄρχοντας
they-brought-out from Sparta so-as of-the cities governors
καθιστάναι καὶ μὴ τοῖς ἐντυχοῦσιν ἐπιτρέπειν. καὶ
to-establish and not to-the chance-comers to-entrust and
Κλεαρίδαν μὲν τὸν Κλεωνύμου καθίστησιν ἐν Ἀμφιπόλει,
Clearidas indeed the son-of-Cleonymus he-establishes in Amphipolis
Πασιτελίδαν δὲ τὸν Ἡγησάνδρου ἐν Τορώνῃ.
Pasitelidas and the son-of-Hegesander in Torone
ἐν δὲ τῷ αὐτῷ θέρει Θηβαῖοι Θεσπιῶν τεῖχος περιεῖλον 133.1
in and the same summer Thebans of-Thespians wall pulled-down
ἐπικαλέσαντες ἀττικισμόν, βουλόμενοι μὲν καὶ αἰεί,
charging atticism wishing indeed also always
παρεσχηκὸς δὲ ῥᾷον ἐπειδὴ καὶ ἐν τῇ πρὸς Ἀθηναίους
having-been-possible and more-easily since also in the against Athenians
μάχῃ ὅτι ἦν αὐτῶν ἄνθος ἀπωλώλει.
battle whatever was their flower had-perished
καὶ ὁ νεὼς τῆς Ἥρας τοῦ αὐτοῦ θέρους ἐν Ἄργει 133.2
and the temple — of-Hera in-the same summer in Argos
κατεκαύθη, Χρυσίδος τῆς ἱερείας λύχνον τινὰ θείσης
was-burnt-down Chrysis the priestess lamp some having-placed
ἡμμένον πρὸς τὰ στέμματα καὶ ἐπικαταδαρθούσης, ὥστε
lit near the garlands and having-fallen-asleep so-that
ἔλαθεν ἁφθέντα πάντα καὶ καταφλεχθέντα.
it-escaped-notice having-been-kindled all and burnt-down

133.3 καὶ ἡ Χρυσὶς μὲν εὐθὺς τῆς νυκτὸς δείσασα τοὺς
and — Chrysis indeed at-once by-the night having-feared the
Ἀργείους ἐς Φλειοῦντα φεύγει· οἱ δὲ ἄλλην ἱέρειαν ἐκ
Argives to Phlius flees they and another priestess by
τοῦ νόμου τοῦ προκειμένου κατεστήσαντο Φαεινίδα ὄνομα.
the law the prescribed appointed Phaeinis by-name
ἔτη δὲ ἡ Χρυσὶς τοῦ πολέμου τοῦδε ἐπέλαβεν ὀκτὼ
years and — Chrysis of-the war this had-lived-through eight
καὶ ἔνατον ἐκ μέσου, ὅτε ἐπεφεύγει.
and a-ninth to the-middle when she-had-fled

133.4 καὶ ἡ Σκιώνη τοῦ θέρους ἤδη τελευτῶντος περιετετείχιστό
and — Scione the summer already ending had-been-walled-round
τε παντελῶς, καὶ οἱ Ἀθηναῖοι ἐπ' αὐτῇ φυλακὴν
both completely and the Athenians at it a-guard
καταλιπόντες ἀνεχώρησαν τῷ ἄλλῳ στρατῷ.
having-left withdrew with-the other army

134.1 ἐν δὲ τῷ ἐπιόντι χειμῶνι τὰ μὲν Ἀθηναίων καὶ
in and the following winter the indeed of-Athenians and
Λακεδαιμονίων ἡσύχαζε διὰ τὴν ἐκεχειρίαν, Μαντινῆς
of-Lacedaemonians kept-quiet because-of the armistice Mantineans
δὲ καὶ Τεγεᾶται καὶ οἱ ξύμμαχοι ἑκατέρων ξυνέβαλον ἐν
and and Tegeans and the allies of-each engaged at
Λαοδοκείῳ τῆς Ὀρεσθίδος, καὶ νίκη ἀμφιδήριτος ἐγένετο·
Laodoceum — of-Orestbis and victory disputed came-about
κέρας γὰρ ἑκάτεροι τρέψαντες τὸ καθ' αὑτοὺς τροπαῖά
wing for each-side having-routed the opposite themselves trophies
τε ἀμφότεροι ἔστησαν καὶ σκῦλα ἐς Δελφοὺς ἀπέπεμψαν.
both both-sides set-up and spoils to Delphi sent

134.2 διαφθαρέντων μέντοι πολλῶν ἑκατέροις καὶ ἀγχωμάλου
having-been-killed however many on-each-side and drawn
τῆς μάχης γενομένης καὶ ἀφελομένης νυκτὸς τὸ ἔργον
the battle having-been and having-taken-away night the action

οἱ Τεγεᾶται μὲν ἐπηυλίσαντό τε καὶ εὐθὺς ἔστησαν
the Tegeans indeed bivouacked both and at-once set-up
τροπαῖον, Μαντινῆς δὲ ἀπεχώρησάν τε ἐς Βουκολιῶνα
a-trophy Mantineans and withdrew both to Bucolion
καὶ ὕστερον ἀντέστησαν.
and later set-one-up-in-turn
ἀπεπείρασε δὲ τοῦ αὐτοῦ χειμῶνος καὶ ὁ Βρασίδας 135.1
made-an-attempt and in-the same winter also — Brasidas
τελευτῶντος καὶ πρὸς ἔαρ ἤδη Ποτειδαίας. προσελθὼν
ending and toward spring already on-Potidaea having-approached
γὰρ νυκτὸς καὶ κλίμακα προσθεὶς μέχρι μὲν τούτου
for by-night and a-ladder having-set-against-it as-far-as indeed this
ἔλαθεν· τοῦ γὰρ κώδωνος παρενεχθέντος οὕτως ἐς
he-escaped-notice the for bell having-been-passed-along thus into
τὸ διάκενον, πρὶν ἐπανελθεῖν τὸν παραδιδόντα αὐτόν, ἡ
the gap before to-return the one-handing-it-on it the
πρόσθεσις ἐγένετο· ἔπειτα μέντοι εὐθὺς αἰσθομένων, πρὶν
setting-against happened then however at-once they-perceiving before
προσβῆναι, ἀπήγαγε πάλιν κατὰ τάχος τὴν στρατιὰν καὶ
to-climb he-led-away back in haste the army and
οὐκ ἀνέμεινεν ἡμέραν γενέσθαι.
not waited-for day to-come
καὶ ὁ χειμὼν ἐτελεύτα, καὶ ἔνατον ἔτος τῷ πολέμῳ 135.2
and the winter ended and ninth year for-the war
ἐτελεύτα τῷδε ὃν Θουκυδίδης ξυνέγραψεν.
ended this which Thucydides wrote

BOOK V

I · CLEON RETAKES TORONE

The year's truce runs out at the Pythian games. The Athenians expel the Delians from Delos as unclean. Cleon persuades Athens to send him to Thrace with thirty ships, twelve hundred hoplites, and three hundred cavalry. He takes Torone while Brasidas is away, enslaves its women and children, and sends seven hundred men, Toronaeans and Peloponnesians, to Athens. Panactum on the border is betrayed to the Boeotians, and Cleon sails round Athos toward Amphipolis. Phaeax sails to Sicily to rouse the cities against Syracuse for the sake of the Leontines, wins over Camarina and Acragas, and fails at Gela.

1.1 τοῦ δ' ἐπιγιγνομένου θέρους αἱ μὲν ἐνιαύσιοι σπονδαὶ
in-the and following summer the indeed year-long truce
διελέλυντο μέχρι Πυθίων, καὶ ἐν τῇ ἐκεχειρίᾳ Ἀθηναῖοι
had-expired until Pythian-games and in the armistice Athenians
Δηλίους ἀνέστησαν ἐκ Δήλου, ἡγησάμενοι κατὰ παλαιάν
Delians removed from Delos thinking by old
τινα αἰτίαν οὐ καθαροὺς ὄντας ἱερῶσθαι, καὶ
some charge not pure being to-have-been-consecrated and
ἅμα ἐλλιπὲς σφίσιν εἶναι τοῦτο τῆς καθάρσεως,
at-the-same-time lacking to-them to-be this of-the purification
ᾗ πρότερόν μοι δεδήλωται ὡς ἀνελόντες τὰς θήκας
in-which before by-me it-has-been-shown how having-removed the tombs
τῶν τεθνεώτων ὀρθῶς ἐνόμισαν ποιῆσαι. καὶ οἱ μὲν
of-the dead rightly they-thought to-have-done and the indeed
Δήλιοι Ἀτραμύττιον Φαρνάκου δόντος αὐτοῖς ἐν τῇ Ἀσίᾳ
Delians Atramyttium Pharnaces having-given to-them in — Asia
ᾤκησαν, οὕτως ὡς ἕκαστος ὥρμητο.
settled thus as each had-set-out

Κλέων δὲ Ἀθηναίους πείσας ἐς τὰ ἐπὶ Θρᾴκης χωρία 2.1
Cleon and Athenians having-persuaded to the in Thrace places
ἐξέπλευσε μετὰ τὴν ἐκεχειρίαν, Ἀθηναίων μὲν ὁπλίτας
sailed-out after the armistice of-Athenians indeed hoplites
ἔχων διακοσίους καὶ χιλίους καὶ ἱππέας τριακοσίους, τῶν
having two-hundred and a-thousand and cavalry three-hundred of-the
δὲ ξυμμάχων πλείους, ναῦς δὲ τριάκοντα.
and allies more ships and thirty
σχὼν δὲ ἐς Σκιώνην πρῶτον ἔτι πολιορκουμένην 2.2
having-put-in and at Scione first still being-besieged
καὶ προσλαβὼν αὐτόθεν ὁπλίτας τῶν φρουρῶν,
and having-taken-in-addition from-there hoplites of-the garrison
κατέπλευσεν ἐς τὸν Κωφὸν λιμένα τῶν Τορωναίων
sailed-down to — Cophus harbor of-the Toronaeans
ἀπέχοντα οὐ πολὺ τῆς πόλεως.
distant not far from-the city
ἐκ δ' αὐτοῦ, αἰσθόμενος ὑπ' αὐτομόλων ὅτι οὔτε 2.3
from and it having-perceived from deserters that neither
Βρασίδας ἐν τῇ Τορώνῃ οὔτε οἱ ἐνόντες ἀξιόμαχοι εἶεν,
Brasidas in — Torone nor those inside a-match were
τῇ μὲν στρατιᾷ τῇ πεζῇ ἐχώρει ἐς τὴν πόλιν,
with-the indeed army the infantry he-advanced against the city
ναῦς δὲ περιέπεμψε δέκα ἐς τὸν λιμένα περιπλεῖν.
ships and sent-round ten into the harbor to-sail-round
καὶ πρὸς τὸ περιτείχισμα πρῶτον ἀφικνεῖται, ὃ 2.4
and to the outer-wall first arrives which
προσπεριέβαλε τῇ πόλει ὁ Βρασίδας ἐντὸς βουλόμενος
threw-round-in-addition the city — Brasidas inside wishing
ποιῆσαι τὸ προάστειον, καὶ διελὼν τοῦ παλαιοῦ
to-make the suburb and having-pulled-down of-the old
τείχους μίαν αὐτὴν ἐποίησε πόλιν.
wall one it made city

3.1 βοηθήσαντες δὲ ἐς αὐτὸ Πασιτελίδας τε ὁ Λακεδαιμόνιος
having-come-to-help and to it Pasitelidas both the Lacedaemonian
ἄρχων καὶ ἡ παροῦσα φυλακὴ προσβαλόντων τῶν
commander and the present garrison attacking the
Ἀθηναίων ἠμύνοντο. καὶ ὡς ἐβιάζοντο καὶ αἱ νῆες
Athenians defended-themselves and when they-were-being-forced and the ships
ἅμα περιέπλεον αἱ ἐς τὸν λιμένα περιπεμφθεῖσαι,
at-the-same-time were-sailing-round those into the harbor sent-round
δείσας ὁ Πασιτελίδας μὴ αἵ τε νῆες φθάσωσι
having-feared — Pasitelidas lest the both ships should-anticipate
λαβοῦσαι ἐρῆμον τὴν πόλιν καὶ τοῦ τειχίσματος ἁλισκομένου
taking empty the city and the fortification being-taken
ἐγκαταληφθῇ, ἀπολιπὼν αὐτὸ δρόμῳ ἐχώρει ἐς τὴν πόλιν.
he-be-caught having-abandoned it at-a-run went into the city
3.2 οἱ δὲ Ἀθηναῖοι φθάνουσιν οἵ τε ἀπὸ τῶν νεῶν ἑλόντες
the and Athenians anticipate-him those both from the ships having-taken
τὴν Τορώνην καὶ ὁ πεζὸς ἐπισπόμενος αὐτοβοεὶ κατὰ τὸ
Torone and the infantry following at-the-first-shout by the
διῃρημένον τοῦ παλαιοῦ τείχους ξυνεσπεσών. καὶ τοὺς
breach of-the old wall having-rushed-in-with-him and the
μὲν ἀπέκτειναν τῶν Πελοποννησίων καὶ Τορωναίων εὐθὺς
indeed they-killed of-the Peloponnesians and Toronaeans at-once
ἐν χερσί, τοὺς δὲ ζῶντας ἔλαβον, καὶ Πασιτελίδαν
in hand-fighting the-others and alive they-took and Pasitelidas
τὸν ἄρχοντα.
the commander
3.3 Βρασίδας δὲ ἐβοήθει μὲν τῇ Τορώνῃ, αἰσθόμενος δὲ
Brasidas and was-coming-to-help indeed — Torone having-perceived but
καθ' ὁδὸν ἑαλωκυῖαν ἀνεχώρησεν, ἀποσχὼν τεσσαράκοντα
on-the way taken withdrew being-distant forty
μάλιστα σταδίους μὴ φθάσαι ἐλθών.
about stades not to-have-anticipated by-coming

ὁ δὲ Κλέων καὶ οἱ Ἀθηναῖοι τροπαιά τε ἔστησαν δύο, τὸ 3.4
— and Cleon and the Athenians trophies both set-up two the-one
μὲν κατὰ τὸν λιμένα, τὸ δὲ πρὸς τῷ τειχίσματι, καὶ
indeed by the harbor the-other and at the fortification and
τῶν Τορωναίων γυναῖκας μὲν καὶ παῖδας ἠνδραπόδισαν,
of-the Toronaeans the-women indeed and children they-enslaved
αὐτοὺς δὲ καὶ Πελοποννησίους καὶ εἴ τις ἄλλος Χαλκιδέων
themselves and and Peloponnesians and if any other of-Chalcidians
ἦν, ξύμπαντας ἐς ἑπτακοσίους, ἀπέπεμψαν ἐς τὰς
was all-together up-to seven-hundred sent-off to —
Ἀθήνας· καὶ αὐτοῖς τὸ μὲν Πελοποννήσιον ὕστερον ἐν
Athens and for-them the indeed Peloponnesian later in
ταῖς γενομέναις σπονδαῖς ἀπῆλθε, τὸ δὲ ἄλλο ἐκομίσθη
the made treaty went-home the and rest was-recovered
ὑπ' Ὀλυνθίων, ἀνὴρ ἀντ' ἀνδρὸς λυθείς.
by Olynthians man for man released
εἷλον δὲ καὶ Πάνακτον Ἀθηναίων ἐν μεθορίοις τεῖχος 3.5
took and also Panactum of-Athenians on the-borders a-fort
Βοιωτοὶ ὑπὸ τὸν αὐτὸν χρόνον προδοσίᾳ.
Boeotians about the same time by-treachery
καὶ ὁ μὲν Κλέων φυλακὴν καταστησάμενος τῆς Τορώνης 3.6
and — indeed Cleon a-garrison having-established — of-Torone
ἄρας περιέπλει τὸν Ἄθων ὡς ἐπὶ τὴν Ἀμφίπολιν.
having-set-out sailed-round — Athos as against — Amphipolis
Φαίαξ δὲ ὁ Ἐρασιστράτου τρίτος αὐτὸς Ἀθηναίων 4.1
Phaeax and the son-of-Erasistratus third himself Athenians
πεμπόντων ναυσὶ δύο ἐς Ἰταλίαν καὶ Σικελίαν πρεσβευτὴς
sending with-ships two to Italy and Sicily as-envoy
ὑπὸ τὸν αὐτὸν χρόνον ἐξέπλευσεν.
about the same time sailed-out

4.2 Λεοντῖνοι γὰρ ἀπελθόντων Ἀθηναίων ἐκ Σικελίας μετὰ
Leontines for having-departed Athenians from Sicily after
τὴν ξύμβασιν πολίτας τε ἐπεγράψαντο πολλοὺς καὶ ὁ
the agreement citizens both enrolled many and the
δῆμος τὴν γῆν ἐπενόει ἀναδάσασθαι.
people the land planned to-redistribute

4.3 οἱ δὲ δυνατοὶ αἰσθόμενοι Συρακοσίους τε ἐπάγονται καὶ
the and powerful having-perceived Syracusans both bring-in and
ἐκβάλλουσι τὸν δῆμον. καὶ οἱ μὲν ἐπλανήθησαν ὡς
drive-out the people and they indeed wandered as
ἕκαστοι, οἱ δὲ δυνατοὶ ὁμολογήσαντες Συρακοσίοις καὶ
each the and powerful having-agreed with-Syracusans and
τὴν πόλιν ἐκλιπόντες καὶ ἐρημώσαντες Συρακούσας ἐπὶ
the city having-abandoned and having-left-desolate Syracuse with
πολιτείᾳ ᾤκησαν.
citizenship settled

4.4 καὶ ὕστερον πάλιν αὐτῶν τινὲς διὰ τὸ μὴ ἀρέσκεσθαι
and later again of-them some because-of the not to-be-pleased
ἀπολιπόντες ἐκ τῶν Συρακουσῶν Φωκαίας τε τῆς πόλεώς
having-left from — Syracuse Phocaeae both the city's
τι τῆς Λεοντίνων χωρίον καλούμενον καταλαμβάνουσι
a of-the Leontines place called occupy
καὶ Βρικιννίας ὂν ἔρυμα ἐν τῇ Λεοντίνῃ. καὶ τῶν τοῦ
and Bricinniae being a-fort in — Leontine-land and of-those of-the
δήμου τότε ἐκπεσόντων οἱ πολλοὶ ἦλθον ὡς αὐτούς, καὶ
people then expelled the most came to them and
καταστάντες ἐκ τῶν τειχῶν ἐπολέμουν.
having-established-themselves from the walls made-war

4.5 ἃ πυνθανόμενοι οἱ Ἀθηναῖοι τὸν Φαίακα πέμπουσιν,
which learning the Athenians — Phaeax send
εἴ πως πείσαντες τοὺς σφίσιν ὄντας αὐτόθι ξυμμάχους
if somehow having-persuaded those to-them being there allies

καὶ τοὺς ἄλλους, ἢν δύνωνται, Σικελιώτας κοινῇ
and the other if they-can Sicilian-Greeks in-common
ὡς Συρακοσίων δύναμιν περιποιουμένων ἐπιστρατεῦσαι,
as Syracusans power acquiring to-march-against-them
διασώσειαν τὸν δῆμον τῶν Λεοντίνων.
they-might-save the people of-the Leontines
ὁ δὲ Φαίαξ ἀφικόμενος τοὺς μὲν Καμαριναίους πείθει 4.6
— and Phaeax having-arrived the indeed Camarinaeans persuades
καὶ Ἀκραγαντίνους, ἐν δὲ Γέλᾳ ἀντιστάντος αὐτῷ τοῦ
and Acragantines in but Gela opposing him the
πράγματος οὐκέτι ἐπὶ τοὺς ἄλλους ἔρχεται, αἰσθόμενος
matter no-longer to the others goes perceiving
οὐκ ἂν πείθειν αὐτούς, ἀλλ' ἀναχωρήσας διὰ τῶν
not — to-persuade them but having-withdrawn through the
Σικελῶν ἐς Κατάνην καὶ ἅμα ἐν τῇ παρόδῳ καὶ
Sicels to Catana and at-the-same-time in the passage also
ἐς τὰς Βρικιννίας ἐλθὼν καὶ παραθαρσύνας ἀπέπλει.
to — Bricinniae having-gone and having-encouraged sailed-off
ἐν δὲ τῇ παρακομιδῇ τῇ ἐς τὴν Σικελίαν καὶ πάλιν 5.1
in and the coasting-voyage the to — Sicily and back
ἀναχωρήσει καὶ ἐν τῇ Ἰταλίᾳ τισὶ πόλεσιν ἐχρημάτισε
return and in — Italy with-some cities he-negotiated
περὶ φιλίας τοῖς Ἀθηναίοις, καὶ Λοκρῶν ἐντυγχάνει τοῖς
about friendship with-the Athenians and of-Locrians meets those
ἐκ Μεσσήνης ἐποίκοις ἐκπεπτωκόσιν, οἳ μετὰ τὴν τῶν
from Messene settlers having-been-expelled who after the of-the
Σικελιωτῶν ὁμολογίαν στασιασάντων Μεσσηνίων καὶ
Sicilian-Greeks agreement having-split-into-factions Messenians and
ἐπαγαγομένων τῶν ἑτέρων Λοκροὺς ἔποικοι ἐξεπέμφθησαν,
having-called-in the one-party Locrians settlers were-sent-out
καὶ ἐγένετο Μεσσήνη Λοκρῶν τινὰ χρόνον.
and was Messene of-Locrians some time

5.2 τούτοις οὖν ὁ Φαίαξ ἐντυχὼν τοῖς κομιζομένοις οὐκ
these then — Phaeax having-met the being-conveyed not
ἠδίκησεν· ἐγεγένητο γὰρ τοῖς Λοκροῖς πρὸς αὐτὸν
harmed had-come-about for for-the Locrians with him
ὁμολογία ξυμβάσεως πέρι πρὸς τοὺς Ἀθηναίους.
an-agreement of-settlement about with the Athenians
5.3 μόνοι γὰρ τῶν ξυμμάχων, ὅτε Σικελιῶται ξυνηλλάσσοντο,
alone for of-the allies when Sicilian-Greeks were-reconciled
οὐκ ἐσπείσαντο Ἀθηναίοις, οὐδ' ἂν τότε, εἰ μὴ αὐτοὺς
not made-treaty with-Athenians nor — then if not them
κατεῖχεν ὁ πρὸς Ἱππωνιᾶς καὶ Μεδμαίους πόλεμος
held the against Hipponians and Medmaeans war
ὁμόρους τε ὄντας καὶ ἀποίκους. καὶ ὁ μὲν Φαίαξ ἐς
neighbors both being and colonists and — indeed Phaeax to
τὰς Ἀθήνας χρόνῳ ὕστερον ἀφίκετο.
— Athens in-time later arrived

II · AMPHIPOLIS

Cleon fails at Stagirus, takes Galepsus, and waits at Eion for allies, and Brasidas takes position on Cerdylium. Cleon advances to view Amphipolis, sure no one will come out against him. Brasidas tells his men that a sudden attack on a careless enemy wins most glory, and that they should fight like free men. As Cleon turns to withdraw, Brasidas charges out of the gates. The Athenian center breaks, and Cleon, fleeing, is killed by a peltast from Myrcinus. Brasidas is wounded, carried into the city, and dies after learning of the victory. The Amphipolitans honor him as their founder. About six hundred Athenians fall and seven of the other side. Rhamphias' reinforcement turns back.

6.1 ὁ δὲ Κλέων ὡς ἀπὸ τῆς Τορώνης τότε περιέπλευσεν
— and Cleon when from — Torone then sailed-around
ἐπὶ τὴν Ἀμφίπολιν, ὁρμώμενος ἐκ τῆς Ἠιόνος Σταγίρῳ
to — Amphipolis setting-out from — Eion Stagirus

μὲν προσβάλλει Ἀνδρίων ἀποικίᾳ καὶ οὐχ εἷλε, Ἀληψὸν
indeed attacks of-Andrians colony and not took-it Galepsus
δὲ τὴν Θασίων ἀποικίαν λαμβάνει κατὰ κράτος.
but the of-Thasians colony takes by storm
καὶ πέμψας ὡς Περδίκκαν πρέσβεις, ὅπως παραγένοιτο 6.2
and having-sent to Perdiccas envoys so-that he-might-come
στρατιᾷ κατὰ τὸ ξυμμαχικόν, καὶ ἐς τὴν Θρᾴκην ἄλλους
with-an-army according-to the alliance and to — Thrace others
παρὰ Πολλῆν τὸν Ὀδομάντων βασιλέα, ἄξοντας μισθοῦ
to Polles the of-Odomantians king going-to-bring for-pay
Θρᾳκας ὡς πλείστους, αὐτὸς ἡσύχαζε περιμένων ἐν τῇ Ἠιόνι.
Thracians as many-as-possible himself kept-quiet waiting at — Eion
Βρασίδας δὲ πυνθανόμενος ταῦτα ἀντεκάθητο καὶ αὐτὸς 6.3
Brasidas and learning these-things took-position-opposite also himself
ἐπὶ τῷ Κερδυλίῳ· ἔστι δὲ τὸ χωρίον τοῦτο Ἀργιλίων
at — Cerdylium is and the place this of-Argilians
ἐπὶ μετεώρου πέραν τοῦ ποταμοῦ, οὐ πολὺ ἀπέχον τῆς
on a-height across the river not far distant —
Ἀμφιπόλεως, καὶ κατεφαίνετο πάντα αὐτόθεν, ὥστε οὐκ
from-Amphipolis and was-visible everything from-there so-that not
ἂν ἔλαθεν αὐτὸν ὁρμώμενος ὁ Κλέων τῷ στρατῷ·
— would-have-eluded him setting-out — Cleon with-the army
ὅπερ προσεδέχετο ποιήσειν αὐτόν, ἐπὶ τὴν Ἀμφίπολιν,
which-very he-expected to-do him against — Amphipolis
ὑπεριδόντα σφῶν τὸ πλῆθος, τῇ παρούσῃ στρατιᾷ
despising their the numbers with-the present army
ἀναβήσεσθαι.
to-go-up
ἅμα δὲ καὶ παρεσκευάζετο Θρᾳκάς τε μισθωτοὺς 6.4
at-the-same-time and also he-prepared Thracians both mercenary
πεντακοσίους καὶ χιλίους, καὶ τοὺς Ἡδῶνας πάντας
five-hundred and a-thousand and the Edonians all

παρακαλῶν, πελταστὰς καὶ ἱππέας· καὶ Μυρκινίων καὶ
summoning peltasts and cavalry and of-Myrcinians and
Χαλκιδέων χιλίους πελταστὰς εἶχε πρὸς τοῖς ἐν Ἀμφιπόλει.
Chalcidians a-thousand peltasts he-had besides those in Amphipolis
6.5 τὸ δ' ὁπλιτικὸν ξύμπαν ἠθροίσθη δισχίλιοι μάλιστα καὶ
the and hoplite-force whole was-collected two-thousand about and
ἱππῆς Ἕλληνες τριακόσιοι. τούτων Βρασίδας μὲν ἔχων
cavalry Greek three-hundred of-these Brasidas indeed having
ἐπὶ Κερδυλίῳ ἐκάθητο ἐς πεντακοσίους καὶ χιλίους, οἱ
at Cerdylium sat up-to five-hundred and a-thousand the
δ' ἄλλοι ἐν Ἀμφιπόλει μετὰ Κλεαρίδου ἐτετάχατο.
and others in Amphipolis with Clearidas had-been-posted
7.1 ὁ δὲ Κλέων τέως μὲν ἡσύχαζεν, ἔπειτα ἠναγκάσθη
— and Cleon for-a-while indeed kept-quiet then was-compelled
ποιῆσαι ὅπερ ὁ Βρασίδας προσεδέχετο.
to-do which-very — Brasidas expected
7.2 τῶν γὰρ στρατιωτῶν ἀχθομένων μὲν τῇ ἕδρᾳ,
the for soldiers being-vexed indeed at-the inactivity
ἀναλογιζομένων δὲ τὴν ἐκείνου ἡγεμονίαν πρὸς οἵαν
reckoning and the his leadership against what-sort-of
ἐμπειρίαν καὶ τόλμαν μετὰ οἵας ἀνεπιστημοσύνης καὶ
experience and daring with what-sort-of ignorance and
μαλακίας γενήσοιτο καὶ οἴκοθεν ὡς ἄκοντες αὐτῷ ξυνῆλθον,
softness it-would-be and from-home how unwilling with-him they-came-out
αἰσθόμενος τὸν θροῦν καὶ οὐ βουλόμενος αὐτοὺς διὰ τὸ
perceiving the murmur and not wishing them because-of the
ἐν τῷ αὐτῷ καθημένους βαρύνεσθαι, ἀναλαβὼν ἦγεν.
in the same-place sitting to-be-annoyed having-taken-them-up he-led
7.3 καὶ ἐχρήσατο τῷ τρόπῳ ᾧπερ καὶ ἐς τὴν Πύλον εὐτυχήσας
and used the manner in-which also at — Pylos having-succeeded
ἐπίστευσέ τι φρονεῖν· ἐς μάχην μὲν γὰρ οὐδὲ ἤλπισέν
he-trusted something to-be-wise for battle indeed for not-even he-expected

οἱ ἐπεξιέναι οὐδένα, κατὰ θέαν δὲ μᾶλλον ἔφη ἀναβαίνειν
to-him to-come-out no-one for viewing but rather he-said to-go-up
τοῦ χωρίου, καὶ τὴν μείζω παρασκευὴν περιέμενεν, οὐχ
the place and the greater force awaited not
ὡς τῷ ἀσφαλεῖ, ἢν ἀναγκάζηται, περισχήσων, ἀλλ' ὡς
as with-the safety if he-should-be-forced going-to-surround but as
κύκλῳ περιστὰς βίᾳ αἱρήσων τὴν πόλιν.
round standing by-force going-to-take the city
ἐλθών τε καὶ καθίσας ἐπὶ λόφου καρτεροῦ πρὸ τῆς 7.4
having-come both and having-posted on a-hill strong before —
Ἀμφιπόλεως τὸν στρατὸν αὐτὸς ἐθεᾶτο τὸ λιμνῶδες τοῦ
Amphipolis the army himself viewed the marshy-part —
Στρυμόνος καὶ τὴν θέσιν τῆς πόλεως ἐπὶ τῇ Θρᾴκῃ ὡς ἔχοι.
of-Strymon and the situation of-the city toward — Thrace how it-stood
ἀπιέναι τε ἐνόμιζεν, ὁπόταν βούληται, ἀμαχεί· καὶ 7.5
to-go-away and he-thought whenever he-wished without-battle and
γὰρ οὐδὲ ἐφαίνετο οὔτ' ἐπὶ τοῦ τείχους οὐδεὶς οὔτε
for not-even was-seen neither on the wall anyone nor
κατὰ πύλας ἐξήει, κεκλημέναι τε ἦσαν πᾶσαι. ὥστε καὶ
by gates came-out shut and were all so-that also
μηχανὰς ὅτι οὐκ ἀνῆλθεν ἔχων, ἁμαρτεῖν ἐδόκει· ἑλεῖν
engines that not he-had-come-up having to-have-erred he-seemed to-take
γὰρ ἂν τὴν πόλιν διὰ τὸ ἐρῆμον.
for — the city because-of the empty-state
ὁ δὲ Βρασίδας εὐθὺς ὡς εἶδε κινουμένους τοὺς Ἀθηναίους, 8.1
— and Brasidas at-once when he-saw moving the Athenians
καταβὰς καὶ αὐτὸς ἀπὸ τοῦ Κερδυλίου ἐσέρχεται ἐς
having-come-down also himself from — Cerdylium enters into
τὴν Ἀμφίπολιν.
— Amphipolis

8.2 καὶ ἐπέξοδον μὲν καὶ ἀντίταξιν οὐκ ἐποιήσατο πρὸς τοὺς
and sally indeed and battle-array not made against the
Ἀθηναίους, δεδιὼς τὴν αὐτοῦ παρασκευὴν καὶ νομίζων
Athenians fearing the his-own force and thinking
ὑποδεεστέρους εἶναι, οὐ τῷ πλήθει (ἀντίπαλα γάρ πως
inferior to-be not in-the number equal for somehow
ἦν), ἀλλὰ τῷ ἀξιώματι (τῶν γὰρ Ἀθηναίων ὅπερ
it-was but in-the quality of-the for Athenians whatever
ἐστράτευε καθαρὸν ἐξῆλθε καὶ Λημνίων καὶ Ἰμβρίων τὸ
marched picked came-out and of-Lemnians and Imbrians the
κράτιστον), τέχνῃ δὲ παρεσκευάζετο ἐπιθησόμενος.
best by-stratagem but he-prepared going-to-attack

8.3 εἰ γὰρ δείξειε τοῖς ἐναντίοις τό τε πλῆθος καὶ τὴν
if for he-should-show to-the enemy the both number and the
ὅπλισιν ἀναγκαίαν οὖσαν τῶν μεθ' ἑαυτοῦ, οὐκ ἂν ἡγεῖτο
armament makeshift being of-those with himself not — he-thought
μᾶλλον περιγενέσθαι ἢ ἄνευ προόψεώς τε αὐτῶν καὶ
rather to-prevail than without seeing-beforehand both of-them and
μὴ ἀπὸ τοῦ ὄντος καταφρονήσεως.
not from the reality contempt

8.4 ἀπολεξάμενος οὖν αὐτὸς πεντήκοντα καὶ ἑκατὸν ὁπλίτας
having-picked-out then himself fifty and a-hundred hoplites
καὶ τοὺς ἄλλους Κλεαρίδᾳ προστάξας ἐβουλεύετο ἐπιχειρεῖν
and the others to-Clearidas having-assigned he-planned to-attack
αἰφνιδίως πρὶν ἀπελθεῖν τοὺς Ἀθηναίους, οὐκ ἂν νομίζων
suddenly before to-go-away the Athenians not — thinking
αὐτοὺς ὁμοίως ἀπολαβεῖν αὖθις μεμονωμένους, εἰ τύχοι
them alike to-catch again isolated if should-happen
ἐλθοῦσα αὐτοῖς ἡ βοήθεια. ξυγκαλέσας δὲ τοὺς πάντας
having-come to-them the help having-called-together and the all

στρατιώτας καὶ βουλόμενος παραθαρσῦναί τε καὶ τὴν
soldiers and wishing to-encourage both and the
ἐπίνοιαν φράσαι, ἔλεγε τοιάδε.
plan to-tell spoke as-follows
9.1 ‘Ἄνδρες Πελοποννήσιοι, ἀπὸ μὲν οἵας χώρας ἥκομεν,
men Peloponnesians from indeed what-sort-of country we-have-come
ὅτι αἰεὶ διὰ τὸ εὔψυχον ἐλευθέρας, καὶ ὅτι Δωριῆς
that always because-of the courage free and that Dorians
μέλλετε Ἴωσι μάχεσθαι, ὧν εἰώθατε κρείσσους
you-are-about against-Ionians to-fight whom you-are-used better
εἶναι, ἀρκείτω βραχέως δεδηλωμένον·
to-be let-it-suffice briefly having-been-shown
9.2 τὴν δὲ ἐπιχείρησιν ᾗ τρόπῳ διανοοῦμαι ποιεῖσθαι,
the and attack in-what way I-intend to-make
διδάξω, ἵνα μή τῳ τὸ κατ’ ὀλίγον καὶ μὴ ἅπαντας
I-will-explain so-that not to-anyone the by little and not all
κινδυνεύειν ἐνδεὲς φαινόμενον ἀτολμίαν παράσχῃ.
to-run-risk deficient appearing faint-heartedness may-cause
9.3 τοὺς γὰρ ἐναντίους εἰκάζω καταφρονήσει τε ἡμῶν καὶ
the for enemy I-conjecture from-contempt both of-us and
οὐκ ἂν ἐλπίσαντας ὡς ἂν ἐπεξέλθοι τις αὐτοῖς ἐς
not — expecting that — would-come-out anyone against-them to
μάχην ἀναβῆναί τε πρὸς τὸ χωρίον καὶ νῦν ἀτάκτως
battle to-have-gone-up both to the place and now in-disorder
κατὰ θέαν τετραμμένους ὀλιγωρεῖν.
for viewing turned to-be-careless
9.4 ὅστις δὲ τὰς τοιαύτας ἁμαρτίας τῶν ἐναντίων κάλλιστα
whoever and the such errors of-the enemy best
ἰδὼν καὶ ἅμα πρὸς τὴν ἑαυτοῦ δύναμιν τὴν
having-seen and at-the-same-time according-to the his-own power the
ἐπιχείρησιν ποιεῖται μὴ ἀπὸ τοῦ προφανοῦς μᾶλλον
attack makes not from the open rather

καὶ ἀντιπαραταχθέντος ἢ ἐκ τοῦ πρὸς τὸ παρὸν
and drawn-up-against than from the according-to the present
ξυμφέροντος, πλεῖστ' ἂν ὀρθοῖτο·
advantage most — would-succeed
9.5 καὶ τὰ κλέμματα ταῦτα καλλίστην δόξαν ἔχει ἃ τὸν
and the stratagems these finest repute have which the
πολέμιον μάλιστ' ἄν τις ἀπατήσας τοὺς φίλους μέγιστ'
enemy most — one having-deceived the friends most
ἂν ὠφελήσειεν.
— would-benefit
9.6 ἕως οὖν ἔτι ἀπαράσκευοι θαρσοῦσι καὶ τοῦ ὑπαπιέναι
while then still unprepared they-are-confident and of-the to-slip-away
πλέον ἢ τοῦ μένοντος, ἐξ ὧν ἐμοὶ φαίνονται, τὴν
more than of-the staying from what to-me they-appear the
διάνοιαν ἔχουσιν, ἐν τῷ ἀνειμένῳ αὐτῶν τῆς γνώμης καὶ
intention they-have in the relaxation their of-the mind and
πρὶν ξυνταθῆναι μᾶλλον τὴν δόξαν, ἐγὼ μὲν ἔχων τοὺς
before to-be-braced more the opinion I indeed having those
μετ' ἐμαυτοῦ καὶ φθάσας, ἢν δύνωμαι, προσπεσοῦμαι
with myself and having-anticipated if I-can shall-fall-on
δρόμῳ κατὰ μέσον τὸ στράτευμα·
at-a-run against the-middle the army
9.7 σὺ δέ, Κλεαρίδα, ὕστερον, ὅταν ἐμὲ ὁρᾷς ἤδη προσκείμενον
you and Clearidas later when me you-see already pressing-on
καὶ κατὰ τὸ εἰκὸς φοβοῦντα αὐτούς, τοὺς μετὰ σεαυτοῦ
and by the likelihood frightening them those with yourself
τούς τ' Ἀμφιπολίτας καὶ τοὺς ἄλλους ξυμμάχους ἄγων
the both Amphipolitans and the other allies leading
αἰφνιδίως τὰς πύλας ἀνοίξας ἐπεκθεῖν καὶ ἐπείγεσθαι ὡς
suddenly the gates having-opened to-run-out and to-hasten as
τάχιστα ξυμμεῖξαι.
quickly-as-possible to-close

ἐλπὶς γὰρ μάλιστα αὐτοὺς οὕτω φοβηθῆναι· τὸ γὰρ ἐπιὸν 9.8
hope for most them thus to-be-frightened the for coming-on
ὕστερον δεινότερον τοῖς πολεμίοις τοῦ παρόντος καὶ
later more-terrible for-the enemy than-the present and
μαχομένου.
fighting
καὶ αὐτός τε ἀνὴρ ἀγαθὸς γίγνου, ὥσπερ σε εἰκὸς ὄντα 9.9
and yourself both a-man brave become as you fitting being
Σπαρτιάτην, καὶ ὑμεῖς, ὦ ἄνδρες ξύμμαχοι, ἀκολουθήσατε
a-Spartiate and you O men allies follow
ἀνδρείως, καὶ νομίσατε τρία εἶναι τοῦ καλῶς πολεμεῖν τὸ
bravely and consider three to-be of-the well to-make-war the
ἐθέλειν καὶ τὸ αἰσχύνεσθαι καὶ τὸ τοῖς ἄρχουσι πείθεσθαι,
to-be-willing and the to-be-ashamed and the the commanders to-obey
καὶ τῇδε ὑμῖν τῇ ἡμέρᾳ ἢ ἀγαθοῖς γενομένοις ἐλευθερίαν
and on-this for-you the day either brave having-become freedom
τε ὑπάρχειν καὶ Λακεδαιμονίων ξυμμάχοις κεκλῆσθαι, ἢ
both to-belong and of-Lacedaemonians allies to-be-called or
Ἀθηναίων τε δούλοις, ἢν τὰ ἄριστα ἄνευ ἀνδραποδισμοῦ
of-Athenians both slaves if the best without enslavement
ἢ θανατώσεως πράξητε, καὶ δουλείαν χαλεπωτέραν ἢ
or death you-fare and slavery harsher than
πρὶν εἴχετε, τοῖς δὲ λοιποῖς Ἕλλησι κωλυταῖς γενέσθαι
before you-had for-the and other Greeks hinderers to-become
ἐλευθερώσεως.
of-liberation
ἀλλὰ μήτε ὑμεῖς μαλακισθῆτε, ὁρῶντες περὶ ὅσων ὁ 9.10
but neither you be-faint-hearted seeing about how-much the
ἀγών ἐστιν, ἐγώ τε δείξω οὐ παραινέσαι οἷός τε ὢν
contest is I both will-show not to-exhort able — being
μᾶλλον τοῖς πέλας ἢ καὶ αὐτὸς ἔργῳ ἐπεξελθεῖν.'
rather the neighbors than also myself in-deed to-carry-out

10.1 ὁ μὲν Βρασίδας τοσαῦτα εἰπὼν τήν τε ἔξοδον
— *indeed Brasidas so-much having-said the both sally*
παρεσκευάζετο αὐτὸς καὶ τοὺς ἄλλους μετὰ τοῦ Κλεαρίδα
prepared himself and the others with — Clearidas
καθίστη ἐπὶ τὰς Θρᾳκίας καλουμένας τῶν πυλῶν, ὅπως
posted at the Thracian called of-the gates so-that
ὥσπερ εἴρητο ἐπεξίοιεν.
as had-been-said they-might-sally

10.2 τῷ δὲ Κλέωνι, φανεροῦ γενομένου αὐτοῦ ἀπὸ τοῦ
— *and to-Cleon visible having-become he from —*
Κερδυλίου καταβάντος καὶ ἐν τῇ πόλει ἐπιφανεῖ οὔσῃ
Cerdylium having-come-down and in the city conspicuous being
ἔξωθεν περὶ τὸ ἱερὸν τῆς Ἀθηνᾶς θυομένου καὶ ταῦτα
from-outside about the temple — of-Athena sacrificing and these-things
πράσσοντος, ἀγγέλλεται (προυκεχωρήκει γὰρ τότε κατὰ
doing it-is-reported he-had-gone-forward for then for
τὴν θέαν) ὅτι ἥ τε στρατιὰ ἅπασα φανερὰ τῶν πολεμίων
the viewing that the both army whole visible of-the enemy
ἐν τῇ πόλει καὶ ὑπὸ τὰς πύλας ἵππων τε πόδες πολλοὶ
in the city and under the gates of-horses both feet many
καὶ ἀνθρώπων ὡς ἐξιόντων ὑποφαίνονται.
and of-men as going-out show-beneath

10.3 ὁ δὲ ἀκούσας ἐπῆλθεν· καὶ ὡς εἶδεν, οὐ βουλόμενος μάχῃ
he and having-heard came-up and when he-saw not wishing in-battle
διαγωνίσασθαι πρίν οἱ καὶ τοὺς βοηθοὺς ἥκειν καὶ
to-fight-it-out before for-him also the reinforcements to-come and
οἰόμενος φθήσεσθαι ἀπελθών, σημαίνειν τε ἅμα ἐκέλευεν
thinking to-get-away-first having-gone-off to-signal both at-once he-ordered
ἀναχώρησιν καὶ παρήγγειλε τοῖς ἀπιοῦσιν ἐπὶ τὸ εὐώνυμον
retreat and passed-orders to-those withdrawing to the left
κέρας, ὥσπερ μόνον οἷόν τ' ἦν, ὑπάγειν ἐπὶ τῆς Ἠιόνος.
wing as alone possible — it-was to-withdraw toward — Eion

ὡς δ᾽ αὐτῷ ἐδόκει σχολὴ γίγνεσθαι, αὐτὸς ἐπιστρέψας 10.4
when and to-him it-seemed time to-be himself having-wheeled
τὸ δεξιὸν καὶ τὰ γυμνὰ πρὸς τοὺς πολεμίους δοὺς
the right and the unprotected-side toward the enemy giving
ἀπῆγε τὴν στρατιάν.
he-led-away the army
κἀν τούτῳ Βρασίδας ὡς ὁρᾷ τὸν καιρὸν καὶ τὸ 10.5
and-in this Brasidas when he-sees the moment and the
στράτευμα τῶν Ἀθηναίων κινούμενον, λέγει τοῖς μεθ᾽
army of-the Athenians moving says to-those with
ἑαυτοῦ καὶ τοῖς ἄλλοις ὅτι ‘οἱ ἄνδρες ἡμᾶς οὐ μενοῦσιν.
himself and to-the others that the men us not will-await
δῆλοι δὲ τῶν τε δοράτων τῇ κινήσει καὶ τῶν κεφαλῶν·
plain and from-the both spears the moving and of-the heads
οἷς γὰρ ἂν τοῦτο γίγνηται, οὐκ εἰώθασι μένειν τοὺς
in-whom for — this happens not they-are-wont to-await the
ἐπιόντας. ἀλλὰ τάς τε πύλας τις ἀνοιγέτω ἐμοὶ ἃς
attackers but the both gates someone let-open for-me which
εἴρηται, καὶ ἐπεξίωμεν ὡς τάχιστα θαρσοῦντες.’
have-been-told and let-us-sally-out as quickly-as-possible with-confidence
καὶ ὁ μὲν κατὰ τὰς ἐπὶ τὸ σταύρωμα πύλας καὶ τὰς 10.6
and he indeed by the toward the palisade gates and the
πρώτας τοῦ μακροῦ τείχους τότε ὄντος ἐξελθὼν ἔθει
first of-the long wall then being having-gone-out ran
δρόμῳ τὴν ὁδὸν ταύτην εὐθεῖαν, ᾗπερ νῦν κατὰ τὸ
at-a-run the road this straight where-indeed now by the
καρτερώτατον τοῦ χωρίου ἰόντι τροπαῖον ἕστηκε, καὶ
steepest-part of-the place to-one-going a-trophy stands and
προσβαλὼν τοῖς Ἀθηναίοις πεφοβημένοις τε ἅμα τῇ
having-attacked the Athenians alarmed both at-once at-the

σφετέρᾳ ἀταξίᾳ καὶ τὴν τόλμαν αὐτοῦ ἐκπεπληγμένοις
their-own disorder and the daring his dismayed
κατὰ μέσον τὸ στράτευμα τρέπει.
by the-middle the army routs

10.7 καὶ ὁ Κλεαρίδας, ὥσπερ εἴρητο, ἅμα κατὰ τὰς Θρᾳκίας
and — Clearidas as had-been-said at-once by the Thracian
πύλας ἐπεξελθὼν τῷ στρατῷ ἐπεφέρετο. ξυνέβη τε
gates having-sallied with-the army bore-down it-happened and
τῷ ἀδοκήτῳ καὶ ἐξαπίνης ἀμφοτέρωθεν τοὺς Ἀθηναίους
by-the unexpected and suddenly from-both-sides the Athenians
θορυβηθῆναι,
to-be-confused

10.8 καὶ τὸ μὲν εὐώνυμον κέρας αὐτῶν τὸ πρὸς τὴν Ἠιόνα,
and the indeed left wing of-them the toward — Eion
ὅπερ δὴ καὶ προυκεχωρήκει, εὐθὺς ἀπορραγὲν ἔφευγεν·
which-very indeed also had-gone-forward at-once having-broken-off fled
καὶ ὁ Βρασίδας ὑποχωροῦντος ἤδη αὐτοῦ ἐπιπαριὼν τῷ
and — Brasidas withdrawing already it passing-along to-the
δεξιῷ τιτρώσκεται, καὶ πεσόντα αὐτὸν οἱ μὲν Ἀθηναῖοι
right is-wounded and having-fallen him the indeed Athenians
οὐκ αἰσθάνονται, οἱ δὲ πλησίον ἄραντες ἀπήνεγκαν.
not perceive those and near having-lifted carried-away

10.9 τὸ δὲ δεξιὸν τῶν Ἀθηναίων ἔμενε μᾶλλον, καὶ ὁ μὲν
the and right of-the Athenians stood-firm more and — indeed
Κλέων, ὡς τὸ πρῶτον οὐ διενοεῖτο μένειν, εὐθὺς φεύγων καὶ
Cleon as the first not intended to-stay at-once fleeing and
καταληφθεὶς ὑπὸ Μυρκινίου πελταστοῦ ἀποθνῄσκει, οἱ δὲ
having-been-caught by a-Myrcinian peltast dies the and
αὐτοῦ ξυστραφέντες ὁπλῖται ἐπὶ τὸν λόφον τόν τε Κλεαρίδαν
his having-rallied hoplites on the hill — both Clearidas
ἠμύνοντο καὶ δὶς ἢ τρὶς προσβαλόντα, καὶ οὐ πρότερον
warded-off and twice or thrice attacking and not before

ἐνέδοσαν πρὶν ἥ τε Μυρκινία καὶ ἡ Χαλκιδικὴ ἵππος καὶ οἱ
gave-way until the both Myrcinian and the Chalcidian cavalry and the
πελτασταὶ περιστάντες καὶ ἐσακοντίζοντες αὐτοὺς ἔτρεψαν.
peltasts having-surrounded and throwing-javelins-at them routed
οὕτω δὴ τὸ στράτευμα πᾶν ἤδη τῶν Ἀθηναίων φυγὸν 10.10
thus indeed the army all now of-the Athenians having-fled
χαλεπῶς καὶ πολλὰς ὁδοὺς τραπόμενοι κατὰ ὄρη,
with-difficulty and many roads turning over mountains
ὅσοι μὴ διεφθάρησαν ἢ αὐτίκα ἐν χερσὶν ἢ ὑπὸ
as-many-as not were-killed either at-once in hand-fighting or by
τῆς Χαλκιδικῆς ἵππου καὶ τῶν πελταστῶν, οἱ λοιποὶ
the Chalcidian cavalry and the peltasts the rest
ἀπεκομίσθησαν ἐς τὴν Ἠιόνα.
were-brought-safe to — Eion
οἱ δὲ τὸν Βρασίδαν ἄραντες ἐκ τῆς μάχης καὶ διασώσαντες 10.11
they and — Brasidas having-lifted from the battle and having-saved
ἐς τὴν πόλιν ἔτι ἔμπνουν ἐσεκόμισαν· καὶ ᾔσθετο μὲν ὅτι
into the city still breathing carried-in and he-perceived indeed that
νικῶσιν οἱ μεθ' αὑτοῦ, οὐ πολὺ δὲ διαλιπὼν ἐτελεύτησεν.
are-winning those with himself not long and having-waited he-died
καὶ ἡ ἄλλη στρατιὰ ἀναχωρήσασα μετὰ τοῦ Κλεαρίδου 10.12
and the other army having-returned with — Clearidas
ἐκ τῆς διώξεως νεκρούς τε ἐσκύλευσε καὶ τροπαῖον
from the pursuit dead both stripped and a-trophy
ἔστησεν.
set-up
μετὰ δὲ ταῦτα τὸν Βρασίδαν οἱ ξύμμαχοι πάντες ξὺν 11.1
after and these-things — Brasidas the allies all with
ὅπλοις ἐπισπόμενοι δημοσίᾳ ἔθαψαν ἐν τῇ πόλει πρὸ
arms following publicly buried in the city in-front-of
τῆς νῦν ἀγορᾶς οὔσης· καὶ τὸ λοιπὸν οἱ Ἀμφιπολῖται,
the present market being and the future the Amphipolitans

περιείρξαντες αὐτοῦ τὸ μνημεῖον, ὡς ἥρωί τε ἐντέμνουσι
having-fenced-round his the monument as to-a-hero both offer-sacrifice
καὶ τιμὰς δεδώκασιν ἀγῶνας καὶ ἐτησίους θυσίας, καὶ
and honors have-given contests and annual sacrifices and
τὴν ἀποικίαν ὡς οἰκιστῇ προσέθεσαν, καταβαλόντες τὰ
the colony as to-founder assigned having-pulled-down the
Ἁγνώνεια οἰκοδομήματα καὶ ἀφανίσαντες εἴ τι μνημόσυνόν
Hagnonian buildings and having-obliterated if any memorial
που ἔμελλεν αὐτοῦ τῆς οἰκίσεως περιέσεσθαι, νομίσαντες
somewhere was-likely of-his of-the founding to-survive thinking
τὸν μὲν Βρασίδαν σωτῆρά τε σφῶν γεγενῆσθαι καὶ ἐν
— indeed Brasidas savior both of-them to-have-been and in
τῷ παρόντι ἅμα τὴν τῶν Λακεδαιμονίων ξυμμαχίαν
the present at-the-same-time the of-the Lacedaemonians alliance
φόβῳ τῶν Ἀθηναίων θεραπεύοντες, τὸν δὲ Ἅγνωνα
from-fear of-the Athenians courting — and Hagnon
κατὰ τὸ πολέμιον τῶν Ἀθηναίων οὐκ ἂν ὁμοίως σφίσι
by the hostility of-the Athenians not — alike to-them
ξυμφόρως οὐδ' ἂν ἡδέως τὰς τιμὰς ἔχειν.
advantageously nor — pleasantly the honors to-hold

11.2 καὶ τοὺς νεκροὺς τοῖς Ἀθηναίοις ἀπέδοσαν. ἀπέθανον δὲ
and the dead to-the Athenians they-gave-back died and
Ἀθηναίων μὲν περὶ ἑξακοσίους, τῶν δ' ἐναντίων ἑπτά,
of-Athenians indeed about six-hundred of-the and enemy seven
διὰ τὸ μὴ ἐκ παρατάξεως, ἀπὸ δὲ τοιαύτης ξυντυχίας
because-of the not from battle-order from but such accident
καὶ προεκφοβήσεως τὴν μάχην μᾶλλον γενέσθαι.
and preliminary-panic the battle rather to-have-happened

μετὰ δὲ τὴν ἀναίρεσιν οἱ μὲν ἐπ᾽ οἴκου ἀπέπλευσαν, 11.3
after and the taking-up-of-the-dead the indeed to home sailed-off
οἱ δὲ μετὰ τοῦ Κλεαρίδου τὰ περὶ τὴν Ἀμφίπολιν
the-others and with — Clearidas the-things about — Amphipolis
καθίσταντο.
settled
καὶ ὑπὸ τοὺς αὐτοὺς χρόνους τοῦ θέρους τελευτῶντος 12.1
and about the same times of-the summer ending
Ῥαμφίας καὶ Αὐτοχαρίδας καὶ Ἐπικυδίδας Λακεδαιμόνιοι
Rhamphias and Autocharidas and Epicydidas Lacedaemonians
ἐς τὰ ἐπὶ Θρᾴκης χωρία βοήθειαν ἦγον ἐνακοσίων
to the in Thrace places a-reinforcement led of-nine-hundred
ὁπλιτῶν, καὶ ἀφικόμενοι ἐς Ἡράκλειαν τὴν ἐν Τραχῖνι
hoplites and having-arrived at Heraclea the in Trachis
καθίσταντο ὅτι αὐτοῖς ἐδόκει μὴ καλῶς ἔχειν.
settled whatever to-them seemed not well to-be
ἐνδιατριβόντων δὲ αὐτῶν ἔτυχεν ἡ μάχη αὕτη γενομένη, 12.2
lingering and they happened the battle this having-taken-place
καὶ τὸ θέρος ἐτελεύτα.
and the summer ended
τοῦ δ᾽ ἐπιγιγνομένου χειμῶνος εὐθὺς μέχρι μὲν Πιερίου 13.1
in-the and following winter at-once as-far-as indeed Pierium
τῆς Θεσσαλίας διῆλθον οἱ περὶ τὸν Ῥαμφίαν, κωλυόντων
— of-Thessaly went-through those with — Rhamphias hindering
δὲ τῶν Θεσσαλῶν καὶ ἅμα Βρασίδου τεθνεῶτος,
and the Thessalians and at-the-same-time Brasidas being-dead
ᾧπερ ἦγον τὴν στρατιάν, ἀπετράποντο ἐπ᾽
to-whom-indeed they-were-leading the army turned-back to
οἴκου, νομίσαντες οὐδένα καιρὸν ἔτι εἶναι τῶν τε
home thinking no opportunity any-longer to-be the both

Ἀθηναίων ἥσσῃ ἀπεληλυθότων καὶ οὐκ ἀξιόχρεων αὐτῶν
Athenians in-defeat having-gone-away and not competent they
ὄντων δρᾶν τι ὧν κἀκεῖνος ἐπενόει.
being to-do any-of what also-he planned

13.2 μάλιστα δὲ ἀπῆλθον εἰδότες τοὺς Λακεδαιμονίους, ὅτε
most and they-went-away knowing the Lacedaemonians when
ἐξῆσαν, πρὸς τὴν εἰρήνην μᾶλλον τὴν γνώμην ἔχοντας.
they-came-out to the peace rather the mind having

III · BOTH SIDES WEARY

After Amphipolis neither side attacks. The Athenians have lost confidence after Delium and Amphipolis and fear their allies will revolt. The Spartans have found the war unlike their hopes: their land is raided from Pylos and Cythera, the helots desert, their treaty with Argos is running out, and they want the men from the island back. With Cleon and Brasidas dead, Nicias and Pleistoanax press for peace. Nicias wants to keep his good fortune and his name. Pleistoanax's enemies say he won his return from exile by persuading the priestess at Delphi. The two sides talk through the winter and agree to give back what each took in the war, though Athens keeps Nisaea because Thebes keeps Plataea. Sparta's allies vote for peace, except the Boeotians, Corinthians, Eleans, and Megarians.

14.1 ξυνέβη τε εὐθὺς μετὰ τὴν ἐν Ἀμφιπόλει μάχην καὶ
it-happened and at-once after the at Amphipolis battle and
τὴν Ῥαμφίου ἀναχώρησιν ἐκ Θεσσαλίας ὥστε πολέμου
the of-Rhamphias withdrawal from Thessaly so-that war
μὲν μηδὲν ἔτι ἄψασθαι μηδετέρους, πρὸς δὲ τὴν
indeed in-nothing any-longer to-engage neither-side to but the
εἰρήνην μᾶλλον τὴν γνώμην εἶχον, οἱ μὲν Ἀθηναῖοι
peace rather the mind they-held the indeed Athenians
πληγέντες ἐπί τε τῷ Δηλίῳ καὶ δι' ὀλίγου αὖθις ἐν
having-been-struck at both — Delium and within short-time again at

Ἀμφιπόλει, καὶ οὐκ ἔχοντες τὴν ἐλπίδα τῆς ῥώμης πιστὴν
Amphipolis and not having the hope of-the strength reliable
ἔτι, ᾗπερ οὐ προσεδέχοντο πρότερον τὰς σπονδάς,
any-longer by-which-indeed not they-accepted before the truce
δοκοῦντες τῇ παρούσῃ εὐτυχίᾳ καθυπέρτεροι γενήσεσθαι·
thinking by-the present good-fortune superior to-become
καὶ τοὺς ξυμμάχους ἅμα ἐδέδισαν σφῶν μὴ διὰ 14.2
and the allies at-the-same-time they-feared their lest because-of
τὰ σφάλματα ἐπαιρόμενοι ἐπὶ πλέον ἀποστῶσι, μετεμέλοντό
the reverses being-elated for more they-revolt they-repented
τε ὅτι μετὰ τὰ ἐν Πύλῳ καλῶς παρασχὸν οὐ ξυνέβησαν·
both that after the at Pylos well it-being-possible not they-came-to-terms
οἱ δ' αὖ Λακεδαιμόνιοι παρὰ γνώμην μὲν ἀποβαίνοντος 14.3
the and in-turn Lacedaemonians against expectation indeed turning-out
σφίσι τοῦ πολέμου, ἐν ᾧ ᾤοντο ὀλίγων ἐτῶν καθαιρήσειν
for-them the war in which they-thought within-few years to-destroy
τὴν τῶν Ἀθηναίων δύναμιν, εἰ τὴν γῆν τέμνοιεν, περιπεσόντες
the of-the Athenians power if the land they-ravaged having-fallen-into
δὲ τῇ ἐν τῇ νήσῳ ξυμφορᾷ, οἵα οὔπω ἐγεγένητο τῇ Σπάρτῃ,
and the on the island disaster such-as never had-happened — to-Sparta
καὶ λῃστευομένης τῆς χώρας ἐκ τῆς Πύλου καὶ Κυθήρων,
and being-plundered the country from — Pylos and Cythera
αὐτομολούντων τε τῶν Εἱλώτων καὶ αἰεὶ προσδοκίας οὔσης
deserting both the Helots and always expectation being
μή τι καὶ οἱ ὑπομένοντες τοῖς ἔξω πίσυνοι πρὸς
lest something also those remaining on-those outside relying in-view-of
τὰ παρόντα σφίσιν ὥσπερ καὶ πρότερον νεωτερίσωσιν.
the present for-them as also before should-revolt
ξυνέβαινε δὲ καὶ πρὸς τοὺς Ἀργείους αὐτοῖς τὰς 14.4
it-happened and also with the Argives for-them the
τριακοντούτεις σπονδὰς ἐπ' ἐξόδῳ εἶναι, καὶ ἄλλας οὐκ
thirty-years treaty on expiring to-be and other not

ἤθελον σπένδεσθαι οἱ Ἀργεῖοι εἰ μή τις αὐτοῖς τὴν
were-willing to-make-treaty the Argives if not anyone to-them the
Κυνουρίαν γῆν ἀποδώσει, ὥστ᾽ ἀδύνατα εἶναι ἐφαίνετο
Cynurian land will-give-back so-that impossible to-be it-appeared
Ἀργείοις καὶ Ἀθηναίοις ἅμα πολεμεῖν. τῶν τε ἐν
with-Argives and Athenians at-once to-war of-the both in
Πελοποννήσῳ πόλεων ὑπώπτευόν τινας ἀποστήσεσθαι
Peloponnese cities they-suspected some to-revolt
πρὸς τοὺς Ἀργείους· ὅπερ καὶ ἐγένετο.
to the Argives which-very also happened

15.1 ταῦτ᾽ οὖν ἀμφοτέροις αὐτοῖς λογιζομένοις ἐδόκει ποιητέα
these-things then to-both them reckoning it-seemed to-be-made
εἶναι ἡ ξύμβασις, καὶ οὐχ ἧσσον τοῖς Λακεδαιμονίοις,
to-be the agreement and not less for-the Lacedaemonians
ἐπιθυμίᾳ τῶν ἀνδρῶν τῶν ἐκ τῆς νήσου κομίσασθαι·
from-desire of-the men those from the island to-recover
ἦσαν γὰρ οἱ Σπαρτιᾶται αὐτῶν πρῶτοί τε καὶ †ὁμοίως†
were for the Spartiates of-them first both and alike
σφίσι ξυγγενεῖς.
to-them kin

15.2 ἤρξαντο μὲν οὖν καὶ εὐθὺς μετὰ τὴν ἅλωσιν αὐτῶν
they-began indeed then also at-once after the capture of-them
πράσσειν, ἀλλ᾽ οἱ Ἀθηναῖοι οὔπως ἤθελον, εὖ φερόμενοι,
to-negotiate but the Athenians by-no-means were-willing well faring
ἐπὶ τῇ ἴσῃ καταλύεσθαι. σφαλέντων δὲ αὐτῶν ἐπὶ τῷ
on the equal-terms to-settle having-failed but they at —
Δηλίῳ παραχρῆμα οἱ Λακεδαιμόνιοι, γνόντες νῦν μᾶλλον
Delium at-once the Lacedaemonians knowing now rather
ἂν ἐνδεξαμένους, ποιοῦνται τὴν ἐνιαύσιον ἐκεχειρίαν, ἐν ᾗ
— would-accept make the year-long armistice in which
ἔδει ξυνιόντας καὶ περὶ τοῦ πλέονος χρόνου βουλεύεσθαι.
they-had having-met also about the longer time to-deliberate

ἐπειδὴ δὲ καὶ ἡ ἐν Ἀμφιπόλει ἥσσα τοῖς Ἀθηναίοις 16.1
when and also the at Amphipolis defeat for-the Athenians
ἐγεγένητο καὶ ἐτεθνήκει Κλέων τε καὶ Βρασίδας, οἵπερ
had-happened and had-died Cleon both and Brasidas who-indeed
ἀμφοτέρωθεν μάλιστα ἠναντιοῦντο τῇ εἰρήνῃ, ὁ μὲν
on-both-sides most opposed the peace the-one indeed
διὰ τὸ εὐτυχεῖν τε καὶ τιμᾶσθαι ἐκ τοῦ πολεμεῖν, ὁ
because-of the to-succeed both and to-be-honored from the to-war the-other
δὲ γενομένης ἡσυχίας καταφανέστερος νομίζων ἂν εἶναι
and having-come quiet more-detected thinking — to-be
κακουργῶν καὶ ἀπιστότερος διαβάλλων, τότε δὴ ἑκατέρᾳ
doing-wrong and less-credible slandering then indeed in-each
τῇ πόλει σπεύδοντες τὰ μάλιστα τὴν ἡγεμονίαν Πλειστοάναξ
the city pressing the most the leadership Pleistoanax
τε ὁ Παυσανίου βασιλεὺς Λακεδαιμονίων καὶ Νικίας ὁ
both the son-of-Pausanias king of-Lacedaemonians and Nicias the
Νικηράτου, πλεῖστα τῶν τότε εὖ φερόμενος ἐν στρατηγίαις,
son-of-Niceratus most of-those then well faring in commands
πολλῷ δὴ μᾶλλον προυθυμοῦντο, Νικίας μὲν βουλόμενος,
much indeed more were-eager Nicias indeed wishing
ἐν ᾧ ἀπαθὴς ἦν καὶ ἠξιοῦτο, διασώσασθαι τὴν εὐτυχίαν,
in which unscathed was and was-esteemed to-preserve the good-fortune
καὶ ἔς τε τὸ αὐτίκα πόνων πεπαῦσθαι καὶ αὐτὸς καὶ τοὺς
and for both the immediate from-toils to-have-rested and himself and the
πολίτας παῦσαι καὶ τῷ μέλλοντι χρόνῳ καταλιπεῖν ὄνομα
citizens to-give-rest and to-the future time to-leave a-name
ὡς οὐδὲν σφήλας τὴν πόλιν διεγένετο, νομίζων ἐκ
that in-nothing having-failed the city he-passed-through thinking from
τοῦ ἀκινδύνου τοῦτο ξυμβαίνειν καὶ ὅστις ἐλάχιστα τύχῃ
the riskless this to-come-about and whoever least to-fortune
αὑτὸν παραδίδωσι, τὸ δὲ ἀκίνδυνον τὴν εἰρήνην παρέχειν,
himself entrusts the and riskless the peace to-provide

Πλειστοάναξ δὲ ὑπὸ τῶν ἐχθρῶν διαβαλλόμενος περὶ
Pleistoanax and by the enemies being-slandered about
τῆς καθόδου, καὶ ἐς ἐνθυμίαν τοῖς Λακεδαιμονίοις αἰεὶ
the return and into scruple to-the Lacedaemonians always
προβαλλόμενος ὑπ᾽ αὐτῶν, ὁπότε τι πταίσειαν, ὡς διὰ
being-held-up by them whenever anything they-should-fail as because-of
τὴν ἐκείνου κάθοδον παρανομηθεῖσαν ταῦτα ξυμβαίνοι.
the his return unlawful these-things happened
16.2 τὴν γὰρ πρόμαντιν τὴν ἐν Δελφοῖς ἐπηϊτιῶντο αὐτὸν
the for prophetess the at Delphi they-accused him
πεῖσαι μετ᾽ Ἀριστοκλέους τοῦ ἀδελφοῦ ὥστε χρῆσαι
to-have-persuaded with Aristocles the brother so-as to-prophesy
Λακεδαιμονίοις ἐπὶ πολὺ τάδε θεωροῖς ἀφικνουμένοις,
to-Lacedaemonians for long these-things to-envoys arriving
Διὸς υἱοῦ ἡμιθέου τὸ σπέρμα ἐκ τῆς ἀλλοτρίας ἐς τὴν
of-Zeus of-son of-demigod the seed from the foreign-land to the
ἑαυτῶν ἀναφέρειν, εἰ δὲ μή, ἀργυρέᾳ εὐλάκᾳ εὐλαξεῖν·
their-own to-bring-back if but not with-silver plowshare to-plow
16.3 χρόνῳ δὲ προτρέψαι τοὺς Λακεδαιμονίους φεύγοντα αὐτὸν
in-time and to-have-urged the Lacedaemonians being-exiled him
ἐς Λύκαιον διὰ τὴν ἐκ τῆς Ἀττικῆς ποτὲ μετὰ δώρων
at Lycaeum because-of the from — Attica once with bribes
δοκήσεως ἀναχώρησιν, καὶ ἥμισυ τῆς οἰκίας τοῦ ἱεροῦ
suspected withdrawal and half the house of-the sanctuary
τότε τοῦ Διὸς οἰκοῦντα φόβῳ τῷ Λακεδαιμονίων, ἔτει
then — of-Zeus inhabiting from-fear of-the Lacedaemonians in-year
ἑνὸς δέοντι εἰκοστῷ τοῖς ὁμοίοις χοροῖς καὶ θυσίαις
one lacking twentieth with-the same dances and sacrifices
καταγαγεῖν ὥσπερ ὅτε τὸ πρῶτον Λακεδαίμονα κτίζοντες
to-bring-back as when the first Lacedaemon founding
τοὺς βασιλέας καθίσταντο.
the kings they-installed

ἀχθόμενος οὖν τῇ διαβολῇ ταύτῃ καὶ νομίζων ἐν εἰρήνῃ 17.1
vexed then by-the slander this and thinking in peace
μὲν οὐδενὸς σφάλματος γιγνομένου καὶ ἅμα τῶν
indeed no reverse happening and at-the-same-time the
Λακεδαιμονίων τοὺς ἄνδρας κομιζομένων κἂν αὐτὸς
Lacedaemonians the men recovering and-also himself
τοῖς ἐχθροῖς ἀνεπίληπτος εἶναι, πολέμου δὲ καθεστῶτος
to-the enemies unassailable to-be of-war but established
αἰεὶ ἀνάγκην εἶναι τοὺς προύχοντας ἀπὸ τῶν ξυμφορῶν
always necessity to-be the leading-men from the misfortunes
διαβάλλεσθαι, προυθυμήθη τὴν ξύμβασιν.
to-be-slandered was-eager-for the agreement
καὶ τόν τε χειμῶνα τοῦτον ᾖσαν ἐς λόγους καὶ 17.2
and the both winter this they-went into talks and
πρὸς τὸ ἔαρ ἤδη παρασκευή τε προεπανεσείσθη ἀπὸ
toward the spring already preparation both was-brandished-in-advance by
τῶν Λακεδαιμονίων περιαγγελλομένη κατὰ πόλεις ὡς ἐς
the Lacedaemonians being-sent-round by cities as for
ἐπιτειχισμόν, ὅπως οἱ Ἀθηναῖοι μᾶλλον ἐσακούοιεν, καὶ
fortification so-that the Athenians more might-listen and
ἐπειδὴ ἐκ τῶν ξυνόδων ἅμα πολλὰς δικαιώσεις
when from the meetings at-the-same-time many claims
προενεγκόντων ἀλλήλοις ξυνεχωρεῖτο ὥστε ἃ ἑκάτεροι
having-put-forward to-one-another it-was-conceded so-that what each
πολέμῳ ἔσχον ἀποδόντας τὴν εἰρήνην ποιεῖσθαι, Νίσαιαν δ'
by-war held giving-back the peace to-make Nisaea but
ἔχειν Ἀθηναίους (ἀνταπαιτούντων γὰρ Πλάταιαν οἱ Θηβαῖοι
to-hold Athenians demanding-back for Plataea the Thebans
ἔφασαν οὐ βίᾳ, ἀλλ' ὁμολογίᾳ αὐτῶν προσχωρησάντων καὶ
said not by-force but by-agreement them having-come-over and
οὐ προδόντων ἔχειν τὸ χωρίον, καὶ οἱ Ἀθηναῖοι τῷ αὐτῷ
not having-betrayed to-hold the place and the Athenians in-the same

τρόπῳ τὴν Νίσαιαν), τότε δὴ παρακαλέσαντες τοὺς ἑαυτῶν
way — Nisaea then indeed having-called the their-own
ξυμμάχους οἱ Λακεδαιμόνιοι, καὶ ψηφισαμένων πλὴν Βοιωτῶν
allies the Lacedaemonians and having-voted except Boeotians
καὶ Κορινθίων καὶ Ἠλείων καὶ Μεγαρέων τῶν ἄλλων
and Corinthians and Eleans and Megarians the others
ὥστε καταλύεσθαι (τούτοις δὲ οὐκ ἤρεσκε τὰ πρασσόμενα),
so-as to-settle to-these but not pleased the things-done
ποιοῦνται τὴν ξύμβασιν καὶ ἐσπείσαντο πρὸς τοὺς Ἀθηναίους
make the agreement and made-treaty with the Athenians
καὶ ὤμοσαν, ἐκεῖνοί τε πρὸς τοὺς Λακεδαιμονίους, τάδε.
and swore those both to the Lacedaemonians as-follows

IV · THE PEACE OF NICIAS

The terms are recorded. Anyone may visit the common shrines, and Delphi is independent. There is to be peace for fifty years between Athens, Sparta, and their allies. The Spartans give back Amphipolis, and the cities of Thrace stay autonomous while paying the tribute assessed under Aristides. Each side returns its prisoners and its captured places. The peace falls ten years after the war began, as Thucydides shows by counting summers and winters. Clearidas will not hand over Amphipolis, and the allies who rejected the treaty still refuse it. Sparta, expecting Argos to be harmless without Athens, makes an alliance with Athens, and Athens releases the men from the island.

18.1 Σπονδὰς ἐποιήσαντο Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι καὶ οἱ
a-treaty made Athenians and Lacedaemonians and the
ξύμμαχοι κατὰ τάδε, καὶ ὤμοσαν κατὰ πόλεις.
allies on these-terms and swore by cities
18.2 περὶ μὲν τῶν ἱερῶν τῶν κοινῶν, θύειν καὶ ἰέναι
about indeed the sanctuaries the common to-sacrifice and to-go
καὶ μαντεύεσθαι καὶ θεωρεῖν κατὰ τὰ πάτρια τὸν
and to-consult-oracles and to-attend according-to the ancestral-ways the

βουλόμενον καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν ἀδεῶς. τὸ
willing both by land and by sea without-fear the
δ' ἱερὸν καὶ τὸν νεὼν τὸν ἐν Δελφοῖς τοῦ Ἀπόλλωνος καὶ
and sanctuary and the temple the at Delphi — of-Apollo and
Δελφοὺς αὐτονόμους εἶναι καὶ αὐτοτελεῖς καὶ αὐτοδίκους
Delphians independent to-be and self-taxing and self-judging
καὶ αὑτῶν καὶ τῆς γῆς τῆς ἑαυτῶν κατὰ τὰ πάτρια.
both of-themselves and of-the land the their-own according-to the ancestral-ways
ἔτη δὲ εἶναι τὰς σπονδὰς πεντήκοντα Ἀθηναίοις καὶ τοῖς 18.3
years and to-be the treaty fifty for-Athenians and the
ξυμμάχοις τοῖς Ἀθηναίων καὶ Λακεδαιμονίοις καὶ τοῖς
allies the of-Athenians and for-Lacedaemonians and the
ξυμμάχοις τοῖς Λακεδαιμονίων ἀδόλους καὶ ἀβλαβεῖς καὶ
allies the of-Lacedaemonians without-fraud and without-harm both
κατὰ γῆν καὶ κατὰ θάλασσαν.
by land and by sea
ὅπλα δὲ μὴ ἐξέστω ἐπιφέρειν ἐπὶ πημονῇ μήτε 18.4
arms and not let-it-be-permitted to-bear for harm neither
Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους ἐπ' Ἀθηναίους καὶ
Lacedaemonians and the allies against Athenians and
τοὺς ξυμμάχους μήτε Ἀθηναίους καὶ τοὺς ξυμμάχους ἐπὶ
the allies nor Athenians and the allies against
Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους, μήτε τέχνῃ μήτε
Lacedaemonians and the allies neither by-craft nor
μηχανῇ μηδεμιᾷ. ἢν δέ τι διάφορον ᾖ πρὸς ἀλλήλους,
device any if and any dispute be with one-another
δικαίῳ χρήσθων καὶ ὅρκοις, καθ' ὅτι ἂν ξυνθῶνται.
by-law let-them-use and oaths by what — they-agree
ἀποδόντων δὲ Ἀθηναίοις Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι 18.5
let-give-back and to-Athenians Lacedaemonians and the allies
Ἀμφίπολιν. ὅσας δὲ πόλεις παρέδοσαν Λακεδαιμόνιοι
Amphipolis as-many and cities handed-over Lacedaemonians

Ἀθηναίοις, ἐξέστω ἀπιέναι ὅποι ἂν βούλωνται αὐτοὺς
to-Athenians let-it-be-permitted to-depart wherever — they-wish them
καὶ τὰ ἑαυτῶν ἔχοντας· τὰς δὲ πόλεις φερούσας τὸν
and the their-own having the and cities paying the
φόρον τὸν ἐπ᾽ Ἀριστείδου αὐτονόμους εἶναι. ὅπλα δὲ
tribute the under Aristides independent to-be arms and
μὴ ἐξέστω ἐπιφέρειν Ἀθηναίους μηδὲ τοὺς ξυμμάχους
not let-it-be-permitted to-bear Athenians nor the allies
ἐπὶ κακῷ, ἀποδιδόντων τὸν φόρον, ἐπειδὴ αἱ σπονδαὶ
for harm paying the tribute since the treaty
ἐγένοντο. εἰσὶ δὲ Ἄργιλος, Στάγιρος, Ἄκανθος, Σκῶλος,
was-made are and Argilus Stagirus Acanthus Scolus
Ὄλυνθος, Σπάρτωλος. ξυμμάχους δ᾽ εἶναι μηδετέρων, μήτε
Olynthus Spartolus allies and to-be of-neither neither
Λακεδαιμονίων μήτε Ἀθηναίων· ἢν δὲ Ἀθηναῖοι πείθωσι
of-Lacedaemonians nor of-Athenians if but Athenians persuade
τὰς πόλεις, βουλομένας ταύτας ἐξέστω ξυμμάχους
the cities willing these let-it-be-permitted allies
ποιεῖσθαι αὐτοὺς Ἀθηναίοις.
to-make them for-Athenians

18.6 Μηκυβερναίους δὲ καὶ Σαναίους καὶ Σιγγαίους οἰκεῖν τὰς
Mecybernaeans and and Sanaeans and Singaeans to-inhabit the
πόλεις τὰς ἑαυτῶν, καθάπερ Ὀλύνθιοι καὶ Ἀκάνθιοι.
cities the their-own just-as Olynthians and Acanthians

18.7 ἀποδόντων δὲ Ἀθηναίοις Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι
let-give-back and to-Athenians Lacedaemonians and the allies
Πάνακτον. ἀποδόντων δὲ καὶ Ἀθηναῖοι Λακεδαιμονίοις
Panactum let-give-back and also Athenians to-Lacedaemonians
Κορυφάσιον καὶ Κύθηρα καὶ Μέθανα καὶ Πτελεὸν καὶ
Coryphasium and Cythera and Methana and Pteleum and
Ἀταλάντην καὶ τοὺς ἄνδρας ὅσοι εἰσὶ Λακεδαιμονίων
Atalante and the men as-many-as are of-Lacedaemonians

ἐν τῷ δημοσίῳ τῷ Ἀθηναίων ἢ ἄλλοθί που ὅσης
in the public-prison the of-Athenians or elsewhere somewhere as-much-as
Ἀθηναῖοι ἄρχουσιν ἐν δημοσίῳ· καὶ τοὺς ἐν Σκιώνῃ
Athenians rule in public-prison and those in Scione
πολιορκουμένους Πελοποννησίων ἀφεῖναι καὶ τοὺς ἄλλους
besieged of-Peloponnesians to-release and the others
ὅσοι Λακεδαιμονίων ξύμμαχοι ἐν Σκιώνῃ εἰσὶ καὶ
as-many-as of-Lacedaemonians allies in Scione are and
ὅσους Βρασίδας ἐσέπεμψε καὶ εἴ τις τῶν ξυμμάχων τῶν
as-many-as Brasidas sent-in and if any of-the allies of-the
Λακεδαιμονίων ἐν Ἀθήναις ἐστὶν ἐν τῷ δημοσίῳ ἢ ἄλλοθί
Lacedaemonians in Athens is in the public-prison or elsewhere
που ἧς Ἀθηναῖοι ἄρχουσιν ἐν δημοσίῳ. ἀποδόντων
somewhere of-what Athenians rule in public-prison let-give-back
δὲ καὶ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι οὕστινας ἔχουσιν
and also Lacedaemonians and the allies whomever they-have
Ἀθηναίων καὶ τῶν ξυμμάχων κατὰ ταὐτά.
of-Athenians and of-the allies on the-same-terms
Σκιωναίων δὲ καὶ Τορωναίων καὶ Σερμυλιῶν καὶ εἴ τινα 18.8
of-Scionaeans and and of-Toronaeans and of-Sermylians and if any
ἄλλην πόλιν ἔχουσιν Ἀθηναῖοι, Ἀθηναίους βουλεύεσθαι περὶ
other city hold Athenians Athenians to-decide about
αὐτῶν καὶ τῶν ἄλλων πόλεων ὅτι ἂν δοκῇ αὐτοῖς.
them and the other cities whatever — seems-good to-them
ὅρκους δὲ ποιήσασθαι Ἀθηναίους πρὸς Λακεδαιμονίους καὶ 18.9
oaths and to-make Athenians with Lacedaemonians and
τοὺς ξυμμάχους κατὰ πόλεις. ὀμνύντων δὲ τὸν ἐπιχώριον
the allies by cities let-swear and the local
ὅρκον ἑκάτεροι τὸν μέγιστον ἑπτὰ καὶ δέκα ἑκάστης
oath each-side the greatest seven and ten of-each
πόλεως. ὁ δ' ὅρκος ἔστω ὅδε· "ἐμμενῶ ταῖς ξυνθήκαις
city the and oath let-be this I-will-abide-by the agreements

καὶ ταῖς σπονδαῖς ταῖσδε δικαίως καὶ ἀδόλως." ἔστω
and the treaty this justly and without-fraud let-there-be
δὲ Λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις κατὰ ταὐτὰ
and for-Lacedaemonians and the allies on the-same-terms
ὅρκος πρὸς Ἀθηναίους,
an-oath to Athenians
18.10 τὸν δὲ ὅρκον ἀνανεοῦσθαι κατ' ἐνιαυτὸν ἀμφοτέρους.
the and oath to-be-renewed by year both
στήλας δὲ στῆσαι Ὀλυμπίασι καὶ Πυθοῖ καὶ Ἰσθμοῖ καὶ
pillars and to-set-up at-Olympia and at-Pytho and at-the-Isthmus and
Ἀθήνησιν ἐν πόλει καὶ ἐν Λακεδαίμονι ἐν Ἀμυκλαίῳ.
at-Athens on the-acropolis and in Lacedaemon in the-Amyclaeum
18.11 εἰ δέ τι ἀμνημονοῦσιν ὁποτεροιοῦν καὶ ὅτου πέρι,
if and anything they-forget either-side and whatever about
λόγοις δικαίοις χρωμένοις εὔορκον εἶναι ἀμφοτέροις
words just using in-keeping-with-the-oath to-be for-both
ταύτῃ μεταθεῖναι ὅπῃ ἂν δοκῇ ἀμφοτέροις, Ἀθηναίοις
in-this-way to-change however — seems-good to-both Athenians
καὶ Λακεδαιμονίοις.
and Lacedaemonians
19.1 Ἄρχει δὲ τῶν σπονδῶν ἐν μὲν Λακεδαίμονι ἔφορος
begins and the treaty in indeed Lacedaemon ephor
Πλειστόλας Ἀρτεμισίου μηνὸς τετάρτῃ φθίνοντος, ἐν δὲ
Pleistolas of-Artemisius month on-the-fourth waning in and
Ἀθήναις ἄρχων Ἀλκαῖος Ἐλαφηβολιῶνος μηνὸς ἕκτῃ
Athens archon Alcaeus of-Elaphebolion month on-the-sixth
φθίνοντος. ὤμνυον δὲ οἵδε καὶ ἐσπένδοντο.
waning swore and these and made-the-treaty
19.2 Λακεδαιμονίων μὲν Πλειστοάναξ, Ἄγις, Πλειστόλας,
of-Lacedaemonians indeed Pleistoanax Agis Pleistolas
Δαμάγητος, Χίονις, Μεταγένης, Ἄκανθος, Δάιθος,
Damagetus Chionis Metagenes Acanthus Daithus

Ἰσχαγόρας, Φιλοχαρίδας, Ζευξίδας, Ἄντιππος, Τέλλις,
Ischagoras Philocharidas Zeuxidas Antippus Tellis
Ἀλκινάδας, Ἐμπεδίας, Μηνᾶς, Λάφιλος. Ἀθηναίων δὲ
Alcinadas Empedias Menas Laphilus of-Athenians and
οἵδε. Λάμπων, Ἰσθμιόνικος, Νικίας, Λάχης, Εὐθύδημος,
these Lampon Isthmionicus Nicias Laches Euthydemus
Προκλῆς, Πυθόδωρος, Ἄγνων, Μυρτίλος, Θρασυκλῆς,
Procles Pythodorus Hagnon Myrtilus Thrasycles
Θεαγένης, Ἀριστοκράτης, Ἰώλκιος, Τιμοκράτης, Λέων,
Theagenes Aristocrates Iolcius Timocrates Leon
Λάμαχος, Δημοσθένης.’
Lamachus Demosthenes

αὗται αἱ σπονδαὶ ἐγένοντο τελευτῶντος τοῦ χειμῶνος 20.1
this the treaty was-made ending the winter
ἅμα ἦρι, ἐκ Διονυσίων εὐθὺς τῶν ἀστικῶν, αὐτόδεκα
together-with spring from the-Dionysia at-once the city exactly-ten
ἐτῶν διελθόντων καὶ ἡμερῶν ὀλίγων παρενεγκουσῶν ἢ
years having-passed and days few making-a-difference than
ὡς τὸ πρῶτον ἡ ἐσβολὴ ἡ ἐς τὴν Ἀττικὴν καὶ ἡ
when the first the invasion the into — Attica and the
ἀρχὴ τοῦ πολέμου τοῦδε ἐγένετο.
beginning of-the war this happened

σκοπείτω δέ τις κατὰ τοὺς χρόνους καὶ μὴ τῶν ἑκασταχοῦ 20.2
let-consider and one by the times and not of-the in-each-place
ἢ ἀρχόντων ἢ ἀπὸ τιμῆς τινὸς ἐς τὰ προγεγενημένα
either archons or from office some for the past-events
σημαινόντων τὴν ἀπαρίθμησιν τῶν ὀνομάτων πιστεύσας
marking-the-dates the enumeration of-the names having-trusted
μᾶλλον. οὐ γὰρ ἀκριβές ἐστιν, οἷς καὶ ἀρχομένοις καὶ
rather not for exact is for-whom both beginning and
μεσοῦσι καὶ ὅπως ἔτυχέ τῳ ἐπεγένετό τι.
in-the-middle and however happened to-anyone happened something

20.3 κατὰ θέρη δὲ καὶ χειμῶνας ἀριθμῶν, ὥσπερ γέγραπται,
by summers and and winters counting as it-has-been-written
εὑρήσει, ἐξ ἡμισείας ἑκατέρου τοῦ ἐνιαυτοῦ τὴν δύναμιν
he-will-find from half of-each the year the value
ἔχοντος, δέκα μὲν θέρη, ἴσους δὲ χειμῶνας τῷ πρώτῳ
having ten indeed summers equal and winters to-the first
πολέμῳ τῷδε γεγενημένους.
war this having-taken-place

21.1 Λακεδαιμόνιοι δέ (ἔλαχον γὰρ πρότεροι ἀποδιδόναι ἃ
Lacedaemonians and they-drew-the-lot for first to-give-back what
εἶχον) τούς τε ἄνδρας εὐθὺς τοὺς παρὰ σφίσιν αἰχμαλώτους
they-held the both men at-once those with them prisoners
ἀφίεσαν καὶ πέμψαντες ἐς τὰ ἐπὶ Θρᾴκης πρέσβεις
released and having-sent to the in Thrace envoys
Ἰσχαγόραν καὶ Μηνᾶν καὶ Φιλοχαρίδαν ἐκέλευον τὸν
Ischagoras and Menas and Philocharidas they-ordered —
Κλεαρίδαν τὴν Ἀμφίπολιν παραδιδόναι τοῖς Ἀθηναίοις καὶ
Clearidas — Amphipolis to-hand-over to-the Athenians and
τοὺς ἄλλους τὰς σπονδάς, ὡς εἴρητο ἑκάστοις, δέχεσθαι.
the others the treaty as had-been-stated for-each to-accept

21.2 οἱ δ' οὐκ ἤθελον, νομίζοντες οὐκ ἐπιτηδείας εἶναι· οὐδὲ ὁ
they and not were-willing thinking not acceptable to-be nor —
Κλεαρίδας παρέδωκε τὴν πόλιν, χαριζόμενος τοῖς Χαλκιδεῦσι,
Clearidas handed-over the city gratifying the Chalcidians
λέγων ὡς οὐ δυνατὸς εἴη βίᾳ ἐκείνων παραδιδόναι.
saying that not able he-was by-force of-them to-hand-over

21.3 ἐλθὼν δὲ αὐτὸς κατὰ τάχος μετὰ πρέσβεων αὐτόθεν
having-come and himself in haste with envoys from-there
ἀπολογησόμενός τε ἐς τὴν Λακεδαίμονα, ἢν κατηγορῶσιν
to-defend-himself both to — Lacedaemon if accuse-him
οἱ περὶ τὸν Ἰσχαγόραν ὅτι οὐκ ἐπείθετο, καὶ ἅμα
those about — Ischagoras that not he-obeyed and at-the-same-time

βουλόμενος εἰδέναι εἰ ἔτι μετακινητὴ εἴη ἡ ὁμολογία,
wishing to-know if still alterable was the agreement
ἐπειδὴ ηὗρε κατειλημμένους, αὐτὸς μὲν πάλιν πεμπόντων
when he-found them-committed he indeed back sending
τῶν Λακεδαιμονίων καὶ κελευόντων μάλιστα μὲν καὶ
the Lacedaemonians and ordering preferably indeed also
τὸ χωρίον παραδοῦναι, εἰ δὲ μή, ὁπόσοι Πελοποννησίων
the place to-hand-over if but not as-many-as of-Peloponnesians
ἔνεισιν ἐξαγαγεῖν, κατὰ τάχος ἐπορεύετο.
are-in-it to-bring-out in haste went
οἱ δὲ ξύμμαχοι ἐν τῇ Λακεδαίμονι αὐτοὶ ἔτυχον ὄντες, 22.1
the and allies in — Lacedaemon themselves happened being
καὶ αὐτῶν τοὺς μὴ δεξαμένους τὰς σπονδὰς ἐκέλευον
and of-them those not having-accepted the treaty bade
οἱ Λακεδαιμόνιοι ποιεῖσθαι. οἱ δὲ τῇ αὐτῇ προφάσει
the Lacedaemonians to-make-it they and on-the same pretext
ᾗπερ καὶ τὸ πρῶτον ἀπεώσαντο οὐκ ἔφασαν
by-which-indeed also the first they-had-rejected-it not said
δέξεσθαι, ἢν μή τινας δικαιοτέρας τούτων ποιῶνται.
to-accept-it if not some juster than-these they-make
ὡς δ' αὐτῶν οὐκ ἐσήκουον, ἐκείνους μὲν ἀπέπεμψαν, 22.2
when and to-them not they-listened those indeed they-dismissed
αὐτοὶ δὲ πρὸς τοὺς Ἀθηναίους ξυμμαχίαν ἐποιοῦντο,
themselves and with the Athenians an-alliance made
νομίζοντες ἥκιστα ἂν σφίσι τούς τε Ἀργείους, ἐπειδὴ
thinking least — to-them the both Argives since
οὐκ ἤθελον Ἀμπελίδου καὶ Λίχου ἐλθόντων ἐπισπένδεσθαι
not were-willing Ampelidas and Lichas having-come to-renew-the-treaty
νομίσαντες αὐτοὺς ἄνευ Ἀθηναίων οὐ δεινοὺς εἶναι, καὶ
thinking them without Athenians not dangerous to-be and

τὴν ἄλλην Πελοπόννησον μάλιστ᾽ ἂν ἡσυχάζειν· πρὸς γὰρ
the other Peloponnese most — to-keep-quiet to for
ἂν τοὺς Ἀθηναίους, εἰ ἐξῆν, χωρεῖν.
— the Athenians if it-were-possible to-go-over

22.3 παρόντων οὖν πρέσβεων ἀπὸ τῶν Ἀθηναίων καὶ γενομένων
being-present then envoys from the Athenians and having-happened
λόγων ξυνέβησαν, καὶ ἐγένοντο ὅρκοι καὶ ξυμμαχία ἥδε.
talks they-agreed and were-made oaths and alliance as-follows

23.1 Κατὰ τάδε ξύμμαχοι ἔσονται Λακεδαιμόνιοι καὶ Ἀθηναῖοι
on these-terms allies will-be Lacedaemonians and Athenians
πεντήκοντα ἔτη. ἤν τινες ἴωσιν ἐς τὴν γῆν πολέμιοι τὴν
fifty years if any come into the land enemies the
Λακεδαιμονίων καὶ κακῶς ποιῶσι Λακεδαιμονίους, ὠφελεῖν
of-Lacedaemonians and harm do Lacedaemonians to-help
Ἀθηναίους Λακεδαιμονίους τρόπῳ ὁποίῳ ἂν δύνωνται
Athenians Lacedaemonians in-way whatever — they-can
ἰσχυροτάτῳ κατὰ τὸ δυνατόν· ἢν δὲ δῃώσαντες οἴχωνται,
strongest by the possible if but having-ravaged they-depart
πολεμίαν εἶναι ταύτην τὴν πόλιν Λακεδαιμονίοις καὶ
hostile to-be this the city to-Lacedaemonians and
Ἀθηναίοις καὶ κακῶς πάσχειν ὑπὸ ἀμφοτέρων, καταλύειν
to-Athenians and harm to-suffer by both to-end
δὲ ἅμα ἄμφω τὼ πόλεε. ταῦτα δ᾽ εἶναι δικαίως καὶ
and together both the two-cities these-things and to-be justly and
προθύμως καὶ ἀδόλως.
zealously and without-fraud

23.2 καὶ ἤν τινες ἐς τὴν Ἀθηναίων γῆν ἴωσι πολέμιοι καὶ κακῶς
and if any into the of-Athenians land come enemies and harm
ποιῶσιν Ἀθηναίους, ὠφελεῖν Λακεδαιμονίους Ἀθηναίους
do Athenians to-help Lacedaemonians Athenians
τρόπῳ ὅτῳ ἂν δύνωνται ἰσχυροτάτῳ κατὰ τὸ δυνατόν·
in-way whatever — they-can strongest by the possible

ἢν δὲ δῃώσαντες οἴχωνται, πολεμίαν εἶναι ταύτην τὴν
if but having-ravaged they-depart hostile to-be this the
πόλιν Λακεδαιμονίοις καὶ Ἀθηναίοις καὶ κακῶς πάσχειν
city to-Lacedaemonians and to-Athenians and harm to-suffer
ὑπ᾽ ἀμφοτέρων, καταλύειν δὲ ἅμα ἄμφω τὼ πόλεε.
by both to-end and together both the two-cities
ταῦτα δ᾽ εἶναι δικαίως καὶ προθύμως καὶ ἀδόλως. 23.3
these-things and to-be justly and zealously and without-fraud
ἢν δὲ ἡ δουλεία ἐπανιστῆται, ἐπικουρεῖν Ἀθηναίους
if and the slave-population rises-up to-help Athenians
Λακεδαιμονίοις παντὶ σθένει κατὰ τὸ δυνατόν.
Lacedaemonians with-all strength by the possible
ὀμοῦνται δὲ ταῦτα οἵπερ καὶ τὰς ἄλλας σπονδὰς 23.4
will-swear and these-things those-who-indeed also the other treaty
ὤμνυον ἑκατέρων. ἀνανεοῦσθαι δὲ τὸν ὅρκον κατ᾽ ἐνιαυτὸν
swore of-each-side to-be-renewed and the oath by year
Λακεδαιμονίους μὲν ἰόντας ἐς Ἀθήνας πρὸς τὰ Διονύσια,
Lacedaemonians indeed going to Athens for the Dionysia
Ἀθηναίους δὲ ἰόντας ἐς Λακεδαίμονα πρὸς τὰ Ὑακίνθια.
Athenians and going to Lacedaemon for the Hyacinthia
στήλην δὲ ἑκατέρους στῆσαι, τὴν μὲν ἐν Λακεδαίμονι 23.5
a-pillar and each-side to-set-up the-one indeed in Lacedaemon
παρ᾽ Ἀπόλλωνι ἐν Ἀμυκλαίῳ, τὴν δὲ ἐν Ἀθήναις ἐν
beside Apollo in the-Amyclaeum the-other and in Athens on
πόλει παρ᾽ Ἀθηνᾷ.
the-acropolis beside Athena
ἢν δέ τι δοκῇ Λακεδαιμονίοις καὶ Ἀθηναίοις 23.6
if and anything seems-good to-Lacedaemonians and Athenians
προσθεῖναι καὶ ἀφελεῖν περὶ τῆς ξυμμαχίας, ὅτι ἂν
to-add and to-take-away about the alliance whatever —
δοκῇ, εὔορκον ἀμφοτέροις εἶναι.
seems-good in-keeping-with-the-oath for-both to-be

24.1 Τὸν δὲ ὅρκον ὤμνυον Λακεδαιμονίων μὲν οἵδε,
the and oath swore of-Lacedaemonians indeed these
Πλειστοάναξ, Ἄγις, Πλειστόλας, Δαμάγητος, Χίονις,
Pleistoanax Agis Pleistolas Damagetus Chionis
Μεταγένης, Ἄκανθος, Δάιθος, Ἰσχαγόρας, Φιλοχαρίδας,
Metagenes Acanthus Daithus Ischagoras Philocharidas
Ζευξίδας, Ἄντιππος, Ἀλκινάδας, Τέλλις, Ἐμπεδίας,
Zeuxidas Antippus Alcinadas Tellis Empedias
Μηνᾶς, Λάφιλος, Ἀθηναίων δὲ Λάμπων, Ἰσθμιόνικος,
Menas Laphilus of-Athenians and Lampon Isthmionicus
Λάχης, Νικίας, Εὐθύδημος, Προκλῆς, Πυθόδωρος, Ἄγνων,
Laches Nicias Euthydemus Procles Pythodorus Hagnon
Μυρτίλος, Θρασυκλῆς, Θεαγένης, Ἀριστοκράτης, Ἰώλκιος,
Myrtilus Thrasycles Theagenes Aristocrates Iolcius
Τιμοκράτης, Λέων, Λάμαχος, Δημοσθένης.’
Timocrates Leon Lamachus Demosthenes

24.2 αὕτη ἡ ξυμμαχία ἐγένετο μετὰ τὰς σπονδὰς οὐ πολλῷ
this the alliance was-made after the treaty not much
ὕστερον, καὶ τοὺς ἄνδρας τοὺς ἐκ τῆς νήσου ἀπέδοσαν
later and the men those from the island gave-back
οἱ Ἀθηναῖοι τοῖς Λακεδαιμονίοις, καὶ τὸ θέρος ἦρχε
the Athenians to-the Lacedaemonians and the summer began
τοῦ ἑνδεκάτου ἔτους. ταῦτα δὲ τὰ δέκα ἔτη ὁ πρῶτος
of-the eleventh year these and the ten years the first
πόλεμος ξυνεχῶς γενόμενος γέγραπται.
war continuously having-been has-been-written

After the peace there is trouble among Sparta's allies, and Athens and Sparta grow suspicious of each other. For six years and ten months they keep from invading each other's land but harm each other elsewhere. Then they go back to open war. Thucydides wrote this too, in order, down to the fall of the Athenian empire. The war lasted twenty-seven years, he says, since the uneasy peace between was no true peace. Only the oracle that foretold this proved true. He lived through all of it at an age to understand. Exiled for twenty years after Amphipolis, he saw the affairs of both sides, the Peloponnesians' no less than Athens'.

μετὰ δὲ τὰς σπονδὰς καὶ τὴν ξυμμαχίαν τῶν Λακεδαιμονίων 25.1
after and the treaty and the alliance of-the Lacedaemonians
καὶ τῶν Ἀθηναίων, αἳ ἐγένοντο μετὰ τὸν δεκέτη πόλεμον
and the Athenians which were-made after the ten-year war
ἐπὶ Πλειστόλα μὲν ἐν Λακεδαίμονι ἐφόρου, Ἀλκαίου δ'
under Pleistolas indeed in Lacedaemon ephor Alcaeus and
ἄρχοντος Ἀθήνησι, τοῖς μὲν δεξαμένοις αὐτὰς εἰρήνη
archon at-Athens for-those indeed having-accepted them peace
ἦν, οἱ δὲ Κορίνθιοι καὶ τῶν ἐν Πελοποννήσῳ πόλεών
there-was the and Corinthians and of-the in Peloponnese cities
τινες διεκίνουν τὰ πεπραγμένα, καὶ εὐθὺς ἄλλη ταραχὴ
some unsettled the things-done and at-once another confusion
καθίστατο τῶν ξυμμάχων πρὸς τὴν Λακεδαίμονα.
arose of-the allies against — Lacedaemon
καὶ ἅμα καὶ τοῖς Ἀθηναίοις οἱ Λακεδαιμόνιοι 25.2
and at-the-same-time also to-the Athenians the Lacedaemonians
προϊόντος τοῦ χρόνου ὕποπτοι ἐγένοντο ἔστιν ἐν οἷς
going-on the time suspect became there-are in which-things
οὐ ποιοῦντες ἐκ τῶν ξυγκειμένων ἃ εἴρητο.
not doing from the agreements what had-been-stated

25.3 καὶ ἐπὶ ἓξ ἔτη μὲν καὶ δέκα μῆνας ἀπέσχοντο μὴ ἐπὶ
and for six years indeed and ten months they-refrained not against
τὴν ἑκατέρων γῆν στρατεῦσαι, ἔξωθεν δὲ μετ᾽ ἀνοκωχῆς
the each-other's land to-march outside but under armistice
οὐ βεβαίου ἔβλαπτον ἀλλήλους τὰ μάλιστα· ἔπειτα μέντοι
not secure they-harmed one-another the most then however
καὶ ἀναγκασθέντες λῦσαι τὰς μετὰ τὰ δέκα ἔτη σπονδὰς
also compelled to-break the after the ten years treaty
αὖθις ἐς πόλεμον φανερὸν κατέστησαν.
again into war open fell

26.1 γέγραφε δὲ καὶ ταῦτα ὁ αὐτὸς Θουκυδίδης Ἀθηναῖος
has-written and also these-things the same Thucydides an-Athenian
ἑξῆς, ὡς ἕκαστα ἐγένετο, κατὰ θέρη καὶ χειμῶνας,
in-order as each-thing happened by summers and winters
μέχρι οὗ τήν τε ἀρχὴν κατέπαυσαν τῶν Ἀθηναίων
until when the both empire ended of-the Athenians
Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι, καὶ τὰ μακρὰ τείχη καὶ
Lacedaemonians and the allies and the long walls and
τὸν Πειραιᾶ κατέλαβον. ἔτη δὲ ἐς τοῦτο τὰ ξύμπαντα
the Piraeus seized years and to this the all
ἐγένετο τῷ πολέμῳ ἑπτὰ καὶ εἴκοσι.
came-to for-the war seven and twenty

26.2 καὶ τὴν διὰ μέσου ξύμβασιν εἴ τις μὴ ἀξιώσει
and the through middle agreement if anyone not will-think-fit
πόλεμον νομίζειν, οὐκ ὀρθῶς δικαιώσει. τοῖς γὰρ ἔργοις ὡς
war to-consider not rightly he-will-judge by-the for deeds as
διῄρηται ἀθρείτω, καὶ εὑρήσει οὐκ εἰκὸς ὂν εἰρήνην
it-has-been-divided let-him-look and he-will-find not reasonable being peace
αὐτὴν κριθῆναι, ἐν ᾗ οὔτε ἀπέδοσαν πάντα οὔτ᾽ ἀπεδέξαντο
it to-be-judged in which neither they-gave-back all nor they-received
ἃ ξυνέθεντο, ἔξω τε τούτων πρὸς τὸν Μαντινικὸν καὶ
what they-agreed outside both these in the Mantinean and

Ἐπιδαύριον πόλεμον καὶ ἐς ἄλλα ἀμφοτέροις ἁμαρτήματα
Epidaurian war and in other-things on-both-sides errors
ἐγένοντο καὶ οἱ ἐπὶ Θρᾴκης ξύμμαχοι οὐδὲν ἧσσον
happened and those in Thrace allies nothing less
πολέμιοι ἦσαν Βοιωτοί τε ἐκεχειρίαν δεχήμερον ἦγον.
hostile were Boeotians and an-armistice ten-day kept
ὥστε ξὺν τῷ πρώτῳ πολέμῳ τῷ δεκέτει καὶ τῇ μετ᾽ αὐτὸν 26.3
so-that with the first war the ten-year and the after it
ὑπόπτῳ ἀνοκωχῇ καὶ τῷ ὕστερον ἐξ αὐτῆς πολέμῳ εὑρήσει
suspect armistice and the later from it war will-find
τις τοσαῦτα ἔτη, λογιζόμενος κατὰ τοὺς χρόνους, καὶ
one so-many years reckoning by the times and
ἡμέρας οὐ πολλὰς παρενεγκούσας, καὶ τοῖς ἀπὸ χρησμῶν
days not many making-a-difference and for-those from oracles
τι ἰσχυρισαμένοις μόνον δὴ τοῦτο ἐχυρῶς ξυμβάν.
anything having-asserted only indeed this securely having-come-true
αἰεὶ γὰρ ἔγωγε μέμνημαι, καὶ ἀρχομένου τοῦ πολέμου 26.4
always for I remember both beginning the war
καὶ μέχρι οὗ ἐτελεύτησε, προφερόμενον ὑπὸ πολλῶν ὅτι
and until when it-ended being-put-forward by many that
τρὶς ἐννέα ἔτη δέοι γενέσθαι αὐτόν.
thrice nine years it-must to-last it
ἐπεβίων δὲ διὰ παντὸς αὐτοῦ αἰσθανόμενός τε τῇ ἡλικίᾳ 26.5
I-lived-through and through all it perceiving both by-the age
καὶ προσέχων τὴν γνώμην, ὅπως ἀκριβές τι εἴσομαι· καὶ
and applying the mind so-that exact anything I-shall-know and
ξυνέβη μοι φεύγειν τὴν ἐμαυτοῦ ἔτη εἴκοσι μετὰ τὴν ἐς
it-happened to-me to-be-exiled the my-own(-land) years twenty after the at
Ἀμφίπολιν στρατηγίαν, καὶ γενομένῳ παρ᾽ ἀμφοτέροις τοῖς
Amphipolis command and having-been with both the

πράγμασι, καὶ οὐχ ἧσσον τοῖς Πελοποννησίων διὰ
affairs and not less with-those of-Peloponnesians because-of
τὴν φυγήν, καθ' ἡσυχίαν τι αὐτῶν μᾶλλον αἰσθέσθαι.
the exile at leisure something of-them more to-perceive

26.6 τὴν οὖν μετὰ τὰ δέκα ἔτη διαφοράν τε καὶ ξύγχυσιν
the then after the ten years difference both and confusion
τῶν σπονδῶν καὶ τὰ ἔπειτα ὡς ἐπολεμήθη ἐξηγήσομαι.
of-the treaty and the subsequent how it-was-warred I-will-relate

VI · THE ARGIVE LEAGUE

The Corinthians, angry at the peace, go to Argos and urge it to ally with any independent Greek city. Argos agrees, since its truce with Sparta is ending and it hopes to lead the Peloponnese. The Mantineans join first, fearing Sparta over their conquests in Arcadia. The other states grow restless, alarmed by the clause letting Athens and Sparta alter the treaty alone. Sparta's envoys reproach the Corinthians, who answer that they will not break their oaths to the gods by deserting their allies in Thrace. The Eleans join, angry at Sparta over Lepreum, and the Corinthians and the Chalcidians follow. The Boeotians and the Megarians hold back.

27.1 ἐπειδὴ γὰρ αἱ πεντηκοντούτεις σπονδαὶ ἐγένοντο καὶ
when for the fifty-year treaty was-made and
ὕστερον ἡ ξυμμαχία, καὶ αἱ ἀπὸ τῆς Πελοποννήσου
later the alliance and the from — Peloponnese
πρεσβεῖαι, αἵπερ παρεκλήθησαν ἐς αὐτά, ἀνεχώρουν ἐκ
embassies which-indeed had-been-summoned for it withdrew from
τῆς Λακεδαίμονος·
— Lacedaemon

27.2 καὶ οἱ μὲν ἄλλοι ἐπ' οἴκου ἀπῆλθον, Κορίνθιοι δὲ
and the indeed others to home went-away Corinthians and
ἐς Ἄργος τραπόμενοι πρῶτον λόγους ποιοῦνται πρός
to Argos having-turned first talks make with

τινας τῶν ἐν τέλει ὄντων Ἀργείων ὡς χρή, ἐπειδὴ
some of-those in office being of-Argives that it-is-necessary since
Λακεδαιμόνιοι οὐκ ἐπ᾽ ἀγαθῷ, ἀλλ᾽ ἐπὶ καταδουλώσει τῆς
Lacedaemonians not for good but for enslavement —
Πελοποννήσου σπονδὰς καὶ ξυμμαχίαν πρὸς Ἀθηναίους
of-Peloponnese a-treaty and alliance with Athenians
τοὺς πρὶν ἐχθίστους πεποίηνται, ὁρᾶν τοὺς Ἀργείους
the formerly bitterest-enemies have-made to-see-to the Argives
ὅπως σωθήσεται ἡ Πελοπόννησος καὶ ψηφίσασθαι τὴν
how will-be-saved — Peloponnese and to-vote the
βουλομένην πόλιν τῶν Ἑλλήνων, ἥτις αὐτόνομός τέ
willing city of-the Greeks which independent both
ἐστι καὶ δίκας ἴσας καὶ ὁμοίας δίδωσι, πρὸς Ἀργείους
is and justice equal and fair gives with Argives
ξυμμαχίαν ποιεῖσθαι ὥστε τῇ ἀλλήλων ἐπιμαχεῖν,
alliance to-make so-as the each-other's(-land) to-defend
ἀποδεῖξαι δὲ ἄνδρας ὀλίγους ἀρχὴν αὐτοκράτορας καὶ
to-appoint and men few with-authority plenipotentiary and
μὴ πρὸς τὸν δῆμον τοὺς λόγους εἶναι, τοῦ μὴ καταφανεῖς
not before the people the talks to-be for-the not detected
γίγνεσθαι τοὺς μὴ πείσαντας τὸ πλῆθος· ἔφασαν δὲ
to-become those not having-persuaded the multitude they-said and
πολλοὺς προσχωρήσεσθαι μίσει τῶν Λακεδαιμονίων.
many to-come-over from-hatred of-the Lacedaemonians
καὶ οἱ μὲν Κορίνθιοι διδάξαντες ταῦτα ἀνεχώρησαν ἐπ᾽ 27.3
and the indeed Corinthians having-advised these-things withdrew to
οἴκου·
home
οἱ δὲ τῶν Ἀργείων ἄνδρες ἀκούσαντες ἐπειδὴ ἀνήνεγκαν 28.1
the and of-the Argives men having-heard when they-referred
τοὺς λόγους ἔς τε τὰς ἀρχὰς καὶ τὸν δῆμον, ἐψηφίσαντο
the proposals to both the magistrates and the people voted

Ἀργεῖοι καὶ ἄνδρας εἵλοντο δώδεκα, πρὸς οὓς τὸν
Argives and men chose twelve with whom the
βουλόμενον τῶν Ἑλλήνων ξυμμαχίαν ποιεῖσθαι πλὴν
willing of-the Greeks alliance to-make except
Ἀθηναίων καὶ Λακεδαιμονίων· τούτων δὲ μηδετέροις
Athenians and Lacedaemonians of-these but with-neither
ἐξεῖναι ἄνευ τοῦ δήμου τοῦ Ἀργείων σπείσασθαι.
to-be-permitted without the people the of-Argives to-make-a-treaty
28.2 ἐδέξαντό τε ταῦτα οἱ Ἀργεῖοι μᾶλλον ὁρῶντες τόν τε
accepted both these-things the Argives more seeing the both
Λακεδαιμονίων σφίσι πόλεμον ἐσόμενον (ἐπ' ἐξόδῳ γὰρ
of-Lacedaemonians against-them war going-to-be on expiring for
πρὸς αὐτοὺς αἱ σπονδαὶ ἦσαν) καὶ ἅμα ἐλπίσαντες
with them the treaty was and at-the-same-time having-hoped
τῆς Πελοποννήσου ἡγήσεσθαι· κατὰ γὰρ τὸν χρόνον
— of-Peloponnese to-lead at for the time
τοῦτον ἥ τε Λακεδαίμων μάλιστα δὴ κακῶς ἤκουσε
this — both Lacedaemon most indeed badly was-spoken-of
καὶ ὑπερώφθη διὰ τὰς ξυμφοράς, οἵ τε Ἀργεῖοι ἄριστα
and was-despised because-of the disasters the and Argives best
ἔσχον τοῖς πᾶσιν, οὐ ξυναράμενοι τοῦ Ἀττικοῦ πολέμου,
fared in-the all-respects not having-shared-in the Attic war
ἀμφοτέροις δὲ μᾶλλον ἔνσπονδοι ὄντες ἐκκαρπωσάμενοι.
with-both but rather in-treaty being having-reaped-profit
28.3 οἱ μὲν οὖν Ἀργεῖοι οὕτως ἐς τὴν ξυμμαχίαν προσεδέχοντο
the indeed then Argives thus into the alliance received
τοὺς ἐθέλοντας τῶν Ἑλλήνων,
those wishing of-the Greeks
29.1 Μαντινῆς δ' αὐτοῖς καὶ οἱ ξύμμαχοι αὐτῶν πρῶτοι
Mantineans and to-them and the allies their first
προσεχώρησαν, δεδιότες τοὺς Λακεδαιμονίους. τοῖς γὰρ
came-over fearing the Lacedaemonians to-the for

Μαντινεῦσι μέρος τι τῆς Ἀρκαδίας κατέστραπτο ὑπήκοον
Mantineans part some — of-Arcadia had-been-subdued subject
ἔτι τοῦ πρὸς Ἀθηναίους πολέμου ὄντος, καὶ ἐνόμιζον οὐ
still the against Athenians war being and they-thought not
περιόψεσθαι σφᾶς τοὺς Λακεδαιμονίους ἄρχειν, ἐπειδὴ καὶ
to-allow them the Lacedaemonians to-rule since also
σχολὴν ἦγον· ὥστε ἄσμενοι πρὸς τοὺς Ἀργείους ἐτράποντο,
leisure they-had so-that gladly to the Argives they-turned
πόλιν τε μεγάλην νομίζοντες καὶ Λακεδαιμονίοις αἰεὶ
a-city both great considering and with-Lacedaemonians always
διάφορον, δημοκρατουμένην τε ὥσπερ καὶ αὐτοί.
at-odds democratically-governed both as also themselves
ἀποστάντων δὲ τῶν Μαντινέων καὶ ἡ ἄλλη Πελοπόννησος 29.2
having-revolted and the Mantineans also the other Peloponnese
ἐς θροῦν καθίστατο ὡς καὶ σφίσι ποιητέον τοῦτο,
into murmuring fell as also for-them to-be-done this
νομίσαντες πλέον τέ τι εἰδότας μεταστῆναι αὐτοὺς
thinking more both something knowing to-have-changed-sides them
καὶ τοὺς Λακεδαιμονίους ἅμα δι' ὀργῆς ἔχοντες,
and the Lacedaemonians at-the-same-time in anger holding
ἐν ἄλλοις τε καὶ ὅτι ἐν ταῖς σπονδαῖς ταῖς Ἀττικαῖς
among other-things both and that in the treaty the Attic
ἐγέγραπτο εὔορκον εἶναι προσθεῖναι καὶ ἀφελεῖν
it-had-been-written in-keeping-with-the-oath to-be to-add and to-take-away
ὅτι ἂν ἀμφοῖν τοῖν πολέοιν δοκῇ, Λακεδαιμονίοις καὶ
whatever — to-both the two-cities seems-good to-Lacedaemonians and
Ἀθηναίοις.
Athenians
τοῦτο γὰρ τὸ γράμμα μάλιστα τὴν Πελοπόννησον 29.3
this for the clause most — Peloponnese
διεθορύβει καὶ ἐς ὑποψίαν καθίστη μὴ μετὰ Ἀθηναίων
alarmed and into suspicion put lest with Athenians

σφᾶς βούλωνται Λακεδαιμόνιοι δουλώσασθαι· δίκαιον γὰρ
them wish Lacedaemonians to-enslave just for
εἶναι πᾶσι τοῖς ξυμμάχοις γεγράφθαι τὴν μετάθεσιν.
to-be for-all the allies to-have-been-written the alteration
29.4 ὥστε φοβούμενοι οἱ πολλοὶ ὥρμηντο πρὸς τοὺς Ἀργείους
so-that fearing the many set-out to the Argives
καὶ αὐτοὶ ἕκαστοι ξυμμαχίαν ποιεῖσθαι.
also themselves each alliance to-make
30.1 Λακεδαιμόνιοι δὲ αἰσθόμενοι τὸν θροῦν τοῦτον ἐν τῇ
Lacedaemonians and perceiving the murmuring this in —
Πελοποννήσῳ καθεστῶτα καὶ τοὺς Κορινθίους διδασκάλους
Peloponnese having-arisen and the Corinthians instigators
τε γενομένους καὶ αὐτοὺς μέλλοντας σπείσεσθαι πρὸς τὸ
both having-become and themselves about to-make-treaty with —
Ἄργος, πέμπουσι πρέσβεις ἐς τὴν Κόρινθον βουλόμενοι
Argos send envoys to — Corinth wishing
προκαταλαβεῖν τὸ μέλλον, καὶ ᾐτιῶντο τήν τε ἐσήγησιν
to-forestall the future and they-blamed the both introduction
τοῦ παντὸς καὶ εἰ Ἀργείοις σφῶν ἀποστάντες ξύμμαχοι
of-the whole and if to-Argives from-them having-revolted allies
ἔσονται, παραβήσεσθαί τε ἔφασαν αὐτοὺς τοὺς ὅρκους,
they-will-be to-transgress both they-said them the oaths
καὶ ἤδη ἀδικεῖν ὅτι οὐ δέχονται τὰς Ἀθηναίων σπονδάς,
and already to-do-wrong that not they-accept the of-Athenians treaty
εἰρημένον κύριον εἶναι ὅτι ἂν τὸ πλῆθος τῶν
it-having-been-stated binding to-be whatever — the majority of-the
ξυμμάχων ψηφίσηται, ἢν μή τι θεῶν ἢ ἡρώων κώλυμα ᾖ.
allies vote if not some of-gods or heroes hindrance be
30.2 Κορίνθιοι δὲ παρόντων σφίσι τῶν ξυμμάχων ὅσοι
Corinthians and being-present with-them of-the allies as-many-as
οὐδ' αὐτοὶ ἐδέξαντο τὰς σπονδάς (παρεκάλεσαν δὲ
not-even themselves had-accepted the treaty they-had-summoned and

αὐτοὺς αὐτοὶ πρότερον), ἀντέλεγον τοῖς Λακεδαιμονίοις,
them themselves before answered the Lacedaemonians
ἃ μὲν ἠδικοῦντο οὐ δηλοῦντες ἄντικρυς, ὅτι οὔτε
what indeed they-were-wronged not showing openly that neither
Σόλλιον σφίσιν ἀπέλαβον παρ᾽ Ἀθηναίων οὔτε Ἀνακτόριον
Sollium for-them they-had-recovered from Athenians nor Anactorium
εἴ τέ τι ἄλλο ἐνόμιζον ἐλασσοῦσθαι, πρόσχημα δὲ
if and anything else they-thought to-be-worse-off as-pretext but
ποιούμενοι τοὺς ἐπὶ Θρᾴκης μὴ προδώσειν· ὀμόσαι γὰρ
making those in Thrace not to-betray to-have-sworn for
αὐτοῖς ὅρκους ἰδίᾳ τε, ὅτε μετὰ Ποτειδεατῶν τὸ πρῶτον
to-them oaths privately both when with Potidaeans the first
ἀφίσταντο, καὶ ἄλλους ὕστερον.
they-revolted and others later
οὔκουν παραβαίνειν τοὺς τῶν ξυμμάχων ὅρκους ἔφασαν 30.3
not-then to-transgress the of-the allies oaths they-said
οὐκ ἐσιόντες ἐς τὰς τῶν Ἀθηναίων σπονδάς· θεῶν γὰρ
not entering into the of-the Athenians treaty of-gods for
πίστεις ὀμόσαντες ἐκείνοις οὐκ ἂν εὐορκεῖν προδιδόντες
pledges having-sworn to-those not — to-keep-oath betraying
αὐτούς. εἰρῆσθαι δ᾽ ὅτι ‘ἢν μὴ θεῶν ἢ ἡρώων κώλυμα
them to-have-been-stated and that if not of-gods or heroes hindrance
ᾖ·’ φαίνεσθαι οὖν σφίσι κώλυμα θεῖον τοῦτο.
be to-appear then to-them a-hindrance divine this
καὶ περὶ μὲν τῶν παλαιῶν ὅρκων τοσαῦτα εἶπον, περὶ 30.4
and about indeed the old oaths so-much said about
δὲ τῆς Ἀργείων ξυμμαχίας μετὰ τῶν φίλων βουλευσάμενοι
and the of-Argives alliance with the friends having-deliberated
ποιήσειν ὅτι ἂν δίκαιον ᾖ.
to-do whatever — just be

30.5 καὶ οἱ μὲν Λακεδαιμονίων πρέσβεις ἀνεχώρησαν ἐπ᾽ οἴκου·
and the indeed of-Lacedaemonians envoys withdrew to home
ἔτυχον δὲ παρόντες ἐν Κορίνθῳ καὶ Ἀργείων πρέσβεις,
happened and being-present at Corinth also of-Argives envoys
οἳ ἐκέλευον τοὺς Κορινθίους ἰέναι ἐς τὴν ξυμμαχίαν καὶ
who bade the Corinthians to-go into the alliance and
μὴ μέλλειν· οἱ δὲ ἐς τὸν ὕστερον ξύλλογον αὐτοῖς τὸν
not to-delay they and for the next assembly them the
παρὰ σφίσι προεῖπον ἥκειν.
with themselves told to-come

31.1 ἦλθε δὲ καὶ Ἠλείων πρεσβεία εὐθὺς καὶ ἐποιήσατο
came and also of-Eleans an-embassy at-once and made
πρὸς Κορινθίους ξυμμαχίαν πρῶτον, ἔπειτα ἐκεῖθεν ἐς
with Corinthians an-alliance first then from-there to
Ἄργος ἐλθόντες, καθάπερ προείρητο, Ἀργείων ξύμμαχοι
Argos having-come as had-been-prearranged of-Argives allies
ἐγένοντο. διαφερόμενοι γὰρ ἐτύγχανον τοῖς Λακεδαιμονίοις
became being-at-odds for they-happened with-the Lacedaemonians
περὶ Λεπρέου.
about Lepreum

31.2 πολέμου γὰρ γενομένου ποτὲ πρὸς Ἀρκάδων τινὰς
war for having-happened once against Arcadians some
Λεπρεάταις καὶ Ἠλείων παρακληθέντων ὑπὸ Λεπρεατῶν
for-Lepreates and Eleans having-been-called-in by Lepreates
ἐς ξυμμαχίαν ἐπὶ τῇ ἡμισείᾳ τῆς γῆς καὶ λυσάντων τὸν
to alliance for the half of-the land and having-ended the
πόλεμον Ἠλεῖοι τὴν γῆν νεμομένοις αὐτοῖς τοῖς Λεπρεάταις
war Eleans the land occupying them the Lepreates
τάλαντον ἔταξαν τῷ Διὶ τῷ Ὀλυμπίῳ ἀποφέρειν.
a-talent fixed — to-Zeus the Olympian to-pay

καὶ μέχρι μὲν τοῦ Ἀττικοῦ πολέμου ἀπέφερον, ἔπειτα 31.3
and until indeed the Attic war they-paid then
παυσαμένων διὰ πρόφασιν τοῦ πολέμου οἱ Ἠλεῖοι
having-stopped on pretext of-the war the Eleans
ἐπηνάγκαζον, οἱ δ' ἐτράποντο πρὸς τοὺς Λακεδαιμονίους.
tried-to-compel they and turned to the Lacedaemonians
καὶ δίκης Λακεδαιμονίοις ἐπιτραπείσης ὑποτοπήσαντες
and the-case to-Lacedaemonians having-been-referred suspecting
οἱ Ἠλεῖοι μὴ ἴσον ἕξειν ἀνέντες τὴν ἐπιτροπὴν
the Eleans not equal to-get having-abandoned the arbitration
Λεπρεατῶν τὴν γῆν ἔτεμον.
of-the-Lepreates the land ravaged
οἱ δὲ Λακεδαιμόνιοι οὐδὲν ἧσσον ἐδίκασαν αὐτονόμους 31.4
the and Lacedaemonians nothing less judged independent
εἶναι Λεπρεάτας καὶ ἀδικεῖν Ἠλείους, καὶ ὡς οὐκ
to-be Lepreates and to-be-in-the-wrong Eleans and as not
ἐμμεινάντων τῇ ἐπιτροπῇ φρουρὰν ὁπλιτῶν ἐσέπεμψαν
having-abided by-the arbitration a-garrison of-hoplites sent-in
ἐς Λέπρεον.
to Lepreum
οἱ δὲ Ἠλεῖοι νομίζοντες πόλιν σφῶν ἀφεστηκυῖαν δέξασθαι 31.5
the and Eleans thinking a-city of-theirs having-revolted to-have-received
τοὺς Λακεδαιμονίους καὶ τὴν ξυνθήκην προφέροντες ἐν
the Lacedaemonians and the agreement citing in
ᾗ εἴρητο, ἃ ἔχοντες ἐς τὸν Ἀττικὸν πόλεμον
which it-had-been-stated what holding into the Attic war
καθίσταντό τινες, ταῦτα ἔχοντας καὶ ἐξελθεῖν, ὡς οὐκ
entered any these-things holding also to-come-out as not
ἴσον ἔχοντες ἀφίστανται πρὸς τοὺς Ἀργείους, καὶ τὴν
equal having they-revolt to the Argives and the
ξυμμαχίαν, ὥσπερ προείρητο, καὶ οὗτοι ἐποιήσαντο.
alliance as had-been-prearranged also these made

31.6 ἐγένοντο δὲ καὶ οἱ Κορίνθιοι εὐθὺς μετ᾽ ἐκείνους καὶ οἱ
became and also the Corinthians at-once after them and the
ἐπὶ Θρᾴκης Χαλκιδῆς Ἀργείων ξύμμαχοι. Βοιωτοὶ δὲ καὶ
in Thrace Chalcidians of-Argives allies Boeotians and and
Μεγαρῆς τὸ αὐτὸ λέγοντες ἡσύχαζον, περιορώμενοι ὑπὸ
Megarians the same saying kept-quiet being-overlooked by
τῶν Λακεδαιμονίων καὶ νομίζοντες σφίσι τὴν Ἀργείων
the Lacedaemonians and thinking for-them the of-Argives
δημοκρατίαν αὐτοῖς ὀλιγαρχουμένοις ἧσσον ξύμφορον
democracy for-themselves governed-by-oligarchy less advantageous
εἶναι τῆς Λακεδαιμονίων πολιτείας.
to-be than-the of-Lacedaemonians constitution

VII · PANACTUM DESTROYED

The Athenians take Scione, kill the men, enslave the women and children, and give the land to the Plataeans. They restore the Delians. Tegea refuses the Argive alliance. Sparta frees the Parrhasians from Mantinea and settles Brasidas' freed helots at Lepreum. Athens and Sparta grow suspicious, since Sparta has not handed back what it promised. Athens keeps Pylos but moves its Messenians and helots to Cranii. Two new ephors who oppose the peace plot with the Boeotians to bring Argos into Sparta's alliance, but the Boeotian councils balk at the first step. Sparta makes an alliance with Boeotia, and the Boeotians pull down Panactum. Alarmed, Argos sends envoys to Sparta and agrees a draft treaty. Athens is angry that Panactum is returned destroyed.

32.1 περὶ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ θέρους τούτου Σκιωναίους
about and the same times of-the summer this Scionaeans
μὲν Ἀθηναῖοι ἐκπολιορκήσαντες ἀπέκτειναν τοὺς ἡβῶντας,
indeed Athenians having-besieged killed the grown-men
παῖδας δὲ καὶ γυναῖκας ἠνδραπόδισαν, καὶ τὴν γῆν
children and and women enslaved and the land

Πλαταιεῦσιν ἔδοσαν νέμεσθαι, Δηλίους δὲ κατήγαγον πάλιν
to-Plataeans gave to-occupy Delians and brought-back again
ἐς Δῆλον, ἐνθυμούμενοι τάς τε ἐν ταῖς μάχαις ξυμφορὰς
to Delos taking-to-heart the both in the battles disasters
καὶ τοῦ ἐν Δελφοῖς θεοῦ χρήσαντος.
and the at Delphi god having-ordered
καὶ Φωκῆς καὶ Λοκροὶ ἤρξαντο πολεμεῖν. 32.2
and Phocians and Locrians began to-make-war
καὶ Κορίνθιοι καὶ Ἀργεῖοι ἤδη ξύμμαχοι ὄντες ἔρχονται 32.3
and Corinthians and Argives now allies being come
ἐς Τεγέαν ἀποστήσοντες Λακεδαιμονίων, ὁρῶντες μέγα
to Tegea going-to-detach-it from-Lacedaemonians seeing great
μέρος ὂν καί, εἰ σφίσι προσγένοιτο, νομίζοντες ἅπασαν
part being and if to-them it-should-be-added thinking all
ἂν ἔχειν Πελοπόννησον.
— to-hold Peloponnese
ὡς δὲ οὐδὲν ἂν ἔφασαν ἐναντιωθῆναι οἱ Τεγεᾶται 32.4
when but in-nothing — said to-oppose the Tegeans
Λακεδαιμονίοις, οἱ Κορίνθιοι μέχρι τούτου προθύμως
Lacedaemonians the Corinthians until this eagerly
πράσσοντες ἀνεῖσαν τῆς φιλονικίας καὶ ὠρρώδησαν μὴ
acting slackened from-the rivalry and feared lest
οὐδεὶς σφίσιν ἔτι τῶν ἄλλων προσχωρῇ.
no-one to-them any-more of-the others would-come-over
ὅμως δὲ ἐλθόντες ἐς τοὺς Βοιωτοὺς ἐδέοντο σφῶν 32.5
nevertheless and having-come to the Boeotians they-asked them
τε καὶ Ἀργείων γίγνεσθαι ξυμμάχους καὶ τἆλλα κοινῇ
both and Argives to-become allies and the-rest in-common
πράσσειν· τάς τε δεχημέρους ἐπισπονδάς, αἳ ἦσαν
to-act the both ten-day truces which were
Ἀθηναίοις καὶ Βοιωτοῖς πρὸς ἀλλήλους οὐ πολλῷ ὕστερον
for-Athenians and Boeotians with one-another not much later

γενόμεναι τῶν πεντηκοντουτίδων σπονδῶν, ἐκέλευον οἱ
made than-the fifty-year treaty bade the
Κορίνθιοι τοὺς Βοιωτοὺς ἀκολουθήσαντας Ἀθήναζε καὶ
Corinthians the Boeotians having-accompanied to-Athens also
σφίσι ποιῆσαι, μὴ δεχομένων δὲ Ἀθηναίων ἀπειπεῖν τὴν
for-them to-make not accepting but Athenians to-renounce the
ἐκεχειρίαν καὶ τὸ λοιπὸν μὴ σπένδεσθαι ἄνευ αὐτῶν.
armistice and the future not to-make-a-treaty without them

32.6 Βοιωτοὶ δὲ δεομένων τῶν Κορινθίων περὶ μὲν τῆς
Boeotians and asking the Corinthians about indeed the
Ἀργείων ξυμμαχίας ἐπισχεῖν αὐτοὺς ἐκέλευον, ἐλθόντες
of-Argives alliance to-wait them bade having-gone
δὲ Ἀθήναζε μετὰ Κορινθίων οὐχ ηὕροντο τὰς δεχημέρους
and to-Athens with Corinthians not obtained the ten-day
σπονδάς, ἀλλ᾽ ἀπεκρίναντο οἱ Ἀθηναῖοι Κορινθίοις εἶναι
truce but answered the Athenians to-Corinthians to-be
σπονδάς, εἴπερ Λακεδαιμονίων εἰσὶ ξύμμαχοι.
a-treaty if-indeed of-Lacedaemonians they-are allies

32.7 Βοιωτοὶ μὲν οὖν οὐδὲν μᾶλλον ἀπεῖπον τὰς δεχημέρους,
Boeotians indeed then in-nothing more renounced the ten-day
ἀξιούντων καὶ αἰτιωμένων Κορινθίων ξυνθέσθαι σφίσιν·
claiming and blaming Corinthians to-have-agreed with-them
Κορινθίοις δὲ ἀνοκωχὴ ἄσπονδος ἦν πρὸς Ἀθηναίους.
for-Corinthians but a-cessation without-treaty there-was with Athenians

33.1 Λακεδαιμόνιοι δὲ τοῦ αὐτοῦ θέρους πανδημεὶ ἐστράτευσαν,
Lacedaemonians and in-the same summer in-full-force marched
Πλειστοάνακτος τοῦ Παυσανίου Λακεδαιμονίων βασιλέως
Pleistoanax the son-of-Pausanias of-Lacedaemonians king
ἡγουμένου, τῆς Ἀρκαδίας ἐς Παρρασίους, Μαντινέων
leading — of-Arcadia against Parrhasians of-Mantineans
ὑπηκόους ὄντας, κατὰ στάσιν ἐπικαλεσαμένων σφᾶς,
subjects being by faction having-called-in them

ἅμα δὲ καὶ τὸ ἐν Κυψέλοις τεῖχος ἀναιρήσοντες, ἢν
at-the-same-time and also the at Cypsela fort going-to-destroy if
δύνωνται, ὃ ἐτείχισαν Μαντινῆς καὶ αὐτοὶ ἐφρούρουν, ἐν
they-can which fortified Mantineans and themselves garrisoned in
τῇ Παρρασικῇ κείμενον ἐπὶ τῇ Σκιρίτιδι τῆς Λακωνικῆς.
— Parrhasian-land lying against — Sciritis — of-Laconian-land
καὶ οἱ μὲν Λακεδαιμόνιοι τὴν γῆν τῶν Παρρασίων ἐδῄουν, οἱ 33.2
and the indeed Lacedaemonians the land of-the Parrhasians ravaged the
δὲ Μαντινῆς τὴν πόλιν Ἀργείοις φύλαξι παραδόντες αὐτοὶ
and Mantineans the city to-Argives as-guards having-handed-over themselves
τὴν ξυμμαχίδα ἐφρούρουν· ἀδύνατοι δ᾽ ὄντες διασῶσαι τό τε
the allied-territory guarded unable but being to-save the both
ἐν Κυψέλοις τεῖχος καὶ τὰς ἐν Παρρασίοις πόλεις ἀπῆλθον.
at Cypsela fort and the in Parrhasia cities went-away
Λακεδαιμόνιοι δὲ τούς τε Παρρασίους αὐτονόμους 33.3
Lacedaemonians and the both Parrhasians independent
ποιήσαντες καὶ τὸ τεῖχος καθελόντες ἀνεχώρησαν ἐπ᾽
having-made and the fort having-pulled-down withdrew to
οἴκου.
home
καὶ τοῦ αὐτοῦ θέρους ἤδη ἡκόντων αὐτοῖς τῶν ἀπὸ 34.1
and in-the same summer already having-come to-them the from
Θρᾴκης μετὰ Βρασίδου ἐξελθόντων στρατιωτῶν, οὓς ὁ
Thrace with Brasidas having-gone-out soldiers whom —
Κλεαρίδας μετὰ τὰς σπονδὰς ἐκόμισεν, οἱ Λακεδαιμόνιοι
Clearidas after the treaty brought the Lacedaemonians
ἐψηφίσαντο τοὺς μὲν μετὰ Βρασίδου Εἵλωτας μαχεσαμένους
voted the indeed with Brasidas Helots having-fought
ἐλευθέρους εἶναι καὶ οἰκεῖν ὅπου ἂν βούλωνται, καὶ
free to-be and to-live wherever — they-wish and
ὕστερον οὐ πολλῷ αὐτοὺς μετὰ τῶν νεοδαμωδῶν ἐς
later not much them with the new-citizens at

Λέπρεον κατέστησαν, κείμενον ἐπὶ τῆς Λακωνικῆς καὶ
Lepreum settled lying on — Laconian-land and
τῆς Ἠλείας, ὄντες ἤδη διάφοροι Ἠλείοις·
— Elean-land being already at-odds with-Eleans

34.2 τοὺς δ' ἐκ τῆς νήσου ληφθέντας σφῶν καὶ τὰ
those and from the island captured of-theirs and the
ὅπλα παραδόντας, δείσαντες μή τι διὰ τὴν
arms having-surrendered fearing lest something because-of the
ξυμφορὰν νομίσαντες ἐλασσωθήσεσθαι καὶ ὄντες ἐπίτιμοι
disaster thinking to-be-degraded and being in-full-rights
νεωτερίσωσιν, ἤδη καὶ ἀρχάς τινας ἔχοντας ἀτίμους
they-should-revolt already also offices some holding disfranchised
ἐποίησαν, ἀτιμίαν δὲ τοιάνδε ὥστε μήτε ἄρχειν μήτε
made disfranchisement and such so-that neither to-hold-office nor
πριαμένους τι ἢ πωλοῦντας κυρίους εἶναι. ὕστερον δὲ
buying anything or selling competent to-be later but
αὖθις χρόνῳ ἐπίτιμοι ἐγένοντο.
again in-time enfranchised became

35.1 τοῦ δ' αὐτοῦ θέρους καὶ Θυσσὸν τὴν ἐν τῇ Ἄθῳ Ἀκτῇ
in-the and same summer also Thyssus the in — Athos Acte
Διῆς εἷλον, Ἀθηναίων οὖσαν ξύμμαχον.
Dians took of-Athenians being an-ally

35.2 καὶ τὸ θέρος τοῦτο πᾶν ἐπιμειξίαι μὲν ἦσαν τοῖς Ἀθηναίοις
and the summer this all intercourse indeed there-was for-the Athenians
καὶ Πελοποννησίοις, ὑπώπτευον δὲ ἀλλήλους εὐθὺς μετὰ
and Peloponnesians suspected and one-another at-once after
τὰς σπονδὰς οἵ τε Ἀθηναῖοι καὶ οἱ Λακεδαιμόνιοι κατὰ
the treaty the both Athenians and the Lacedaemonians in-respect-of
τὴν τῶν χωρίων ἀλλήλοις οὐκ ἀπόδοσιν.
the of-the places to-one-another not restoration

τὴν γὰρ Ἀμφίπολιν πρότεροι λαχόντες οἱ Λακεδαιμόνιοι 35.3
— *for Amphipolis first having-drawn-the-lot the Lacedaemonians*
ἀποδιδόναι καὶ τἆλλα οὐκ ἀπεδεδώκεσαν, οὐδὲ τοὺς ἐπὶ
to-give-back also the-rest not had-given-back nor the in
Θρᾴκης παρεῖχον ξυμμάχους τὰς σπονδὰς δεχομένους οὐδὲ
Thrace made-available allies the treaty accepting nor
Βοιωτοὺς οὐδὲ Κορινθίους, λέγοντες αἰεὶ ὡς μετ᾽ Ἀθηναίων
Boeotians nor Corinthians saying always that with Athenians
τούτους, ἢν μὴ ᾽θέλωσι, κοινῇ ἀναγκάσουσιν· χρόνους
these if not they-be-willing in-common they-will-compel times
τε προύθεντο ἄνευ ξυγγραφῆς ἐν οἷς χρῆν τοὺς
both they-set-forth without written-agreement within which it-was-necessary those
μὴ ἐσιόντας ἀμφοτέροις πολεμίους εἶναι.
not coming-in for-both enemies to-be
τούτων οὖν ὁρῶντες οἱ Ἀθηναῖοι οὐδὲν ἔργῳ γιγνόμενον 35.4
of-these then seeing the Athenians nothing in-deed happening
ὑπώπτευον τοὺς Λακεδαιμονίους μηδὲν δίκαιον διανοεῖσθαι,
suspected the Lacedaemonians nothing just to-intend
ὥστε οὔτε Πύλον ἀπαιτούντων αὐτῶν ἀπεδίδοσαν,
so-that neither Pylos demanding-back them they-gave-back
ἀλλὰ καὶ τοὺς ἐκ τῆς νήσου δεσμώτας μετεμέλοντο
but even those from the island prisoners they-repented
ἀποδεδωκότες, τά τε ἄλλα χωρία εἶχον, μένοντες ἕως
having-given-back the both other places held remaining until
σφίσι κἀκεῖνοι ποιήσειαν τὰ εἰρημένα.
for-them those-too should-do the things-stated
Λακεδαιμόνιοι δὲ τὰ μὲν δυνατὰ ἔφασαν πεποιηκέναι· τοὺς 35.5
Lacedaemonians and the indeed possible said to-have-done the
γὰρ παρὰ σφίσι δεσμώτας ὄντας Ἀθηναίων ἀποδοῦναι καὶ
for with them prisoners being of-Athenians to-have-given-back and
τοὺς ἐπὶ Θρᾴκης στρατιώτας ἀπαγαγεῖν καὶ εἴ του ἄλλου
the in Thrace soldiers to-have-withdrawn and if any other

ἐγκρατεῖς ἦσαν· Ἀμφιπόλεως δὲ οὐκ ἔφασαν κρατεῖν
masters they-were of-Amphipolis but not said to-be-master
ὥστε παραδοῦναι, Βοιωτοὺς δὲ πειράσεσθαι καὶ Κορινθίους
so-as to-hand-over Boeotians and to-try and Corinthians
ἐς τὰς σπονδὰς ἐσαγαγεῖν καὶ Πάνακτον ἀπολαβεῖν καὶ
into the treaty to-bring and Panactum to-recover and
Ἀθηναίων ὅσοι ἦσαν ἐν Βοιωτοῖς αἰχμάλωτοι κομιεῖν.
of-Athenians as-many-as were among Boeotians prisoners to-bring-back
35.6 Πύλον μέντοι ἠξίουν σφίσιν ἀποδοῦναι· εἰ δὲ μή,
Pylos however they-claimed to-them to-give-back if but not
Μεσσηνίους γε καὶ τοὺς Εἵλωτας ἐξαγαγεῖν, ὥσπερ
Messenians at-least and the Helots to-bring-out as
καὶ αὐτοὶ τοὺς ἀπὸ Θρᾴκης, Ἀθηναίους δὲ φρουρεῖν τὸ
also themselves those from Thrace Athenians and to-garrison the
χωρίον αὐτούς, εἰ βούλονται.
place themselves if they-wish
35.7 πολλάκις δὲ καὶ πολλῶν λόγων γενομένων ἐν τῷ θέρει
often and and many talks having-taken-place in the summer
τούτῳ ἔπεισαν τοὺς Ἀθηναίους ὥστε ἐξαγαγεῖν ἐκ
this they-persuaded the Athenians so-as to-bring-out from
Πύλου Μεσσηνίους καὶ τοὺς ἄλλους Εἵλωτάς τε καὶ
Pylos Messenians and the other Helots both and
ὅσοι ηὐτομολήκεσαν ἐκ τῆς Λακωνικῆς· καὶ κατῴκισαν
as-many-as had-deserted from — Laconian-land and they-settled
αὐτοὺς ἐν Κρανίοις τῆς Κεφαλληνίας.
them at Cranii — of-Cephallenia
35.8 τὸ μὲν οὖν θέρος τοῦτο ἡσυχία ἦν καὶ ἔφοδοι παρ᾽
the indeed then summer this quiet there-was and visits to
ἀλλήλους.
one-another

τοῦ δ' ἐπιγιγνομένου χειμῶνος (ἔτυχον γὰρ ἔφοροι ἕτεροι 36.1
in-the and following winter happened for ephors others
καὶ οὐκ ἐφ' ὧν αἱ σπονδαὶ ἐγένοντο ἄρχοντες ἤδη,
and not in whose-time the treaty was-made being-in-office now
καί τινες αὐτῶν καὶ ἐναντίοι ταῖς σπονδαῖς) ἐλθουσῶν
and some of-them even opposed to-the treaty having-come
πρεσβειῶν ἀπὸ τῆς ξυμμαχίδος καὶ παρόντων Ἀθηναίων
embassies from the alliance and being-present Athenians
καὶ Βοιωτῶν καὶ Κορινθίων καὶ πολλὰ ἐν ἀλλήλοις
and Boeotians and Corinthians and much among one-another
εἰπόντων καὶ οὐδὲν ξυμβάντων, ὡς ἀπῆσαν ἐπ' οἴκου,
having-said and nothing having-agreed when they-departed to home
τοῖς Βοιωτοῖς καὶ Κορινθίοις Κλεόβουλος καὶ Ξενάρης,
to-the Boeotians and Corinthians Cleobulus and Xenares
οὗτοι οἵπερ τῶν ἐφόρων ἐβούλοντο μάλιστα διαλῦσαι
these who-indeed of-the ephors wished most to-dissolve
τὰς σπονδάς, λόγους ποιοῦνται ἰδίους, παραινοῦντες ὅτι
the treaty talks make private advising as
μάλιστα ταῦτά τε γιγνώσκειν καὶ πειρᾶσθαι Βοιωτούς,
most these-things both to-think and to-try Boeotians
Ἀργείων γενομένους πρῶτον αὐτοὺς ξυμμάχους, αὖθις
of-Argives having-become first themselves allies again
μετὰ Βοιωτῶν Ἀργείους Λακεδαιμονίοις ποιῆσαι ξυμμάχους
with Boeotians Argives to-Lacedaemonians to-make allies
(οὕτω γὰρ ἥκιστ' ἂν ἀναγκασθῆναι Βοιωτοὺς ἐς τὰς
thus for least — to-be-compelled Boeotians into the
Ἀττικὰς σπονδὰς ἐσελθεῖν· ἑλέσθαι γὰρ Λακεδαιμονίους
Attic treaty to-enter to-choose for Lacedaemonians
πρὸ τῆς Ἀθηναίων ἔχθρας καὶ διαλύσεως τῶν
in-preference-to the of-Athenians enmity and dissolution of-the
σπονδῶν Ἀργείους σφίσι φίλους καὶ ξυμμάχους γενέσθαι·
treaty Argives for-them friends and allies to-become

τὸ γὰρ Ἄργος αἰεὶ ἠπίσταντο ἐπιθυμοῦντας τοὺς
— *for Argos always they-knew desiring the*
Λακεδαιμονίους καλῶς σφίσι φίλιον γενέσθαι), ἡγούμενοι
Lacedaemonians well for-them friendly to-become thinking
τὸν ἔξω Πελοποννήσου πόλεμον ῥᾴω ἂν εἶναι.
the outside Peloponnese war easier — to-be

36.2 τὸ μέντοι Πάνακτον ἐδέοντο Βοιωτοὺς ὅπως παραδώσουσι
the however Panactum they-asked Boeotians that they-would-hand-over
Λακεδαιμονίοις, ἵνα ἀντ᾽ αὐτοῦ Πύλον, ἢν δύνωνται,
to-Lacedaemonians so-that in-exchange-for it Pylos if they-can
ἀπολαβόντες ῥᾷον καθιστῶνται Ἀθηναίοις ἐς πόλεμον.
having-recovered more-easily they-may-enter with-Athenians into war

37.1 καὶ οἱ μὲν Βοιωτοὶ καὶ Κορίνθιοι ταῦτα ἐπεσταλμένοι
and the indeed Boeotians and Corinthians these-things having-been-charged
ἀπό τε τοῦ Ξενάρους καὶ Κλεοβούλου καὶ ὅσοι φίλοι
by both — Xenares and Cleobulus and as-many-as friends
ἦσαν αὐτοῖς τῶν Λακεδαιμονίων ὥστε ἀπαγγεῖλαι ἐπὶ τὰ
were to-them of-the Lacedaemonians so-as to-report to the
κοινά, ἑκάτεροι ἀνεχώρουν.
common-authorities each withdrew

37.2 Ἀργείων δὲ δύο ἄνδρες τῆς ἀρχῆς τῆς μεγίστης ἐπετήρουν
of-Argives and two men of-the office the highest watched-for
ἀπιόντας αὐτοὺς καθ᾽ ὁδὸν καὶ ξυγγενόμενοι ἐς λόγους
leaving them on the-road and having-met into talks
ἦλθον, εἴ πως οἱ Βοιωτοὶ σφίσι ξύμμαχοι γένοιντο ὥσπερ
came if somehow the Boeotians to-them allies should-become as
Κορίνθιοι καὶ Ἠλεῖοι καὶ Μαντινῆς· νομίζειν γὰρ ἂν τούτου
Corinthians and Eleans and Mantineans to-think for — this
προχωρήσαντος ῥᾳδίως ἤδη καὶ πολεμεῖν καὶ σπένδεσθαι
having-succeeded easily already both to-make-war and to-make-treaty

καὶ πρὸς Λακεδαιμονίους, εἰ βούλοιντο, κοινῷ λόγῳ
also with Lacedaemonians if they-wished with-common policy
χρωμένους, καὶ εἴ τινα πρὸς ἄλλον δέοι.
using and if any with another it-were-necessary
τοῖς δὲ τῶν Βοιωτῶν πρέσβεσιν ἀκούουσιν ἤρεσκεν· κατὰ 37.3
to-the and of-the Boeotians envoys hearing it-was-pleasing by
τύχην γὰρ ἐδέοντο τούτων ὧνπερ καὶ οἱ ἐκ
chance for they-were-asking these-things the-very-things-which also those from
τῆς Λακεδαίμονος αὐτοῖς φίλοι ἐπεστάλκεσαν. καὶ οἱ τῶν
— Lacedaemon to-them friends had-enjoined and the of-the
Ἀργείων ἄνδρες ὡς ᾔσθοντο αὐτοὺς δεχομένους τὸν λόγον,
Argives men when they-perceived them accepting the proposal
εἰπόντες ὅτι πρέσβεις πέμψουσιν ἐς Βοιωτοὺς ἀπῆλθον.
having-said that envoys they-will-send to Boeotians went-away
ἀφικόμενοι δὲ οἱ Βοιωτοὶ ἀπήγγειλαν τοῖς βοιωτάρχαις τά 37.4
having-arrived and the Boeotians reported to-the boeotarchs the
τε ἐκ τῆς Λακεδαίμονος καὶ τὰ ἀπὸ τῶν ξυγγενομένων
both from — Lacedaemon and the-things from the having-met
Ἀργείων· καὶ οἱ βοιωτάρχαι ἠρέσκοντό τε καὶ πολλῷ
Argives and the boeotarchs were-pleased both and much
προθυμότεροι ἦσαν, ὅτι ἀμφοτέρωθεν ξυνεβεβήκει αὐτοῖς
more-eager were because from-both-sides it-had-happened to-them
τούς τε φίλους τῶν Λακεδαιμονίων τῶν αὐτῶν δεῖσθαι
the both friends of-the Lacedaemonians the same-things to-want
καὶ τοὺς Ἀργείους ἐς τὰ ὁμοῖα σπεύδειν.
and the Argives toward the same-ends to-hasten
καὶ οὐ πολλῷ ὕστερον πρέσβεις παρῆσαν Ἀργείων 37.5
and not much later envoys were-present of-Argives
τὰ εἰρημένα προκαλούμενοι· καὶ αὐτοὺς ἀπέπεμψαν
the things-stated proposing and them dismissed

ἐπαινέσαντες τοὺς λόγους οἱ βοιωτάρχαι καὶ πρέσβεις
having-approved the proposals the boeotarchs and envoys
ὑποσχόμενοι ἀποστελεῖν περὶ τῆς ξυμμαχίας ἐς Ἄργος.
having-promised to-send about the alliance to Argos
38.1 ἐν δὲ τούτῳ ἐδόκει πρῶτον τοῖς βοιωτάρχαις καὶ
in and this it-seemed-good first to-the boeotarchs and
Κορινθίοις καὶ Μεγαρεῦσι καὶ τοῖς ἀπὸ Θράκης πρέσβεσιν
Corinthians and Megarians and those from Thrace envoys
ὀμόσαι ὅρκους ἀλλήλοις ἦ μὴν ἔν τε τῷ παρατυχόντι
to-swear oaths to-one-another truly indeed in both the event
ἀμυνεῖν τῷ δεομένῳ καὶ μὴ πολεμήσειν τῳ μηδὲ
to-help the one-in-need and not to-make-war on-anyone nor
ξυμβήσεσθαι ἄνευ κοινῆς γνώμης, καὶ οὕτως ἤδη τοὺς
to-come-to-terms without common resolution and thus then the
Βοιωτοὺς καὶ Μεγαρέας (τὸ γὰρ αὐτὸ ἐποίουν) πρὸς
Boeotians and Megarians the for same they-were-doing with
τοὺς Ἀργείους σπένδεσθαι.
the Argives to-make-treaty
38.2 πρὶν δὲ τοὺς ὅρκους γενέσθαι οἱ βοιωτάρχαι ἐκοίνωσαν
before and the oaths to-be-taken the boeotarchs communicated
ταῖς τέσσαρσι βουλαῖς τῶν Βοιωτῶν ταῦτα, αἵπερ ἅπαν
to-the four councils of-the Boeotians these-things which-very all
τὸ κῦρος ἔχουσιν, καὶ παρῄνουν γενέσθαι ὅρκους ταῖς
the authority have and advised to-be-made oaths with-the
πόλεσιν, ὅσαι βούλονται ἐπ᾽ ὠφελίᾳ σφίσι ξυνομνύναι.
cities as-many-as wish for benefit to-them to-swear-with
38.3 οἱ δ᾽ ἐν ταῖς βουλαῖς τῶν Βοιωτῶν ὄντες οὐ προσδέχονται
they and in the councils of-the Boeotians being not accept
τὸν λόγον, δεδιότες μὴ ἐναντία Λακεδαιμονίοις ποιήσωσι,
the proposal fearing lest opposite to-Lacedaemonians they-do
τοῖς ἐκείνων ἀφεστῶσι Κορινθίοις ξυνομνύντες· οὐ γὰρ
with-those from-them having-revolted Corinthians swearing-with not for

εἶπον αὐτοῖς οἱ βοιωτάρχαι τὰ ἐκ τῆς Λακεδαίμονος,
told them the boeotarchs the-things from — Lacedaemon
ὅτι τῶν τε ἐφόρων Κλεόβουλος καὶ Ξενάρης καὶ οἱ φίλοι
that of-the both ephors Cleobulus and Xenares and the friends
παραινοῦσιν Ἀργείων πρῶτον καὶ Κορινθίων γενομένους
advise of-Argives first and Corinthians having-become
ξυμμάχους ὕστερον μετὰ τῶν Λακεδαιμονίων γίγνεσθαι,
allies later with the Lacedaemonians to-become
οἰόμενοι τὴν βουλήν, κἂν μὴ εἴπωσιν, οὐκ ἄλλα ψηφιεῖσθαι
thinking the council even-if not they-tell not other to-vote
ἢ ἃ σφίσι προδιαγνόντες παραινοῦσιν.
than what for-them having-decided-before they-advise
ὡς δὲ ἀντέστη τὸ πρᾶγμα, οἱ μὲν Κορίνθιοι καὶ 38.4
when and opposition-arose-to the matter the indeed Corinthians and
οἱ ἀπὸ Θρᾴκης πρέσβεις ἄπρακτοι ἀπῆλθον, οἱ δὲ
those from Thrace envoys unsuccessful went-away the and
βοιωτάρχαι μέλλοντες πρότερον, εἰ ταῦτα ἔπεισαν, καὶ
boeotarchs intending before if these-things they-had-carried also
τὴν ξυμμαχίαν πειράσεσθαι πρὸς Ἀργείους ποιεῖν, οὐκέτι
the alliance to-try with Argives to-make no-longer
ἐσήνεγκαν περὶ Ἀργείων ἐς τὰς βουλάς, οὐδὲ ἐς τὸ
referred about Argives to the councils nor to —
Ἄργος τοὺς πρέσβεις οὓς ὑπέσχοντο ἔπεμπον, ἀμέλεια
Argos the envoys whom they-had-promised they-sent negligence
δέ τις ἐνῆν καὶ διατριβὴ τῶν πάντων.
but some was-in-it and delay of-the all
καὶ ἐν τῷ αὐτῷ χειμῶνι τούτῳ Μηκύβερναν Ὀλύνθιοι, 39.1
and in the same winter this Mecyberna Olynthians
Ἀθηναίων φρουρούντων, ἐπιδραμόντες εἷλον.
Athenians garrisoning having-attacked took

39.2 μετὰ δὲ ταῦτα (ἐγίγνοντο γὰρ αἰεὶ λόγοι τοῖς τε
after and these-things there-were for always talks for-the both
Ἀθηναίοις καὶ Λακεδαιμονίοις περὶ ὧν εἶχον ἀλλήλων)
Athenians and Lacedaemonians about what they-held of-one-another
ἐλπίζοντες οἱ Λακεδαιμόνιοι, εἰ Πάνακτον Ἀθηναῖοι παρὰ
hoping the Lacedaemonians if Panactum Athenians from
Βοιωτῶν ἀπολάβοιεν, κομίσασθαι ἂν αὐτοὶ Πύλον, ἦλθον
Boeotians should-recover to-get-back — themselves Pylos came
ἐς τοὺς Βοιωτοὺς πρεσβευόμενοι καὶ ἐδέοντο σφίσι
to the Boeotians as-envoys and asked to-them
Πάνακτόν τε καὶ τοὺς Ἀθηναίων δεσμώτας παραδοῦναι,
Panactum both and the of-Athenians prisoners to-hand-over
ἵνα ἀντ' αὐτῶν Πύλον κομίσωνται.
so-that in-exchange-for them Pylos they-might-recover

39.3 οἱ δὲ Βοιωτοὶ οὐκ ἔφασαν ἀποδώσειν, ἢν μὴ σφίσι
the and Boeotians not said to-give-back if not with-them
ξυμμαχίαν ἰδίαν ποιήσωνται ὥσπερ Ἀθηναίοις. Λακεδαιμόνιοι
an-alliance separate they-make as with-Athenians Lacedaemonians
δὲ εἰδότες μὲν ὅτι ἀδικήσουσιν Ἀθηναίους, εἰρημένον
and knowing indeed that they-will-wrong Athenians it-having-been-stated
ἄνευ ἀλλήλων μήτε σπένδεσθαί τῳ μήτε πολεμεῖν,
without one-another neither to-make-treaty with-anyone nor to-make-war
βουλόμενοι δὲ τὸ Πάνακτον παραλαβεῖν ὡς τὴν Πύλον
wishing but — Panactum to-take-over as — Pylos
ἀντ' αὐτοῦ κομιούμενοι, καὶ ἅμα τῶν ξυγχέαι
in-exchange-for it going-to-recover and at-the-same-time those to-confound
σπευδόντων τὰς σπονδὰς προθυμουμένων τὰ ἐς
hastening the treaty being-eager-for the-things toward
Βοιωτούς, ἐποιήσαντο τὴν ξυμμαχίαν τοῦ χειμῶνος
Boeotians made the alliance the winter

τελευτῶντος ἤδη καὶ πρὸς ἔαρ· καὶ τὸ Πάνακτον εὐθὺς
ending already and toward spring and — Panactum at-once
καθῃρεῖτο. καὶ ἑνδέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα.
was-being-demolished and eleventh year for-the war ended
ἅμα δὲ τῷ ἦρι εὐθὺς τοῦ ἐπιγιγνομένου θέρους 40.1
at-the-same-time and with-the spring at-once of-the following summer
οἱ Ἀργεῖοι, ὡς οἵ τε πρέσβεις τῶν Βοιωτῶν οὓς
the Argives when the both envoys of-the Boeotians whom
ἔφασαν πέμψειν οὐχ ἥκον τό τε Πάνακτον ᾔσθοντο
they-had-said to-send not came — both Panactum they-perceived
καθαιρούμενον καὶ ξυμμαχίαν ἰδίαν γεγενημένην τοῖς
being-demolished and alliance separate having-been-made to-the
Βοιωτοῖς πρὸς τοὺς Λακεδαιμονίους, ἔδεισαν μὴ μονωθῶσι
Boeotians with the Lacedaemonians feared lest they-be-isolated
καὶ ἐς Λακεδαιμονίους πᾶσα ἡ ξυμμαχία χωρήσῃ·
and to Lacedaemonians all the alliance go-over
τοὺς γὰρ Βοιωτοὺς ᾤοντο πεπεῖσθαι ὑπὸ 40.2
the for Boeotians they-thought to-have-been-persuaded by
Λακεδαιμονίων τό τε Πάνακτον καθελεῖν καὶ ἐς τὰς
Lacedaemonians — both Panactum to-demolish and into the
Ἀθηναίων σπονδὰς ἐσιέναι, τούς τε Ἀθηναίους εἰδέναι
of-Athenians treaty to-enter the both Athenians to-know
ταῦτα, ὥστε οὐδὲ πρὸς Ἀθηναίους ἔτι σφίσιν εἶναι
these-things so-that not-even with Athenians still for-them to-be-possible
ξυμμαχίαν ποιήσασθαι, πρότερον ἐλπίζοντες ἐκ τῶν
alliance to-make before hoping from the
διαφορῶν, εἰ μὴ μείνειαν αὐτοῖς αἱ πρὸς Λακεδαιμονίους
differences if not should-last for-them the with Lacedaemonians
σπονδαί, τοῖς γοῦν Ἀθηναίοις ξύμμαχοι ἔσεσθαι.
treaty with-the at-least Athenians allies to-be

40.3 ἀποροῦντες οὖν ταῦτα οἱ Ἀργεῖοι, καὶ φοβούμενοι μὴ
being-at-a-loss then these-things the Argives and fearing lest
Λακεδαιμονίοις καὶ Τεγεάταις, Βοιωτοῖς καὶ Ἀθηναίοις
with-Lacedaemonians and Tegeans Boeotians and Athenians
ἅμα πολεμῶσι, πρότερον οὐ δεχόμενοι τὰς Λακεδαιμονίων
at-once they-be-at-war before not accepting the of-Lacedaemonians
σπονδάς, ἀλλ' ἐν φρονήματι ὄντες τῆς Πελοποννήσου
treaty but in pride being — of-Peloponnese
ἡγήσεσθαι, ἔπεμπον ὡς ἐδύναντο τάχιστα ἐς τὴν
to-lead sent as they-could fastest to —
Λακεδαίμονα πρέσβεις Εὔστροφον καὶ Αἴσωνα, οἳ ἐδόκουν
Lacedaemon envoys Eustrophus and Aeson who seemed
προσφιλέστατοι αὐτοῖς εἶναι, ἡγούμενοι ἐκ τῶν παρόντων
most-acceptable to-them to-be thinking from the present
κράτιστα πρὸς Λακεδαιμονίους σπονδὰς ποιησάμενοι, ὅπῃ
best with Lacedaemonians a-treaty having-made however
ἂν ξυγχωρῇ, ἡσυχίαν ἔχειν.
— it-allows quiet to-keep

41.1 καὶ οἱ πρέσβεις ἀφικόμενοι αὐτῶν λόγους ἐποιοῦντο
and the envoys having-arrived of-theirs talks made
πρὸς τοὺς Λακεδαιμονίους ἐφ' ᾧ ἂν σφίσιν αἱ σπονδαὶ
with the Lacedaemonians on which — for-them the treaty
γίγνοιντο.
might-be-made

41.2 καὶ τὸ μὲν πρῶτον οἱ Ἀργεῖοι ἠξίουν δίκης ἐπιτροπὴν
and the indeed first the Argives claimed of-the-case reference
σφίσι γενέσθαι ἢ ἐς πόλιν τινὰ ἢ ἰδιώτην περὶ τῆς
for-them to-be-made either to city some or private-man about the
Κυνουρίας γῆς, ἧς αἰεὶ πέρι διαφέρονται μεθορίας οὔσης
Cynurian land which always about they-differ border being
(ἔχει δὲ ἐν αὐτῇ Θυρέαν καὶ Ἀνθήνην πόλιν, νέμονται δ'
it-holds and in itself Thyrea and Anthene a-city occupy and

αὐτὴν Λακεδαιμόνιοι)· ἔπειτα δ᾽ οὐκ ἐώντων Λακεδαιμονίων
it Lacedaemonians then and not allowing Lacedaemonians
μεμνῆσθαι περὶ αὐτῆς, ἀλλ᾽, εἰ βούλονται σπένδεσθαι
to-mention about it but if they-wish to-make-treaty
ὥσπερ πρότερον, ἑτοῖμοι εἶναι, οἱ Ἀργεῖοι πρέσβεις τάδε
as before ready to-be the Argive envoys these-terms
ὅμως ἐπηγάγοντο τοὺς Λακεδαιμονίους ξυγχωρῆσαι, ἐν
nevertheless induced the Lacedaemonians to-agree at
μὲν τῷ παρόντι σπονδὰς ποιήσασθαι ἔτη πεντήκοντα,
indeed the present a-treaty to-make years fifty
ἐξεῖναι δ᾽ ὁποτεροισοῦν προκαλεσαμένοις, μήτε νόσου
to-be-permitted and to-either-side having-challenged neither plague
οὔσης μήτε πολέμου Λακεδαίμονι καὶ Ἄργει, διαμάχεσθαι
being nor war at-Lacedaemon and Argos to-fight-it-out
περὶ τῆς γῆς ταύτης, ὥσπερ καὶ πρότερόν ποτε ὅτε
about the land this as also before once when
αὐτοὶ ἑκάτεροι ἠξίωσαν νικᾶν, διώκειν δὲ μὴ ἐξεῖναι
themselves each claimed to-win to-pursue but not to-be-permitted
περαιτέρω τῶν πρὸς Ἄργος καὶ Λακεδαίμονα ὅρων.
farther than-the toward Argos and Lacedaemon boundaries
τοῖς δὲ Λακεδαιμονίοις τὸ μὲν πρῶτον ἐδόκει μωρία εἶναι 41.3
to-the and Lacedaemonians the indeed first it-seemed folly to-be
ταῦτα, ἔπειτα (ἐπεθύμουν γὰρ τὸ Ἄργος πάντως φίλιον
these-things then they-desired for — Argos at-all-costs friendly
ἔχειν) ξυνεχώρησαν ἐφ᾽ οἷς ἠξίουν καὶ ξυνεγράψαντο.
to-have they-agreed on what they-claimed and drew-up-in-writing
ἐκέλευον δ᾽ οἱ Λακεδαιμόνιοι, πρὶν τέλος τι αὐτῶν ἔχειν,
bade and the Lacedaemonians before completion any of-it to-have
ἐς τὸ Ἄργος πρῶτον ἐπαναχωρήσαντας αὐτοὺς δεῖξαι
to — Argos first having-gone-back them to-show-it

τῷ πλήθει, καὶ ἢν ἀρέσκοντα ᾖ, ἥκειν ἐς τὰ Ὑακίνθια
to-the people and if pleasing it-be to-come for the Hyacinthia
τοὺς ὅρκους ποιησομένους. καὶ οἱ μὲν ἀνεχώρησαν·
the oaths going-to-make and they indeed withdrew
42.1 ἐν δὲ τῷ χρόνῳ τούτῳ ᾧ οἱ Ἀργεῖοι ταῦτα ἔπρασσον,
in and the time this in-which the Argives these-things were-doing
οἱ πρέσβεις τῶν Λακεδαιμονίων Ἀνδρομένης καὶ Φαίδιμος
the envoys of-the Lacedaemonians Andromenes and Phaedimus
καὶ Ἀντιμενίδας, οὓς ἔδει τὸ Πάνακτον καὶ τοὺς
and Antimenidas whom it-was-necessary — Panactum and the
ἄνδρας τοὺς παρὰ Βοιωτῶν παραλαβόντας Ἀθηναίοις
men those from Boeotians having-received to-Athenians
ἀποδοῦναι, τὸ μὲν Πάνακτον ὑπὸ τῶν Βοιωτῶν αὐτῶν
to-give-back — indeed Panactum by the Boeotians themselves
καθῃρημένον ηὗρον, ἐπὶ προφάσει ὡς ἦσάν ποτε
demolished found on pretext that there-had-been once
Ἀθηναίοις καὶ Βοιωτοῖς ἐκ διαφορᾶς περὶ αὐτοῦ ὅρκοι
for-Athenians and Boeotians from a-dispute about it oaths
παλαιοὶ μηδετέρους οἰκεῖν τὸ χωρίον, ἀλλὰ κοινῇ
old that-neither to-inhabit the place but in-common
νέμειν, τοὺς δ' ἄνδρας οὓς εἶχον αἰχμαλώτους Βοιωτοὶ
to-graze-it the and men whom they-held prisoners Boeotians
Ἀθηναίων παραλαβόντες οἱ περὶ τὸν Ἀνδρομένη ἐκόμισαν
of-Athenians having-received the around — Andromenes brought
τοῖς Ἀθηναίοις καὶ ἀπέδοσαν, τοῦ τε Πανάκτου τὴν
to-the Athenians and gave-back — both of-Panactum the
καθαίρεσιν ἔλεγον αὐτοῖς, νομίζοντες καὶ τοῦτο ἀποδιδόναι·
demolition they-told them thinking also this to-give-back
πολέμιον γὰρ οὐκέτι ἐν αὐτῷ Ἀθηναίοις οἰκήσειν οὐδένα.
enemy for no-longer in it for-Athenians to-dwell no-one

λεγομένων δὲ τούτων οἱ Ἀθηναῖοι δεινὰ ἐποίουν, 42.2
being-said and these-things the Athenians terrible-things made
νομίζοντες ἀδικεῖσθαι ὑπὸ Λακεδαιμονίων τοῦ τε Πανάκτου
thinking to-be-wronged by Lacedaemonians — both of-Panactum
τῇ καθαιρέσει, ὃ ἔδει ὀρθὸν παραδοῦναι, καὶ
by-the demolition which was-needed standing to-hand-over and
πυνθανόμενοι ὅτι καὶ Βοιωτοῖς ἰδίᾳ ξυμμαχίαν πεποίηνται,
learning that also with-Boeotians privately alliance they-had-made
φάσκοντες πρότερον κοινῇ τοὺς μὴ δεχομένους τὰς
claiming before in-common those not accepting the
σπονδὰς προσαναγκάσειν. τά τε ἄλλα ἐσκόπουν ὅσα
treaty to-compel the both other-things they-considered how-much
ἐξελελοίπεσαν τῆς ξυνθήκης καὶ ἐνόμιζον ἐξηπατῆσθαι, ὥστε
they-had-fallen-short of-the agreement and thought to-have-been-deceived so-that
χαλεπῶς πρὸς τοὺς πρέσβεις ἀποκρινάμενοι ἀπέπεμψαν.
harshly to the envoys having-answered they-dismissed-them

Alcibiades is still young but well born, and he is one of those who oppose the peace. He resents that the Spartans dealt through Nicias and Laches and ignored him. He invites the Argives to Athens. Spartan envoys arrive with full powers. Alcibiades promises them Pylos if they deny their powers before the assembly, and then denounces them as men who never say the same thing twice. An earthquake ends the meeting. Nicias goes to Sparta, but the Spartans keep their Boeotian alliance and only renew the oaths. Athens makes a hundred-year alliance with Argos, Mantinea, and Elis, given in full. The Corinthians stay out and turn back to Sparta.

43.1 κατὰ τοιαύτην δὴ διαφορὰν ὄντων τῶν Λακεδαιμονίων
at such indeed difference being the Lacedaemonians
πρὸς τοὺς Ἀθηναίους, οἱ ἐν ταῖς Ἀθήναις αὖ βουλόμενοι
with the Athenians those in — Athens in-turn wishing
λῦσαι τὰς σπονδὰς εὐθὺς ἐνέκειντο.
to-dissolve the treaty at-once pressed

43.2 ἦσαν δὲ ἄλλοι τε καὶ Ἀλκιβιάδης ὁ Κλεινίου, ἀνὴρ
were and others both and Alcibiades the son-of-Clinias a-man
ἡλικίᾳ μὲν ἔτι τότε ὢν νέος ὡς ἐν ἄλλῃ πόλει, ἀξιώματι
in-age indeed still then being young as in another city by-dignity
δὲ προγόνων τιμώμενος· ᾧπερ ἐδόκει μὲν καὶ ἄμεινον
but of-ancestors honored to-whom it-seemed indeed also better
εἶναι πρὸς τοὺς Ἀργείους μᾶλλον χωρεῖν, οὐ μέντοι ἀλλὰ
to-be to the Argives rather to-go not however but
καὶ φρονήματι φιλονικῶν ἠναντιοῦτο, ὅτι Λακεδαιμόνιοι
also from-pride being-contentious he-opposed because Lacedaemonians
διὰ Νικίου καὶ Λάχητος ἔπραξαν τὰς σπονδάς, ἑαυτὸν
through Nicias and Laches had-negotiated the treaty himself
κατά τε τὴν νεότητα ὑπεριδόντες καὶ κατὰ τὴν
on-account both the youth having-overlooked and on-account the
παλαιὰν προξενίαν ποτὲ οὖσαν οὐ τιμήσαντες, ἣν τοῦ
old proxeny once existing not having-honored which the

πάππου ἀπειπόντος αὐτὸς τοὺς ἐκ τῆς νήσου αὐτῶν
grandfather having-renounced himself those from the island their
αἰχμαλώτους θεραπεύων διενοεῖτο ἀνανεώσασθαι.
prisoners courting intended to-renew
πανταχόθεν τε νομίζων ἐλασσοῦσθαι τό τε πρῶτον 43.3
from-all-sides both thinking to-be-slighted the both first
ἀντεῖπεν, οὐ βεβαίους φάσκων εἶναι Λακεδαιμονίους, ἀλλ᾽
he-spoke-against-it not reliable saying to-be Lacedaemonians but
ἵνα Ἀργείους σφίσι σπεισάμενοι ἐξέλωσι καὶ αὖθις
so-that Argives with-them having-made-treaty they-might-destroy and again
ἐπ᾽ Ἀθηναίους μόνους ἴωσι, τούτου ἕνεκα σπένδεσθαι
against Athenians alone they-might-come for-this sake to-make-treaty
αὐτούς, καὶ τότε, ἐπειδὴ ἡ διαφορὰ ἐγεγένητο, πέμπει εὐθὺς
them and then when the difference had-arisen he-sends at-once
ἐς Ἄργος ἰδίᾳ, κελεύων ὡς τάχιστα ἐπὶ τὴν ξυμμαχίαν
to Argos privately bidding as quickly-as-possible for the alliance
προκαλουμένους ἥκειν μετὰ Μαντινέων καὶ Ἠλείων, ὡς
inviting to-come with Mantineans and Eleans as
καιροῦ ὄντος καὶ αὐτὸς ξυμπράξων τὰ μάλιστα.
the-moment being and himself going-to-help the most
οἱ δὲ Ἀργεῖοι ἀκούσαντες τῆς τε ἀγγελίας καὶ ἐπειδὴ 44.1
the and Argives having-heard the both message and when
ἔγνωσαν οὐ μετ᾽ Ἀθηναίων πραχθεῖσαν τὴν τῶν Βοιωτῶν
they-knew not with Athenians made the of-the Boeotians
ξυμμαχίαν, ἀλλ᾽ ἐς διαφορὰν μεγάλην καθεστῶτας αὐτοὺς
alliance but into difference great having-fallen them
πρὸς τοὺς Λακεδαιμονίους, τῶν μὲν ἐν Λακεδαίμονι
with the Lacedaemonians the indeed in Lacedaemon
πρέσβεων, οἳ σφίσι περὶ τῶν σπονδῶν ἔτυχον ἀπόντες,
envoys who for-them about the treaty happened being-away
ἠμέλουν, πρὸς δὲ τοὺς Ἀθηναίους μᾶλλον τὴν γνώμην
they-neglected toward and the Athenians rather the mind

εἶχον, νομίζοντες πόλιν τε σφίσι φιλίαν ἀπὸ παλαιοῦ καὶ
they-had thinking a-city both to-them friendly from of-old and
δημοκρατουμένην ὥσπερ καὶ αὐτοὶ καὶ δύναμιν μεγάλην
democratically-governed as also themselves and power great
ἔχουσαν τὴν κατὰ θάλασσαν ξυμπολεμήσειν σφίσιν, ἢν
having the by sea to-fight-with them if
καθιστῶνται ἐς πόλεμον.
they-enter into war

44.2 ἔπεμπον οὖν εὐθὺς πρέσβεις ὡς τοὺς Ἀθηναίους περὶ τῆς
they-sent then at-once envoys to the Athenians about the
ξυμμαχίας· ξυνεπρεσβεύοντο δὲ καὶ Ἠλεῖοι καὶ Μαντινῆς.
alliance joined-in-the-embassy and also Eleans and Mantineans

44.3 ἀφίκοντο δὲ καὶ Λακεδαιμονίων πρέσβεις κατὰ τάχος,
arrived and also of-Lacedaemonians envoys in haste
δοκοῦντες ἐπιτήδειοι εἶναι τοῖς Ἀθηναίοις, Φιλοχαρίδας
seeming acceptable to-be to-the Athenians Philocharidas
καὶ Λέων καὶ Ἔνδιος, δείσαντες μὴ τήν τε ξυμμαχίαν
and Leon and Endius fearing lest the both alliance
ὀργιζόμενοι πρὸς τοὺς Ἀργείους ποιήσωνται, καὶ ἅμα
being-angry with the Argives they-make and at-the-same-time
Πύλον ἀπαιτήσοντες ἀντὶ Πανάκτου καὶ περὶ τῆς Βοιωτῶν
Pylos going-to-ask-back for Panactum and about the of-Boeotians
ξυμμαχίας ἀπολογησόμενοι, ὡς οὐκ ἐπὶ κακῷ τῶν
alliance going-to-defend-themselves that not for harm of-the
Ἀθηναίων ἐποιήσαντο.
Athenians they-had-made-it

45.1 καὶ λέγοντες ἐν τῇ βουλῇ περί τε τούτων καὶ ὡς
and speaking in the council about both these-things and that
αὐτοκράτορες ἥκουσι περὶ πάντων ξυμβῆναι τῶν
with-full-powers they-have-come about all to-come-to-terms the
διαφόρων, τὸν Ἀλκιβιάδην ἐφόβουν μὴ καί, ἢν ἐς
differences — Alcibiades they-frightened lest even if before

τὸν δῆμον ταῦτα λέγωσιν, ἐπαγάγωνται τὸ πλῆθος καὶ
the people these-things they-say they-may-win-over the multitude and
ἀπωσθῇ ἡ Ἀργείων ξυμμαχία.
be-rejected the of-Argives alliance
μηχανᾶται δὲ πρὸς αὐτοὺς τοιόνδε τι ὁ Ἀλκιβιάδης· 45.2
contrives and against them such a-thing — Alcibiades
τοὺς Λακεδαιμονίους πείθει πίστιν αὐτοῖς δούς, ἢν μὴ
the Lacedaemonians persuades a-pledge to-them giving if not
ὁμολογήσωσιν ἐν τῷ δήμῳ αὐτοκράτορες ἥκειν, Πύλον
they-acknowledge in the people with-full-powers to-have-come Pylos
τε αὐτοῖς ἀποδώσειν (πείσειν γὰρ αὐτὸς Ἀθηναίους,
both to-them to-give-back to-persuade for himself Athenians
ὥσπερ καὶ νῦν ἀντιλέγειν) καὶ τἆλλα ξυναλλάξειν.
as also now to-speak-against and the-rest to-reconcile
βουλόμενος δὲ αὐτοὺς Νικίου τε ἀποστῆσαι ταῦτα 45.3
wishing and them from-Nicias both to-detach these-things
ἔπρασσε καὶ ὅπως ἐν τῷ δήμῳ διαβαλὼν αὐτοὺς ὡς
he-did and so-that in the people having-discredited them as
οὐδὲν ἀληθὲς ἐν νῷ ἔχουσιν οὐδὲ λέγουσιν οὐδέποτε ταὐτά,
nothing true in mind they-have nor they-say ever the-same
τοὺς Ἀργείους καὶ Ἠλείους καὶ Μαντινέας ξυμμάχους
the Argives and Eleans and Mantineans allies
ποιήσῃ. καὶ ἐγένετο οὕτως.
he-might-make and it-happened so
ἐπειδὴ γὰρ ἐς τὸν δῆμον παρελθόντες καὶ ἐπερωτώμενοι 45.4
when for to the people having-come-forward and being-questioned
οὐκ ἔφασαν ὥσπερ ἐν τῇ βουλῇ αὐτοκράτορες ἥκειν,
not said as in the council with-full-powers to-have-come
οἱ Ἀθηναῖοι οὐκέτι ἠνείχοντο, ἀλλὰ τοῦ Ἀλκιβιάδου πολλῷ
the Athenians no-longer bore-it but — Alcibiades much
μᾶλλον ἢ πρότερον καταβοῶντος τῶν Λακεδαιμονίων
more than before shouting-against the Lacedaemonians

ἐσήκουόν τε καὶ ἑτοῖμοι ἦσαν εὐθὺς παραγαγόντες
listened both and ready were at-once having-brought-forward
τοὺς Ἀργείους καὶ τοὺς μετ' αὐτῶν ξυμμάχους ποιεῖσθαι·
the Argives and those with them allies to-make
σεισμοῦ δὲ γενομένου πρίν τι ἐπικυρωθῆναι, ἡ
an-earthquake and having-occurred before anything to-be-ratified the
ἐκκλησία αὖτη ἀνεβλήθη.
assembly this was-adjourned

46.1 τῇ δ' ὑστεραίᾳ ἐκκλησίᾳ ὁ Νικίας, καίπερ τῶν
in-the and next-day assembly — Nicias although the
Λακεδαιμονίων αὐτῶν ἠπατημένων καὶ αὐτὸς ἐξηπατημένος
Lacedaemonians themselves having-been-deceived and himself having-been-deceived
περὶ τοῦ μὴ αὐτοκράτορας ὁμολογῆσαι ἥκειν, ὅμως τοῖς
about the not with-full-powers to-acknowledge to-have-come nevertheless to-the
Λακεδαιμονίοις ἔφη χρῆναι φίλους μᾶλλον γίγνεσθαι, καὶ
Lacedaemonians said it-was-necessary friends rather to-become and
ἐπισχόντας τὰ πρὸς Ἀργείους πέμψαι ἔτι ὡς αὐτοὺς καὶ
having-held-back the-things with Argives to-send still to them and
εἰδέναι ὅτι διανοοῦνται, λέγων ἐν μὲν τῷ σφετέρῳ καλῷ,
to-know what they-intend saying in indeed the their-own honor
ἐν δὲ τῷ ἐκείνων ἀπρεπεῖ τὸν πόλεμον ἀναβάλλεσθαι·
in but the their discredit the war to-be-postponed
σφίσι μὲν γὰρ εὖ ἑστώτων τῶν πραγμάτων ὡς ἐπὶ
for-them indeed for well standing the affairs as for
πλεῖστον ἄριστον εἶναι διασώσασθαι τὴν εὐπραγίαν, ἐκείνοις
most best to-be to-preserve the prosperity for-those
δὲ δυστυχοῦσιν ὅτι τάχιστα εὕρημα εἶναι διακινδυνεῦσαι.
but being-unfortunate as quickly-as-possible a-windfall to-be to-run-the-risk

46.2 ἔπεισέ τε πέμψαι πρέσβεις, ὧν καὶ αὐτὸς ἦν,
he-persuaded and to-send envoys of-whom also himself was
κελεύσοντας Λακεδαιμονίους, εἴ τι δίκαιον διανοοῦνται,
going-to-bid Lacedaemonians if anything just they-intend

Πάνακτόν τε ὀρθὸν ἀποδιδόναι καὶ Ἀμφίπολιν, καὶ τὴν
Panactum both standing to-give-back and Amphipolis and the
Βοιωτῶν ξυμμαχίαν ἀνεῖναι, ἢν μὴ ἐς τὰς σπονδὰς ἐσίωσι,
of-Boeotians alliance to-give-up if not into the treaty they-enter
καθάπερ εἴρητο ἄνευ ἀλλήλων μηδενὶ ξυμβαίνειν.
as had-been-stated without one-another with-no-one to-come-to-terms
εἰπεῖν τε ἐκέλευον ὅτι καὶ σφεῖς, εἰ ἐβούλοντο ἀδικεῖν, ἤδη 46.3
to-say and they-bade that also they if they-had-wished to-do-wrong already
ἂν Ἀργείους ξυμμάχους πεποιῆσθαι, ὡς παρεῖναί γ' αὐτοὺς
— Argives allies to-have-made since to-be-present at-least them
αὐτοῦ τούτου ἕνεκα. εἴ τέ τι ἄλλο ἐνεκάλουν, πάντα
for-very this-thing sake and if any other they-complained-of all
ἐπιστείλαντες ἀπέπεμψαν τοὺς περὶ τὸν Νικίαν πρέσβεις.
having-instructed they-sent-off those around — Nicias envoys
καὶ ἀφικομένων αὐτῶν καὶ ἀπαγγειλάντων τά τε ἄλλα καὶ 46.4
and having-arrived they and having-reported the both other-things and
τέλος εἰπόντων ὅτι εἰ μὴ τὴν ξυμμαχίαν ἀνήσουσι Βοιωτοῖς
finally having-said that if not the alliance they-will-give-up to-Boeotians
μὴ ἐσιοῦσιν ἐς τὰς σπονδάς, ποιήσονται καὶ αὐτοὶ Ἀργείους
not entering into the treaty they-will-make also themselves Argives
καὶ τοὺς μετ' αὐτῶν ξυμμάχους, τὴν μὲν ξυμμαχίαν οἱ
and those with them allies the indeed alliance the
Λακεδαιμόνιοι Βοιωτοῖς οὐκ ἔφασαν ἀνήσειν, ἐπικρατούντων
Lacedaemonians to-Boeotians not said to-give-up prevailing
τῶν περὶ τὸν Ξενάρη τὸν ἔφορον ταῦτα γίγνεσθαι καὶ
those around — Xenares the ephor these-things to-be and
ὅσοι ἄλλοι τῆς αὐτῆς γνώμης ἦσαν, τοὺς δὲ ὅρκους
as-many-as others of-the same opinion were the and oaths
δεομένου Νικίου ἀνενεώσαντο· ἐφοβεῖτο γὰρ μὴ πάντα
at-the-request-of Nicias they-renewed he-feared for lest everything

ἀτελῆ ἔχων ἀπέλθῃ καὶ διαβληθῇ, ὅπερ καὶ ἐγένετο,
unaccomplished having be-should-go-away and be-discredited which-very also happened
αἴτιος δοκῶν εἶναι τῶν πρὸς Λακεδαιμονίους σπονδῶν.
responsible seeming to-be for-the with Lacedaemonians treaty
46.5 ἀναχωρήσαντός τε αὐτοῦ ὡς ἤκουσαν οἱ Ἀθηναῖοι οὐδὲν
having-returned both he when heard the Athenians nothing
ἐκ τῆς Λακεδαίμονος πεπραγμένον, εὐθὺς δι᾽ ὀργῆς εἶχον,
from — Lacedaemon having-been-done at-once in anger they-were
καὶ νομίζοντες ἀδικεῖσθαι (ἔτυχον γὰρ παρόντες οἱ Ἀργεῖοι
and thinking to-be-wronged happened for being-present the Argives
καὶ οἱ ξύμμαχοι) παραγαγόντος Ἀλκιβιάδου ἐποιήσαντο
and the allies having-introduced-them Alcibiades they-made
σπονδὰς καὶ ξυμμαχίαν πρὸς αὐτοὺς τήνδε.
a-treaty and alliance with them as-follows
47.1 Σπονδὰς ἐποιήσαντο ἑκατὸν Ἀθηναίοι ἔτη καὶ Ἀργεῖοι
a-treaty made for-a-hundred Athenians years and Argives
καὶ Μαντινῆς καὶ Ἠλεῖοι πρὸς ἀλλήλους, ὑπὲρ σφῶν
and Mantineans and Eleans with one-another on-behalf-of them
αὐτῶν καὶ τῶν ξυμμάχων ὧν ἄρχουσιν ἑκάτεροι, ἀδόλους
selves and the allies whom rule each without-fraud
καὶ ἀβλαβεῖς καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν.
and without-harm both by land and by sea
47.2 ὅπλα δὲ μὴ ἐξέστω ἐπιφέρειν ἐπὶ πημονῇ μήτε
arms and not let-it-be-permitted to-bear for harm neither
Ἀργείους καὶ Ἠλείους καὶ Μαντινέας καὶ τοὺς ξυμμάχους
Argives and Eleans and Mantineans and the allies
ἐπὶ Ἀθηναίους καὶ τοὺς ξυμμάχους ὧν ἄρχουσιν Ἀθηναῖοι
against Athenians and the allies whom rule Athenians
μήτε Ἀθηναίους καὶ τοὺς ξυμμάχους ὧν ἄρχουσιν Ἀθηναῖοι
nor Athenians and the allies whom rule Athenians

ἐπὶ Ἀργείους καὶ Ἠλείους καὶ Μαντινέας καὶ τοὺς
against Argives and Eleans and Mantineans and the
ξυμμάχους, τέχνῃ μηδὲ μηχανῇ μηδεμιᾷ.
allies by-craft nor device any
κατὰ τάδε ξυμμάχους εἶναι Ἀθηναίους καὶ Ἀργείους καὶ 47.3
on these-terms allies to-be Athenians and Argives and
Μαντινέας καὶ Ἠλείους ἑκατὸν ἔτη. ἢν πολέμιοι ἴωσιν ἐπὶ
Mantineans and Eleans a-hundred years if enemies come against
τὴν γῆν τὴν Ἀθηναίων, βοηθεῖν Ἀργείους καὶ Μαντινέας
the land the of-Athenians to-help Argives and Mantineans
καὶ Ἠλείους Ἀθήναζε, καθ' ὅτι ἂν ἐπαγγέλλωσιν Ἀθηναῖοι,
and Eleans to-Athens by what — summon Athenians
τρόπῳ ὁποίῳ ἂν δύνωνται ἰσχυροτάτῳ κατὰ τὸ δυνατόν·
in-way whatever — they-can strongest by the possible
ἢν δὲ δῃώσαντες οἴχωνται, πολεμίαν εἶναι ταύτην τὴν
if but having-ravaged they-depart hostile to-be this the
πόλιν Ἀργείοις καὶ Μαντινεῦσι καὶ Ἠλείοις καὶ Ἀθηναίοις
city to-Argives and Mantineans and Eleans and Athenians
καὶ κακῶς πάσχειν ὑπὸ ἁπασῶν τῶν πόλεων τούτων·
and harm to-suffer by all the cities these
καταλύειν δὲ μὴ ἐξεῖναι τὸν πόλεμον πρὸς ταύτην τὴν
to-end but not to-be-permitted the war against this the
πόλιν μηδεμιᾷ τῶν πόλεων, ἢν μὴ ἁπάσαις δοκῇ.
city for-any of-the cities if not to-all it-seems-good
βοηθεῖν δὲ καὶ Ἀθηναίους ἐς Ἄργος καὶ Μαντίνειαν καὶ 47.4
to-help and also Athenians to Argos and Mantinea and
Ἦλιν, ἢν πολέμιοι ἴωσιν ἐπὶ τὴν γῆν τὴν Ἀργείων ἢ τὴν
Elis if enemies come against the land the of-Argives or the
Μαντινέων ἢ τὴν Ἠλείων, καθ' ὅτι ἂν ἐπαγγέλλωσιν αἱ
of-Mantineans or the of-Eleans by what — summon the
πόλεις αὗται, τρόπῳ ὁποίῳ ἂν δύνωνται ἰσχυροτάτῳ κατὰ
cities these in-way whatever — they-can strongest by

τὸ δυνατόν· ἢν δὲ δηώσαντες οἴχωνται, πολεμίαν εἶναι
the possible if but having-ravaged they-depart hostile to-be
ταύτην τὴν πόλιν Ἀθηναίοις καὶ Ἀργείοις καὶ Μαντινεῦσι
this the city to-Athenians and Argives and Mantineans
καὶ Ἠλείοις καὶ κακῶς πάσχειν ὑπὸ ἁπασῶν τούτων τῶν
and Eleans and harm to-suffer by all these the
πόλεων· καταλύειν δὲ μὴ ἐξεῖναι τὸν πόλεμον πρὸς ταύτην
cities to-end but not to-be-permitted the war against this
τὴν πόλιν μηδεμιᾷ τῶν πόλεων, ἢν μὴ ἁπάσαις δοκῇ.
the city for-any of-the cities if not to-all it-seems-good
47.5 ὅπλα δὲ μὴ ἐᾶν ἔχοντας διέναι ἐπὶ πολέμῳ διὰ τῆς
arms and not to-allow bearing to-go-through for war through the
γῆς τῆς σφετέρας αὐτῶν καὶ τῶν ξυμμάχων ὧν ἄρχουσιν
land the their own and of-the allies whom rule
ἕκαστοι, μηδὲ κατὰ θάλασσαν, ἢν μὴ ψηφισαμένων τῶν
each nor by sea if not having-voted the
πόλεων ἁπασῶν τὴν δίοδον εἶναι, Ἀθηναίων καὶ Ἀργείων
cities all the passage to-be of-Athenians and Argives
καὶ Μαντινέων καὶ Ἠλείων.
and Mantineans and Eleans
47.6 τοῖς δὲ βοηθοῦσιν ἡ πόλις ἡ πέμπουσα παρεχέτω μέχρι
to-those and coming-to-help the city the sending let-provide up-to
μὲν τριάκοντα ἡμερῶν σῖτον, ἐπὴν ἔλθωσιν ἐς τὴν πόλιν
indeed thirty days grain when they-come to the city
τὴν ἐπαγγείλασαν βοηθεῖν, καὶ ἀπιοῦσι κατὰ ταὐτά·
the having-summoned to-help and returning on the-same-terms
ἢν δὲ πλέονα βούληται χρόνον τῇ στρατιᾷ χρῆσθαι, ἡ
if and longer it-wishes time the army to-use the
πόλις ἡ μεταπεμψαμένη διδότω σῖτον, τῷ μὲν ὁπλίτῃ
city the having-sent-for let-give grain to-the indeed hoplite

καὶ ψιλῷ καὶ τοξότῃ τρεῖς ὀβολοὺς Αἰγιναίους τῆς
and light-armed and archer three obols Aeginetan for-the
ἡμέρας ἑκάστης, τῷ δ' ἱππεῖ δραχμὴν Αἰγιναίαν.
day each to-the and horseman a-drachma Aeginetan
ἡ δὲ πόλις ἡ μεταπεμψαμένη τῇ στρατιᾷ τὴν ἡγεμονίαν 47.7
the and city the having-sent-for for-the army the command
ἐχέτω, ὅταν ἐν τῇ αὑτῆς ὁ πόλεμος ᾖ· ἢν δέ ποι
let-hold when in the its-own the war is if and anywhere
δόξῃ ἁπάσαις ταῖς πόλεσι κοινῇ στρατεύεσθαι, τὸ
it-seems-good to-all the cities in-common to-campaign the
ἴσον τῆς ἡγεμονίας μετεῖναι ἁπάσαις ταῖς πόλεσιν.
equal of-the command to-belong to-all the cities
ὀμόσαι δὲ τὰς σπονδὰς Ἀθηναίους μὲν ὑπέρ τε σφῶν 47.8
to-swear and the treaty Athenians indeed on-behalf-of both them
αὐτῶν καὶ τῶν ξυμμάχων, Ἀργεῖοι δὲ καὶ Μαντινῆς καὶ
selves and the allies Argives and and Mantineans and
Ἠλεῖοι καὶ οἱ ξύμμαχοι τούτων κατὰ πόλεις ὀμνύντων.
Eleans and the allies of-these by cities let-swear
ὀμνύντων δὲ τὸν ἐπιχώριον ὅρκον ἕκαστοι τὸν μέγιστον
let-swear and the local oath each the greatest
κατὰ ἱερῶν τελείων. ὁ δὲ ὅρκος ἔστω ὅδε· "ἐμμενῶ τῇ
over victims full-grown the and oath let-be this I-will-abide-by the
ξυμμαχίᾳ κατὰ τὰ ξυγκείμενα δικαίως καὶ ἀβλαβῶς καὶ
alliance according-to the agreements justly and harmlessly and
ἀδόλως, καὶ οὐ παραβήσομαι τέχνῃ οὐδὲ μηχανῇ οὐδεμιᾷ."
without-fraud and not I-will-transgress by-craft nor device any
ὀμνύντων δὲ Ἀθήνησι μὲν ἡ βουλὴ καὶ αἱ ἔνδημοι ἀρχαί, 47.9
let-swear and at-Athens indeed the council and the home magistrates
ἐξορκούντων δὲ οἱ πρυτάνεις· ἐν Ἄργει δὲ ἡ βουλὴ καὶ οἱ
let-administer-the-oath and the prytaneis in Argos and the council and the
ὀγδοήκοντα καὶ οἱ ἀρτῦναι, ἐξορκούντων δὲ οἱ ὀγδοήκοντα·
eighty and the artynae let-administer-the-oath and the eighty

ἐν δὲ Μαντινείᾳ οἱ δημιουργοὶ καὶ ἡ βουλὴ καὶ αἱ ἄλλαι
in and Mantinea the demiurgi and the council and the other
ἀρχαί, ἐξορκούντων δὲ οἱ θεωροὶ καὶ οἱ πολέμαρχοι· ἐν δὲ
magistrates let-administer-the-oath and the theori and the polemarchs in and
Ἤλιδι οἱ δημιουργοὶ καὶ οἱ τὰ τέλη ἔχοντες καὶ οἱ ἑξακόσιοι,
Elis the demiurgi and those the offices holding and the six-hundred
ἐξορκούντων δὲ οἱ δημιουργοὶ καὶ οἱ θεσμοφύλακες.
let-administer-the-oath and the demiurgi and the thesmophylaces
47.10 ἀνανεοῦσθαι δὲ τοὺς ὅρκους Ἀθηναίους μὲν ἰόντας ἐς Ἦλιν
to-renew and the oaths Athenians indeed going to Elis
καὶ ἐς Μαντίνειαν καὶ ἐς Ἄργος τριάκοντα ἡμέραις πρὸ
and to Mantinea and to Argos thirty days before
Ὀλυμπίων, Ἀργείους δὲ καὶ Ἠλείους καὶ Μαντινέας ἰόντας
the-Olympia Argives and and Eleans and Mantineans going
Ἀθήναζε δέκα ἡμέραις πρὸ Παναθηναίων τῶν μεγάλων.
to-Athens ten days before the-Panathenaea the great
47.11 τὰς δὲ ξυνθήκας τὰς περὶ τῶν σπονδῶν καὶ τῶν
the and agreements the about the treaty and the
ὅρκων καὶ τῆς ξυμμαχίας ἀναγράψαι ἐν στήλῃ λιθίνῃ
oaths and the alliance to-inscribe on a-pillar of-stone
Ἀθηναίους μὲν ἐν πόλει, Ἀργείους δὲ ἐν ἀγορᾷ ἐν
Athenians indeed on the-acropolis Argives and in market-place in
τοῦ Ἀπόλλωνος τῷ ἱερῷ, Μαντινέας δὲ ἐν τοῦ Διὸς
— of-Apollo the temple Mantineans and in — of-Zeus
τῷ ἱερῷ ἐν τῇ ἀγορᾷ· καταθέντων δὲ καὶ Ὀλυμπίασι
the temple in the market-place let-set-up and also at-Olympia
στήλην χαλκῆν κοινῇ Ὀλυμπίοις τοῖς νυνί.
a-pillar bronze in-common at-Olympic-games the present

ἐὰν δέ τι δοκῇ ἄμεινον εἶναι ταῖς πόλεσι ταύταις 47.12
if and anything seems better to-be to-the cities these
προσθεῖναι πρὸς τοῖς ξυγκειμένοις, ὅτι ἂν δόξῃ ταῖς
to-add to the agreements whatever — seems-good to-the
πόλεσιν ἁπάσαις κοινῇ βουλευομέναις, τοῦτο κύριον εἶναι.᾽
cities all in-common deliberating this binding to-be
αἱ μὲν σπονδαὶ καὶ ἡ ξυμμαχία οὕτως ἐγένοντο, καὶ αἱ 48.1
the indeed treaty and the alliance thus was-made and the
τῶν Λακεδαιμονίων καὶ Ἀθηναίων οὐκ ἀπείρηντο τούτου
of-the Lacedaemonians and Athenians not had-been-renounced for-this
ἕνεκα οὐδ᾽ ὑφ᾽ ἑτέρων.
sake not-even by others
Κορίνθιοι δὲ Ἀργείων ὄντες ξύμμαχοι οὐκ ἐσῆλθον ἐς 48.2
Corinthians and of-Argives being allies not entered into
αὐτάς, ἀλλὰ καὶ γενομένης πρὸ τούτου Ἠλείοις καὶ
it but also having-been-made before this for-Eleans and
Ἀργείοις καὶ Μαντινεῦσι ξυμμαχίας, τοῖς αὐτοῖς πολεμεῖν
Argives and Mantineans an-alliance with-the same to-make-war
καὶ εἰρήνην ἄγειν, οὐ ξυνώμοσαν, ἀρκεῖν δ᾽ ἔφασαν
and peace to-keep not they-swore-to-it to-suffice but they-said
σφίσι τὴν πρώτην γενομένην ἐπιμαχίαν, ἀλλήλοις βοηθεῖν,
for-them the first made defensive-alliance one-another to-help
ξυνεπιστρατεύειν δὲ μηδενί.
to-join-in-campaigning but with-no-one
οἱ μὲν Κορίνθιοι οὕτως ἀπέστησαν τῶν ξυμμάχων καὶ 48.3
the indeed Corinthians thus stood-aside from-the allies and
πρὸς τοὺς Λακεδαιμονίους πάλιν τὴν γνώμην εἶχον.
toward the Lacedaemonians again the mind they-had

At the Olympic games the Eleans bar the Spartans, who they say broke the truce by attacking Phyrcus and sending hoplites into Lepreum. Lichas, a Spartan, enters his chariot under a Boeotian name and is whipped for crowning his driver. The Heracleots of Trachis are badly beaten by their neighbors, and the Boeotians take Heraclea over. Alcibiades persuades Patrae to build walls to the sea. The Argives twice ravage Epidaurian land, a conference at Mantinea fails, and the Spartans twice turn back at the border on bad sacrifices. In the winter the Spartans put a garrison into Epidaurus by sea. Athens writes on its pillar that Sparta has broken its oaths, and it brings helots back to Pylos.

49.1 Ὀλύμπια δ' ἐγένετο τοῦ θέρους τούτου, οἷς Ἀνδροσθένης
Olympic-games and took-place the summer this at-which Androsthenes
Ἀρκὰς παγκράτιον τὸ πρῶτον ἐνίκα· καὶ Λακεδαιμόνιοι
an-Arcadian the-pancratium the first won and Lacedaemonians
τοῦ ἱεροῦ ὑπὸ Ἠλείων ἐῤχθησαν ὥστε μὴ θύειν μηδ'
from-the sanctuary by Eleans were-excluded so-as not to-sacrifice nor
ἀγωνίζεσθαι, οὐκ ἐκτίνοντες τὴν δίκην αὐτοῖς ἣν ἐν τῷ
to-compete not paying the fine to-them which in the
Ὀλυμπιακῷ νόμῳ Ἠλεῖοι κατεδικάσαντο αὐτῶν φάσκοντες
Olympic law Eleans had-imposed-on them alleging
ἐς σφᾶς ἐπὶ Φύρκον τε τεῖχος ὅπλα ἐπενεγκεῖν καὶ
against them against Phyrcus both a-fort arms to-have-borne and
ἐς Λέπρεον αὐτῶν ὁπλίτας ἐν ταῖς Ὀλυμπιακαῖς σπονδαῖς
into Lepreum their hoplites in the Olympic truce
ἐσπέμψαι. ἡ δὲ καταδίκη δισχίλιαι μναῖ ἦσαν, κατὰ τὸν
to-have-sent-in the and fine two-thousand minae was by the
ὁπλίτην ἕκαστον δύο μναῖ, ὥσπερ ὁ νόμος ἔχει.
hoplite each two minae as the law holds

Λακεδαιμόνιοι δὲ πρέσβεις πέμψαντες ἀντέλεγον μὴ δικαίως 49.2
Lacedaemonians and envoys having-sent argued not justly
σφῶν καταδεδικάσθαι, λέγοντες μὴ ἐπηγγέλθαι πω ἐς
them to-have-been-fined saying not to-have-been-announced yet at
Λακεδαίμονα τὰς σπονδάς, ὅτ' ἐσέπεμψαν τοὺς ὁπλίτας.
Lacedaemon the truce when they-sent-in the hoplites
Ἠλεῖοι δὲ τὴν παρ' αὐτοῖς ἐκεχειρίαν ἤδη ἔφασαν 49.3
Eleans and the with them truce already said
εἶναι (πρώτοις γὰρ σφίσιν αὐτοῖς ἐπαγγέλλουσιν), καὶ
to-be first for to-them selves they-announce-it and
ἡσυχαζόντων σφῶν καὶ οὐ προσδεχομένων ὡς ἐν σπονδαῖς,
keeping-quiet them and not expecting as in truce
αὐτοὺς λαθεῖν ἀδικήσαντας.
them to-have-escaped-notice having-done-wrong
οἱ δὲ Λακεδαιμόνιοι ὑπελάμβανον οὐ χρεὼν εἶναι αὐτοὺς 49.4
the and Lacedaemonians replied not needful to-be them
ἐπαγγεῖλαι ἔτι ἐς Λακεδαίμονα, εἰ ἀδικεῖν γε ἤδη
to-announce still to Lacedaemon if to-do-wrong at-least already
ἐνόμιζον αὐτούς, ἀλλ' οὐχ ὡς νομίζοντας τοῦτο δρᾶσαι,
they-thought them but not as thinking this to-have-done
καὶ ὅπλα οὐδαμόσε ἔτι αὐτοῖς ἐπενεγκεῖν.
and arms nowhere any-longer to-them to-have-borne
Ἠλεῖοι δὲ τοῦ αὐτοῦ λόγου εἴχοντο, ὡς μὲν οὐκ 49.5
Eleans and to-the same argument held that indeed not
ἀδικοῦσι μὴ ἂν πεισθῆναι, εἰ δὲ βούλονται σφίσι Λέπρεον
they-do-wrong not — to-be-persuaded if but they-wish to-them Lepreum
ἀποδοῦναι, τό τε αὑτῶν μέρος ἀφιέναι τοῦ ἀργυρίου, καὶ
to-give-back the both their-own part to-remit of-the money and
ὃ τῷ θεῷ γίγνεται αὐτοὶ ὑπὲρ ἐκείνων ἐκτίσειν.
what to-the god comes they-themselves on-behalf-of them to-pay

50.1 ὡς δ' οὐκ ἐσήκουον, αὖθις τάδε ἠξίουν, Λέπρεον
when and not they-listened again these-things they-demanded Lepreum
μὲν μὴ ἀποδοῦναι, εἰ μὴ βούλονται, ἀναβάντας δὲ ἐπὶ
indeed not to-give-back if not they-wish having-gone-up but on
τὸν βωμὸν τοῦ Διὸς τοῦ Ὀλυμπίου, ἐπειδὴ προθυμοῦνται
the altar — of-Zeus the Olympian since they-are-eager
χρῆσθαι τῷ ἱερῷ, ἐπομόσαι ἐναντίον τῶν Ἑλλήνων ἢ
to-use the sanctuary to-swear before the Greeks truly
μὴν ἀποδώσειν ὕστερον τὴν καταδίκην.
indeed to-pay later the fine

50.2 ὡς δὲ οὐδὲ ταῦτα ἤθελον, Λακεδαιμόνιοι μὲν
when and not-even these-things they-were-willing Lacedaemonians indeed
εἴργοντο τοῦ ἱεροῦ καὶ οἴκοι ἔθυον, οἱ δὲ ἄλλοι
were-excluded from-the sanctuary and at-home sacrificed the and other
Ἕλληνες ἐθεώρουν πλὴν Λεπρεατῶν.
Greeks attended except Lepreates

50.3 ὅμως δὲ οἱ Ἠλεῖοι δεδιότες μὴ βίᾳ θύσωσι, ξὺν
nevertheless and the Eleans fearing lest by-force they-sacrifice with
ὅπλοις τῶν νεωτέρων φυλακὴν εἶχον· ἦλθον δὲ αὐτοῖς καὶ
arms of-the younger-men a-guard kept came and to-them also
Ἀργεῖοι καὶ Μαντινῆς, χίλιοι ἑκατέρων, καὶ Ἀθηναίων
Argives and Mantineans a-thousand of-each and of-Athenians
ἱππῆς, οἳ ἐν Ἁρπίνῃ ὑπέμενον τὴν ἑορτήν.
cavalry who at Harpina awaited the festival

50.4 δέος δ' ἐγένετο τῇ πανηγύρει μέγα μὴ ξὺν ὅπλοις
fear and arose for-the festival great lest with arms
ἔλθωσιν οἱ Λακεδαιμόνιοι, ἄλλως τε καὶ ἐπειδὴ καὶ Λίχας
come the Lacedaemonians otherwise both and since also Lichas
ὁ Ἀρκεσιλάου Λακεδαιμόνιος ἐν τῷ ἀγῶνι ὑπὸ τῶν
the son-of-Arcesilaus a-Lacedaemonian in the contest by the
ῥαβδούχων πληγὰς ἔλαβεν, ὅτι νικῶντος τοῦ ἑαυτοῦ
rod-bearers blows received because winning the his-own

ζεύγους καὶ ἀνακηρυχθέντος Βοιωτῶν δημοσίου κατὰ τὴν
team and being-proclaimed of-Boeotians public on-account-of the
οὐκ ἐξουσίαν τῆς ἀγωνίσεως προελθὼν ἐς τὸν ἀγῶνα
not permission of-the competing having-come-forward into the arena
ἀνέδησε τὸν ἡνίοχον, βουλόμενος δηλῶσαι ὅτι ἑαυτοῦ ἦν
crowned the charioteer wishing to-show that his-own was
τὸ ἅρμα· ὥστε πολλῷ δὴ μᾶλλον ἐπεφόβηντο πάντες καὶ
the chariot so-that much indeed more were-afraid all and
ἐδόκει τι νέον ἔσεσθαι. οἱ μέντοι Λακεδαιμόνιοι
it-seemed something new to-be-going-to-happen the however Lacedaemonians
ἡσύχασάν τε καὶ ἡ ἑορτὴ αὐτοῖς οὕτω διῆλθεν.
kept-quiet both and the festival for-them thus passed
ἐς δὲ Κόρινθον μετὰ τὰ Ὀλύμπια Ἀργεῖοί τε καὶ οἱ 50.5
to and Corinth after the Olympic-games Argives both and the
ξύμμαχοι ἀφίκοντο δεησόμενοι αὐτῶν παρὰ σφᾶς ἐλθεῖν. καὶ
allies came going-to-ask them to them to-come and
Λακεδαιμονίων πρέσβεις ἔτυχον παρόντες, καὶ πολλῶν λόγων
of-Lacedaemonians envoys happened being-present and many talks
γενομένων τέλος οὐδὲν ἐπράχθη, ἀλλὰ σεισμοῦ γενομένου
having-taken-place in-the-end nothing was-done but an-earthquake having-occurred
διελύθησαν ἕκαστοι ἐπ᾽ οἴκου. καὶ τὸ θέρος ἐτελεύτα.
they-dispersed each to home and the summer ended
τοῦ δ᾽ ἐπιγιγνομένου χειμῶνος Ἡρακλεώταις τοῖς ἐν 51.1
in-the and following winter for-Heracleots those in
Τραχῖνι μάχη ἐγένετο πρὸς Αἰνιᾶνας καὶ Δόλοπας καὶ
Trachis a-battle took-place against Aenianians and Dolopians and
Μηλιᾶς καὶ Θεσσαλῶν τινάς.
Malians and of-Thessalians some
προσοικοῦντα γὰρ τὰ ἔθνη ταῦτα τῇ πόλει πολέμια ἦν· 51.2
dwelling-near for the peoples these to-the city hostile were
οὐ γὰρ ἐπ᾽ ἄλλῃ τινὶ γῇ ἢ τῇ τούτων τὸ χωρίον
not for against other any land than the their the place

ἐτειχίσθη. καὶ εὐθύς τε καθισταμένῃ τῇ πόλει ἠναντιοῦντο
was-fortified and at-once both being-founded the city they-opposed
ἐς ὅσον ἐδύναντο φθείροντες καὶ τότε τῇ μάχῃ ἐνίκησαν
as far-as they-could ravaging and then in-the battle they-defeated
τοὺς Ἡρακλεώτας, καὶ Ξενάρης ὁ Κνίδιος Λακεδαιμόνιος
the Heracleots and Xenares the son-of-Cnidis a-Lacedaemonian
ἄρχων αὐτῶν ἀπέθανε, διεφθάρησαν δὲ καὶ ἄλλοι τῶν
commander of-them died were-killed and also others of-the
Ἡρακλεωτῶν. καὶ ὁ χειμὼν ἐτελεύτα, καὶ δωδέκατον
Heracleots and the winter ended and twelfth
ἔτος τῷ πολέμῳ ἐτελεύτα.
year for-the war ended

52.1 τοῦ δ' ἐπιγιγνομένου θέρους εὐθὺς ἀρχομένου τὴν Ἡράκλειαν,
in-the and following summer at-once beginning — Heraclea
ὡς μετὰ τὴν μάχην κακῶς ἐφθείρετο, Βοιωτοὶ παρέλαβον,
as after the battle badly it-was-being-ruined Boeotians took-over
καὶ Ἀγησιππίδαν τὸν Λακεδαιμόνιον ὡς οὐ καλῶς ἄρχοντα
and Agesippidas the Lacedaemonian as not well commanding
ἐξέπεμψαν. δείσαντες δὲ παρέλαβον τὸ χωρίον μὴ
sent-away fearing and they-took-over the place lest
Λακεδαιμονίων τὰ κατὰ Πελοπόννησον θορυβουμένων
Lacedaemonians the-affairs in Peloponnese being-in-turmoil
Ἀθηναῖοι λάβωσιν· Λακεδαιμόνιοι μέντοι ὠργίζοντο αὐτοῖς.
Athenians should-take Lacedaemonians however were-angry with-them

52.2 καὶ τοῦ αὐτοῦ θέρους Ἀλκιβιάδης ὁ Κλεινίου στρατηγὸς
and in-the same summer Alcibiades the son-of-Clinias general
ὢν Ἀθηναίων, Ἀργείων καὶ τῶν ξυμμάχων ξυμπρασσόντων,
being of-Athenians Argives and the allies cooperating
ἐλθὼν ἐς Πελοπόννησον μετ' ὀλίγων Ἀθηναίων ὁπλιτῶν
having-come to Peloponnese with few Athenian hoplites
καὶ τοξοτῶν καὶ τῶν αὐτόθεν ξυμμάχων παραλαβὼν τά
and archers and of-the from-there allies having-taken-along the

τε ἄλλα ξυγκαθίστη περὶ τὴν ξυμμαχίαν διαπορευόμενος
both other-things helped-settle about the alliance going-through
Πελοπόννησον τῇ στρατιᾷ, καὶ Πατρέας τε τείχη
Peloponnese with-the army and Patraeans both walls
καθεῖναι ἔπεισεν ἐς θάλασσαν καὶ αὐτὸς ἕτερον διενοεῖτο
to-carry-down persuaded to sea and himself another intended
τειχίσαι ἐπὶ τῷ Ῥίῳ τῷ Ἀχαϊκῷ. Κορίνθιοι δὲ καὶ Σικυώνιοι,
to-fortify at — Rhium the Achaean Corinthians but and Sicyonians
καὶ οἷς ἦν ἐν βλάβῃ τειχισθὲν βοηθήσαντες διεκώλυσαν.
and to-whom it-was to harm fortified having-come-to-help prevented-it
τοῦ δ' αὐτοῦ θέρους Ἐπιδαυρίοις καὶ Ἀργείοις πόλεμος 53.1
in-the and same summer for-Epidaurians and Argives war
ἐγένετο, προφάσει μὲν περὶ τοῦ θύματος τοῦ Ἀπόλλωνος
arose on-pretext indeed about the sacrifice — of-Apollo
τοῦ Πυθαέως, ὃ δέον ἀπαγαγεῖν οὐκ ἀπέπεμπον ὑπὲρ
the Pythaean which being-due to-bring not they-sent on-behalf-of
βοταμίων Ἐπιδαύριοι (κυριώτατοι δὲ τοῦ ἱεροῦ ἦσαν
pasture-lands Epidaurians most-in-control and of-the sanctuary were
Ἀργεῖοι)· ἐδόκει δὲ καὶ ἄνευ τῆς αἰτίας τὴν Ἐπίδαυρον
Argives it-seemed-good and also without the pretext — Epidaurus
τῷ τε Ἀλκιβιάδῃ καὶ τοῖς Ἀργείοις προσλαβεῖν, ἢν δύνωνται,
— both for-Alcibiades and the Argives to-win-over if they-could
τῆς τε Κορίνθου ἕνεκα ἡσυχίας καὶ ἐκ τῆς Αἰγίνης
— both of-Corinth for-sake-of quiet and from — Aegina
βραχυτέραν ἔσεσθαι τὴν βοήθειαν ἢ Σκύλλαιον περιπλεῖν
shorter to-be the help than Scyllaeum to-sail-round
τοῖς Ἀθηναίοις. παρεσκευάζοντο οὖν οἱ Ἀργεῖοι ὡς αὐτοὶ ἐς
for-the Athenians were-preparing then the Argives as themselves into
τὴν Ἐπίδαυρον διὰ τοῦ θύματος τὴν ἔσπραξιν ἐσβαλοῦντες.
— Epidaurus for the sacrifice the exaction going-to-invade

54.1 ἐξεστράτευσαν δὲ καὶ οἱ Λακεδαιμόνιοι κατὰ τοὺς αὐτοὺς
marched-out and also the Lacedaemonians about the same
χρόνους πανδημεὶ ἐς Λεῦκτρα τῆς ἑαυτῶν μεθορίας πρὸς τὸ
times in-full-force to Leuctra of-the their-own border toward —
Λύκαιον, Ἄγιδος τοῦ Ἀρχιδάμου βασιλέως ἡγουμένου· ᾔδει δὲ
Lycaeum Agis the son-of-Archidamus king leading knew but
οὐδεὶς ὅποι στρατεύουσιν, οὐδὲ αἱ πόλεις ἐξ ὧν ἐπέμφθησαν.
no-one where they-were-marching nor the cities from which they-had-been-sent
54.2 ὡς δ' αὐτοῖς τὰ διαβατήρια θυομένοις οὐ προυχώρει,
when and for-them the frontier-sacrifices sacrificing not proved-favorable
αὐτοί τε ἀπῆλθον ἐπ' οἴκου καὶ τοῖς ξυμμάχοις
themselves both went-away to home and to-the allies
περιήγγειλαν μετὰ τὸν μέλλοντα (Καρνεῖος δ' ἦν μήν,
sent-round-word after the coming Carneius and was month
ἱερομηνία Δωριεῦσι) παρασκευάζεσθαι ὡς στρατευσομένους.
holy-month for-Dorians to-prepare as going-to-march
54.3 Ἀργεῖοι δ' ἀναχωρησάντων αὐτῶν τοῦ πρὸ τοῦ Καρνείου
Argives and having-withdrawn they the before — Carneius
μηνὸς ἐξελθόντες τετράδι φθίνοντος, καὶ ἄγοντες τὴν
month having-set-out on-the-fourth waning and keeping the
ἡμέραν ταύτην πάντα τὸν χρόνον, ἐσέβαλον ἐς τὴν
day this all the time invaded into —
Ἐπιδαυρίαν καὶ ἐδῄουν.
Epidaurian-land and ravaged-it
54.4 Ἐπιδαύριοι δὲ τοὺς ξυμμάχους ἐπεκαλοῦντο· ὧν τινὲς οἱ
Epidaurians and the allies called-on of-whom some the
μὲν τὸν μῆνα προυφασίσαντο, οἱ δὲ καὶ ἐς μεθορίαν
indeed the month pleaded-as-excuse the-others and even to the-border
τῆς Ἐπιδαυρίας ἐλθόντες ἡσύχαζον.
— of-Epidaurian-land having-come kept-quiet

καὶ καθ' ὃν χρόνον ἐν τῇ Ἐπιδαύρῳ οἱ Ἀργεῖοι ἦσαν, ἐς 55.1
and in which time in — Epidaurus the Argives were to
Μαντίνειαν πρεσβεῖαι ἀπὸ τῶν πόλεων ξυνῆλθον, Ἀθηναίων
Mantinea embassies from the cities came-together Athenians
παρακαλεσάντων. καὶ γιγνομένων λόγων Εὐφαμίδας ὁ
having-summoned-them and being-held talks Euphamidas the
Κορίνθιος οὐκ ἔφη τοὺς λόγους τοῖς ἔργοις ὁμολογεῖν· σφεῖς
Corinthian not said the words with-the deeds to-agree they
μὲν γὰρ περὶ εἰρήνης ξυγκαθῆσθαι, τοὺς δ' Ἐπιδαυρίους καὶ
indeed for about peace to-be-sitting-together the but Epidaurians and
τοὺς ξυμμάχους καὶ τοὺς Ἀργείους μεθ' ὅπλων ἀντιτετάχθαι·
the allies and the Argives with arms to-be-ranged-opposite
διαλῦσαι οὖν πρῶτον χρῆναι ἀφ' ἑκατέρων ἐλθόντας
to-disband then first it-was-necessary from each-side having-gone
τὰ στρατόπεδα, καὶ οὕτω πάλιν λέγειν περὶ τῆς εἰρήνης.
the armies and thus again to-speak about the peace
καὶ πεισθέντες ᾤχοντο καὶ τοὺς Ἀργείους ἀπήγαγον ἐκ 55.2
and persuaded they-went and the Argives they-led-away from
τῆς Ἐπιδαυρίας. ὕστερον δὲ ἐς τὸ αὐτὸ ξυνελθόντες οὐδ'
— Epidaurian-land later and to the same having-met not-even
ὡς ἐδυνήθησαν ξυμβῆναι, ἀλλ' οἱ Ἀργεῖοι πάλιν ἐς τὴν
so they-were-able to-agree but the Argives again into —
Ἐπιδαυρίαν ἐσέβαλον καὶ ἐδῄουν.
Epidaurian-land invaded and ravaged-it
ἐξεστράτευσαν δὲ καὶ οἱ Λακεδαιμόνιοι ἐς Καρύας, καὶ 55.3
marched-out and also the Lacedaemonians to Caryae and
ὡς οὐδ' ἐνταῦθα τὰ διαβατήρια αὐτοῖς ἐγένετο,
when not-even there the frontier-sacrifices for-them proved-favorable
ἐπανεχώρησαν.
they-withdrew

55.4 Ἀργεῖοι δὲ τεμόντες τῆς Ἐπιδαυρίας ὡς τὸ τρίτον
Argives and having-ravaged — of-Epidaurian-land about the third
μέρος ἀπῆλθον ἐπ᾽ οἴκου. καὶ Ἀθηναίων αὐτοῖς χίλιοι
part went-away to home and of-Athenians to-them a-thousand
ἐβοήθησαν ὁπλῖται καὶ Ἀλκιβιάδης στρατηγός· πυθόμενος
came-to-help hoplites and Alcibiades general having-learned
δὲ τοὺς Λακεδαιμονίους ἐξεστρατεῦσθαι, καὶ ὡς οὐδὲν
and the Lacedaemonians to-have-marched-out and as nothing
ἔτι αὐτῶν ἔδει, ἀπῆλθεν. καὶ τὸ θέρος οὕτω διῆλθεν.
any-longer of-them was-needed went-away and the summer thus passed
56.1 τοῦ δ᾽ ἐπιγιγνομένου χειμῶνος Λακεδαιμόνιοι λαθόντες
in-the and following winter Lacedaemonians having-escaped-notice-of
Ἀθηναίους φρουρούς τε τριακοσίους καὶ Ἀγησιππίδαν
Athenians garrison both three-hundred and Agesippidas
ἄρχοντα κατὰ θάλασσαν ἐς Ἐπίδαυρον ἐσέπεμψαν.
commander by sea to Epidaurus sent-in
56.2 Ἀργεῖοι δ᾽ ἐλθόντες παρ᾽ Ἀθηναίους ἐπεκάλουν ὅτι
Argives and having-come to Athenians complained that
γεγραμμένον ἐν ταῖς σπονδαῖς διὰ τῆς ἑαυτῶν ἑκάστους
it-having-been-written in the treaty through the their-own each
μὴ ἐᾶν πολεμίους διιέναι ἐάσειαν κατὰ θάλασσαν
not to-allow enemies to-go-through they-had-allowed by sea
παραπλεῦσαι· καὶ εἰ μὴ κἀκεῖνοι ἐς Πύλον κομιοῦσιν ἐπὶ
to-sail-along and if not those-too to Pylos will-bring against
Λακεδαιμονίους τοὺς Μεσσηνίους καὶ Εἵλωτας, ἀδικήσεσθαι
Lacedaemonians the Messenians and Helots to-be-wronged
αὐτοί.
they-themselves
56.3 Ἀθηναῖοι δὲ Ἀλκιβιάδου πείσαντος τῇ μὲν Λακωνικῇ
Athenians and Alcibiades having-persuaded-them on-the indeed Laconian
στήλῃ ὑπέγραψαν ὅτι οὐκ ἐνέμειναν οἱ Λακεδαιμόνιοι τοῖς
pillar wrote-beneath that not abided the Lacedaemonians by-the

ὅρκοις, ἐς δὲ Πύλον ἐκόμισαν τοὺς ἐκ Κρανίων Εἵλωτας
oaths to and Pylos they-brought those from Cranii Helots
λῄζεσθαι, τὰ δ᾽ ἄλλα ἡσύχαζον.
to-plunder the but other-things kept-quiet
τὸν δὲ χειμῶνα τοῦτον πολεμούντων Ἀργείων καὶ 56.4
the and winter this warring Argives and
Ἐπιδαυρίων μάχη μὲν οὐδεμία ἐγένετο ἐκ παρασκευῆς,
Epidaurians battle indeed none took-place from preparation
ἐνέδραι δὲ καὶ καταδρομαί, ἐν αἷς ὡς τύχοιεν ἑκατέρων
ambushes but and raids in which as it-happened of-each-side
τινὲς διεφθείροντο.
some were-killed
καὶ τελευτῶντος τοῦ χειμῶνος πρὸς ἔαρ ἤδη κλίμακας 56.5
and ending the winter toward spring already ladders
ἔχοντες οἱ Ἀργεῖοι ἦλθον ἐπὶ τὴν Ἐπίδαυρον, ὡς ἐρήμου
having the Argives came against — Epidaurus as deserted
οὔσης διὰ τὸν πόλεμον βίᾳ αἱρήσοντες· καὶ ἄπρακτοι
being because-of the war by-force going-to-take-it and unsuccessful
ἀπῆλθον. καὶ ὁ χειμὼν ἐτελεύτα, καὶ τρίτον καὶ δέκατον
went-away and the winter ended and third and tenth
ἔτος τῷ πολέμῳ ἐτελεύτα.
year for-the war ended

In the summer the Spartans march on Argos in full force under Agis, with the Tegeans and other Arcadians, and the Boeotians and Corinthians gather at Phlius. Agis divides his army and closes the Argives in on the plain. Two Argives, the general Thrasylus and Alciphron, go to him privately and arrange a four-month truce, and both armies go home angry. The Argives turn on Thrasylus. The Athenian reinforcement arrives under Laches and Nicostratus with Alcibiades as envoy, and he persuades the allies to break the truce. They take Orchomenus in Arcadia and decide to march on Tegea, and the Eleans, who wanted Lepreum, go home in anger.

57.1 τοῦ δ᾽ ἐπιγιγνομένου θέρους μεσοῦντος Λακεδαιμόνιοι, ὡς
in-the and following summer in-the-middle Lacedaemonians since
αὐτοῖς οἵ τε Ἐπιδαύριοι ξύμμαχοι ὄντες ἐταλαιπώρουν
to-them the both Epidaurians allies being were-in-distress
καὶ τἆλλα ἐν τῇ Πελοποννήσῳ τὰ μὲν ἀφειστήκει, τὰ
and the-rest in — Peloponnese partly indeed had-revolted partly
δ᾽ οὐ καλῶς εἶχε, νομίσαντες, εἰ μὴ προκαταλήψονται ἐν
and not well stood thinking if not they-forestall-it in
τάχει, ἐπὶ πλέον χωρήσεσθαι αὐτά, ἐστράτευον αὐτοὶ
haste for more to-go-on these-things marched themselves
καὶ οἱ Εἵλωτες πανδημεὶ ἐπ᾽ Ἄργος· ἡγεῖτο δὲ Ἆγις
and the Helots in-full-force against Argos led and Agis
ὁ Ἀρχιδάμου Λακεδαιμονίων βασιλεύς.
the son-of-Archidamus of-Lacedaemonians king

57.2 ξυνεστράτευον δ᾽ αὐτοῖς Τεγεᾶταί τε καὶ ὅσοι ἄλλοι
joined-the-campaign and with-them Tegeans both and as-many-as other
Ἀρκάδων Λακεδαιμονίοις ξύμμαχοι ἦσαν. οἱ δ᾽ ἐκ
of-Arcadians to-Lacedaemonians allies were those and from
τῆς ἄλλης Πελοποννήσου ξύμμαχοι καὶ οἱ ἔξωθεν
the other Peloponnese allies and those from-outside
ἐς Φλειοῦντα ξυνελέγοντο, Βοιωτοὶ μὲν πεντακισχίλιοι
at Phlius gathered Boeotians indeed five-thousand

ὁπλῖται καὶ τοσοῦτοι ψιλοὶ καὶ ἱππῆς πεντακόσιοι καὶ
hoplites and as-many light-armed and cavalry five-hundred and
ἄμιπποι ἴσοι, Κορίνθιοι δὲ δισχίλιοι ὁπλῖται, οἱ δ' ἄλλοι
foot-runners equal Corinthians and two-thousand hoplites the and others
ὡς ἕκαστοι, Φλειάσιοι δὲ πανστρατιᾷ, ὅτι ἐν τῇ ἐκείνων
as each Phliasians and in-full-force because in the their(-land)
ἦν τὸ στράτευμα.
was the army
Ἀργεῖοι δὲ προαισθόμενοι τό τε πρῶτον τὴν παρασκευὴν 58.1
Argives and having-perceived-beforehand the both first the preparation
τῶν Λακεδαιμονίων καὶ ἐπειδὴ ἐς τὸν Φλειοῦντα βουλόμενοι
of-the Lacedaemonians and when to — Phlius wishing
τοῖς ἄλλοις προσμεῖξαι ἐχώρουν, τότε δὴ ἐξεστράτευσαν
with-the others to-join they-went then indeed marched-out
καὶ αὐτοί· ἐβοήθησαν δ' αὐτοῖς καὶ Μαντινῆς, ἔχοντες
also themselves came-to-help and to-them also Mantineans having
τοὺς σφετέρους ξυμμάχους, καὶ Ἠλείων τρισχίλιοι ὁπλῖται.
the their-own allies and of-Eleans three-thousand hoplites
καὶ προϊόντες ἀπαντῶσι τοῖς Λακεδαιμονίοις ἐν Μεθυδρίῳ 58.2
and advancing meet the Lacedaemonians at Methydrium
τῆς Ἀρκαδίας. καὶ καταλαμβάνουσιν ἑκάτεροι λόφον· καὶ
— of-Arcadia and occupy each a-hill and
οἱ μὲν Ἀργεῖοι ὡς μεμονωμένοις τοῖς Λακεδαιμονίοις
the indeed Argives as against-isolated the Lacedaemonians
παρεσκευάζοντο μάχεσθαι, ὁ δὲ Ἆγις τῆς νυκτὸς
prepared to-fight — and Agis by-the night
ἀναστήσας τὸν στρατὸν καὶ λαθὼν ἐπορεύετο ἐς
having-raised the army and having-escaped-notice marched to
Φλειοῦντα παρὰ τοὺς ἄλλους ξυμμάχους.
Phlius to the other allies

58.3 καὶ οἱ Ἀργεῖοι αἰσθόμενοι ἅμα ἕῳ ἐχώρουν, πρῶτον μὲν
and the Argives having-perceived together-with dawn went first indeed
ἐς Ἄργος, ἔπειτα δὲ ᾗ προσεδέχοντο τοὺς Λακεδαιμονίους
to Argos then and where they-expected the Lacedaemonians
μετὰ τῶν ξυμμάχων καταβήσεσθαι, τὴν κατὰ Νεμέαν ὁδόν.
with the allies to-come-down the by Nemea road
58.4 Ἆγις δὲ ταύτην μὲν ἣν προσεδέχοντο οὐκ ἐτράπετο,
Agis and this indeed which they-expected not took
παραγγείλας δὲ τοῖς Λακεδαιμονίοις καὶ Ἀρκάσι καὶ
having-passed-orders and to-the Lacedaemonians and Arcadians and
Ἐπιδαυρίοις ἄλλην ἐχώρησε χαλεπὴν καὶ κατέβη ἐς
Epidaurians another went difficult and came-down into
τὸ Ἀργείων πεδίον· καὶ Κορίνθιοι καὶ Πελληνῆς καὶ
the of-Argives plain and Corinthians and Pellenians and
Φλειάσιοι ὄρθιον ἑτέραν ἐπορεύοντο· τοῖς δὲ Βοιωτοῖς καὶ
Phliasians steep another marched to-the and Boeotians and
Μεγαρεῦσι καὶ Σικυωνίοις εἴρητο τὴν ἐπὶ Νεμέας
Megarians and Sicyonians it-had-been-told the toward Nemea
ὁδὸν καταβαίνειν, ᾗ οἱ Ἀργεῖοι ἐκάθηντο, ὅπως, εἰ
road to-come-down where the Argives were-posted so-that if
οἱ Ἀργεῖοι ἐπὶ σφᾶς ἰόντες ἐς τὸ πεδίον βοηθοῖεν,
the Argives against them going into the plain should-come-to-help
ἐφεπόμενοι τοῖς ἵπποις χρῷντο.
following with-the horses they-might-use
58.5 καὶ ὁ μὲν οὕτω διατάξας καὶ ἐσβαλὼν ἐς τὸ πεδίον
and he indeed thus having-arranged and having-invaded into the plain
ἐδῄου Σάμινθόν τε καὶ ἄλλα·
ravaged Saminthus both and others
59.1 οἱ δὲ Ἀργεῖοι γνόντες ἐβοήθουν ἡμέρας ἤδη ἐκ τῆς
the and Argives having-learned came-to-help by-day now from —
Νεμέας, καὶ περιτυχόντες τῷ Φλειασίων καὶ Κορινθίων
Nemea and having-fallen-in-with the of-Phliasians and Corinthians

στρατοπέδῳ τῶν μὲν Φλειασίων ὀλίγους ἀπέκτειναν, ὑπὸ
army of-the indeed Phliasians few killed by
δὲ τῶν Κορινθίων αὐτοὶ οὐ πολλῷ πλείους διεφθάρησαν.
but the Corinthians themselves not much more were-killed
καὶ οἱ Βοιωτοὶ καὶ οἱ Μεγαρῆς καὶ οἱ Σικυώνιοι 59.2
and the Boeotians and the Megarians and the Sicyonians
ἐχώρουν, ὥσπερ εἴρητο αὐτοῖς, ἐπὶ τῆς Νεμέας, καὶ
went as had-been-told them toward — Nemea and
τοὺς Ἀργείους οὐκέτι κατέλαβον, ἀλλὰ καταβάντες, ὡς
the Argives no-longer found but having-come-down when
ἑώρων τὰ ἑαυτῶν δῃούμενα, ἐς μάχην παρετάσσοντο.
they-saw the their-own being-ravaged for battle formed-up
ἀντιπαρεσκευάζοντο δὲ καὶ οἱ Λακεδαιμόνιοι.
prepared-against-them and also the Lacedaemonians
ἐν μέσῳ δὲ ἀπειλημμένοι ἦσαν οἱ Ἀργεῖοι· ἐκ μὲν γὰρ 59.3
in the-middle and cut-off were the Argives from indeed for
τοῦ πεδίου οἱ Λακεδαιμόνιοι εἶργον τῆς πόλεως καὶ
the plain the Lacedaemonians shut-them-off-from the city and
οἱ μετ᾽ αὐτῶν, καθύπερθεν δὲ Κορίνθιοι καὶ Φλειάσιοι
those with them from-above and Corinthians and Phliasians
καὶ Πελληνῆς, τὸ δὲ πρὸς Νεμέας Βοιωτοὶ καὶ Σικυώνιοι
and Pellenians the and toward Nemea Boeotians and Sicyonians
καὶ Μεγαρῆς. ἵπποι δὲ αὐτοῖς οὐ παρῆσαν· οὐ γάρ πω
and Megarians cavalry and to-them not were-present not for yet
οἱ Ἀθηναῖοι μόνοι τῶν ξυμμάχων ἦκον.
the Athenians alone of-the allies had-come
τὸ μὲν οὖν πλῆθος τῶν Ἀργείων καὶ τῶν ξυμμάχων οὐχ 59.4
the indeed then multitude of-the Argives and the allies not
οὕτω δεινὸν τὸ παρὸν ἐνόμιζον, ἀλλ᾽ ἐν καλῷ ἐδόκει
so dangerous the present thought but in a-fine-position it-seemed

ἡ μάχη ἔσεσθαι, καὶ τοὺς Λακεδαιμονίους ἀπειληφέναι
the battle to-be and the Lacedaemonians to-have-cut-off
ἐν τῇ αὐτῶν τε καὶ πρὸς τῇ πόλει.
in the their-own both and near the city
59.5 τῶν δὲ Ἀργείων δύο ἄνδρες, Θράσυλός τε τῶν πέντε
of-the and Argives two men Thrasylus both of-the five
στρατηγῶν εἷς ὢν καὶ Ἀλκίφρων πρόξενος Λακεδαιμονίων,
generals one being and Alciphron proxenus of-Lacedaemonians
ἤδη τῶν στρατοπέδων ὅσον οὐ ξυνιόντων προσελθόντε
already the armies all-but not engaging having-come-up
Ἄγιδι διελεγέσθην μὴ ποιεῖν μάχην· ἑτοίμους γὰρ εἶναι
to-Agis conferred not to-make battle ready for to-be
Ἀργείους δίκας δοῦναι καὶ δέξασθαι ἴσας καὶ ὁμοίας, εἴ
Argives justice to-give and to-receive equal and fair if
τι ἐπικαλοῦσιν Ἀργείοις Λακεδαιμόνιοι, καὶ τὸ λοιπὸν
anything charge Argives Lacedaemonians and the future
εἰρήνην ἄγειν σπονδὰς ποιησαμένους.
peace to-keep a-treaty having-made
60.1 καὶ οἱ μὲν ταῦτα εἰπόντες τῶν Ἀργείων ἀφ' ἑαυτῶν καὶ
and they indeed these-things having-said of-the Argives from themselves and
οὐ τοῦ πλήθους κελεύσαντος εἶπον· καὶ ὁ Ἄγις δεξάμενος
not the multitude having-ordered spoke and — Agis having-received
τοὺς λόγους αὐτός, καὶ οὐ μετὰ τῶν πλεόνων οὐδὲ αὐτὸς
the proposals himself and not with the majority nor himself
βουλευσάμενος ἀλλ' ἢ ἑνὶ ἀνδρὶ κοινώσας τῶν
having-deliberated but than one man having-communicated-with of-those
ἐν τέλει ξυστρατευομένων, σπένδεται τέσσαρας μῆνας, ἐν
in office campaigning-with makes-a-truce four months in
οἷς ἔδει ἐπιτελέσαι αὐτοὺς τὰ ῥηθέντα. καὶ ἀπήγαγε
which it-was-necessary to-fulfill them the things-said and led-away
τὸν στρατὸν εὐθύς, οὐδενὶ φράσας τῶν ἄλλων ξυμμάχων.
the army at-once to-no-one having-told of-the other allies

οἱ δὲ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι εἵποντο μὲν ὡς ἡγεῖτο 60.2
the and Lacedaemonians and the allies followed indeed as he-led
διὰ τὸν νόμον, ἐν αἰτίᾳ δ' εἶχον κατ' ἀλλήλους πολλῇ τὸν
because-of the law in blame but held among one-another much —
Ἄγιν, νομίζοντες ἐν καλῷ παρατυχὸν σφίσι ξυμβαλεῖν
Agis thinking in a-fine-position having-presented-itself to-them to-engage
καὶ πανταχόθεν αὐτῶν ἀποκεκλῃμένων καὶ ὑπὸ ἱππέων
and from-all-sides them shut-off both by cavalry
καὶ πεζῶν οὐδὲν δράσαντες ἄξιον τῆς παρασκευῆς ἀπιέναι.
and infantry nothing having-done worthy of-the preparation to-go-away
στρατόπεδον γὰρ δὴ τοῦτο κάλλιστον Ἑλληνικὸν τῶν 60.3
army for indeed this finest Greek of-those
μέχρι τοῦδε ξυνῆλθεν· ὤφθη δὲ μάλιστα ἕως ἔτι ἦν
until this came-together was-seen and most while still it-was
ἀθρόον ἐν Νεμέᾳ, ἐν ᾧ Λακεδαιμόνιοί τε πανστρατιᾷ
gathered at Nemea in which Lacedaemonians both in-full-force
ἦσαν καὶ Ἀρκάδες καὶ Βοιωτοὶ καὶ Κορίνθιοι καὶ Σικυώνιοι
were and Arcadians and Boeotians and Corinthians and Sicyonians
καὶ Πελληνῆς καὶ Φλειάσιοι καὶ Μεγαρῆς, καὶ οὗτοι πάντες
and Pellenians and Phliasians and Megarians and these all
λογάδες ἀφ' ἑκάστων, ἀξιόμαχοι δοκοῦντες εἶναι οὐ τῇ
picked from each a-match seeming to-be not for-the
Ἀργείων μόνον ξυμμαχίᾳ ἀλλὰ κἂν ἄλλῃ ἔτι προσγενομένῃ.
of-Argives only alliance but even-for another still added
τὸ μὲν οὖν στρατόπεδον οὕτως ἐν αἰτίᾳ ἔχοντες τὸν 60.4
the indeed then army thus in blame holding —
Ἄγιν ἀνεχώρουν τε καὶ διελύθησαν ἐπ' οἴκου ἕκαστοι,
Agis withdrew both and dispersed to home each
Ἀργεῖοι δὲ καὶ αὐτοὶ ἔτι ἐν πολλῷ πλέονι αἰτίᾳ εἶχον 60.5
Argives and also themselves still in much greater blame held
τοὺς σπεισαμένους ἄνευ τοῦ πλήθους, νομίζοντες κἀκεῖνοι
those having-made-the-truce without the multitude thinking those-too

μὴ ἂν σφίσι ποτὲ κάλλιον παρασχὸν Λακεδαιμονίους
not — for-them ever better being-offered Lacedaemonians
διαπεφευγέναι· πρός τε γὰρ τῇ σφετέρᾳ πόλει καὶ μετὰ
to-have-escaped near both for the their-own city and with
πολλῶν καὶ ἀγαθῶν ξυμμάχων τὸν ἀγῶνα ἂν γίγνεσθαι.
many and good allies the contest — to-happen
60.6 τόν τε Θράσυλον ἀναχωρήσαντες ἐν τῷ Χαράδρῳ, οὗπερ
— both Thrasylus having-returned in — Charadrus where-indeed
τὰς ἀπὸ στρατείας δίκας πρὶν ἐσιέναι κρίνουσιν, ἤρξαντο
the from campaign cases before to-enter they-judge they-began
λεύειν. ὁ δὲ καταφυγὼν ἐπὶ τὸν βωμὸν περιγίγνεται· τὰ
to-stone he and having-fled to the altar survives the
μέντοι χρήματα ἐδήμευσαν αὐτοῦ.
however property they-confiscated his
61.1 μετὰ δὲ τοῦτο Ἀθηναίων βοηθησάντων χιλίων ὁπλιτῶν
after and this Athenians having-come-to-help a-thousand hoplites
καὶ τριακοσίων ἱππέων, ὧν ἐστρατήγουν Λάχης καὶ
and three-hundred cavalry whom commanded Laches and
Νικόστρατος, οἱ Ἀργεῖοι (ὅμως γὰρ τὰς σπονδὰς ὤκνουν
Nicostratus the Argives nevertheless for the treaty hesitated
λῦσαι πρὸς τοὺς Λακεδαιμονίους) ἀπιέναι ἐκέλευον αὐτοὺς
to-break with the Lacedaemonians to-depart bade them
καὶ πρὸς τὸν δῆμον οὐ προσῆγον βουλομένους χρηματίσαι,
and to the people not brought-them wishing to-negotiate
πρὶν δὴ Μαντινῆς καὶ Ἠλεῖοι (ἔτι γὰρ παρῆσαν)
until indeed Mantineans and Eleans still for they-were-present
κατηνάγκασαν δεόμενοι.
compelled-them pleading
61.2 καὶ ἔλεγον οἱ Ἀθηναῖοι Ἀλκιβιάδου πρεσβευτοῦ παρόντος ἔν
and said the Athenians Alcibiades envoy being-present in
τε τοῖς Ἀργείοις καὶ ξυμμάχοις ταῦτα, ὅτι οὐκ ὀρθῶς αἱ
both the Argives and allies these-things that not rightly the

σπονδαὶ ἄνευ τῶν ἄλλων ξυμμάχων καὶ γένοιντο, καὶ νῦν (ἐν
truce without the other allies even had-been-made and now in
καιρῷ γὰρ παρεῖναι σφεῖς) ἅπτεσθαι χρῆναι τοῦ πολέμου.
time for to-be-present they to-take-up it-was-necessary the war
καὶ πείσαντες ἐκ τῶν λόγων τοὺς ξυμμάχους εὐθὺς 61.3
and having-persuaded by the words the allies at-once
ἐχώρουν ἐπὶ Ὀρχομενὸν τὸν Ἀρκαδικὸν πάντες πλὴν
went against Orchomenus the Arcadian all except
Ἀργείων· οὗτοι δὲ ὅμως καὶ πεισθέντες ὑπελείποντο
Argives these and nevertheless also persuaded stayed-behind
πρῶτον, ἔπειτα δ' ὕστερον καὶ οὗτοι ἦλθον.
first then and later also these came
καὶ προσκαθεζόμενοι τὸν Ὀρχομενὸν πάντες ἐπολιόρκουν καὶ 61.4
and having-sat-down-before — Orchomenus all besieged and
προσβολὰς ἐποιοῦντο, βουλόμενοι ἄλλως τε προσγενέσθαι
attacks made wishing otherwise both to-be-added
σφίσι καὶ ὅμηροι ἐκ τῆς Ἀρκαδίας ἦσαν αὐτόθι ὑπὸ
to-them and hostages from — Arcadia were there by
Λακεδαιμονίων κείμενοι.
Lacedaemonians deposited
οἱ δὲ Ὀρχομένιοι δείσαντες τήν τε τοῦ τείχους ἀσθένειαν 61.5
the and Orchomenians having-feared the both of-the wall weakness
καὶ τοῦ στρατοῦ τὸ πλῆθος καί, ὡς οὐδεὶς αὐτοῖς ἐβοήθει,
and of-the army the size and as no-one them came-to-help
μὴ προαπόλωνται, ξυνέβησαν ὥστε ξύμμαχοί τε εἶναι καὶ
lest they-perish-first came-to-terms so-as allies both to-be and
ὁμήρους σφῶν τε αὐτῶν δοῦναι Μαντινεῦσι καὶ οὓς
hostages of-them both selves to-give to-Mantineans and those-whom
κατέθεντο Λακεδαιμόνιοι παραδοῦναι.
deposited Lacedaemonians to-hand-over

62.1 μετὰ δὲ τοῦτο ἔχοντες ἤδη τὸν Ὀρχομενὸν ἐβουλεύοντο
after and this holding now — Orchomenus deliberated
οἱ ξύμμαχοι ἐφ᾽ ὅτι χρὴ πρῶτον ἰέναι τῶν λοιπῶν.
the allies against what it-is-necessary first to-go of-the remaining
καὶ Ἠλεῖοι μὲν ἐπὶ Λέπρεον ἐκέλευον, Μαντινῆς δὲ
and Eleans indeed against Lepreum bade Mantineans and
ἐπὶ Τεγέαν· καὶ προσέθεντο οἱ Ἀργεῖοι καὶ Ἀθηναῖοι
against Tegea and sided the Argives and Athenians
τοῖς Μαντινεῦσιν.
with-the Mantineans

62.2 καὶ οἱ μὲν Ἠλεῖοι ὀργισθέντες ὅτι οὐκ ἐπὶ Λέπρεον
and the indeed Eleans angered that not against Lepreum
ἐψηφίσαντο ἀνεχώρησαν ἐπ᾽ οἴκου· οἱ δὲ ἄλλοι ξύμμαχοι
they-had-voted withdrew to home the and other allies
παρεσκευάζοντο ἐν τῇ Μαντινείᾳ ὡς ἐπὶ Τεγέαν ἰόντες.
prepared in — Mantinea as against Tegea going
καί τινες αὐτοῖς καὶ αὐτῶν τῶν ἐν τῇ πόλει ἐνεδίδοσαν
and some to-them also of-the-very those in the city were-betraying
τὰ πράγματα.
the affairs

XI · AGIS MARCHES TO MANTINEA

The Spartans blame Agis for letting Argos go and give him ten counselors. When they hear that Tegea is in danger, they march out at once in full force and send part of the army home to guard Sparta. Agis ravages Mantinean land and moves to attack the enemy on a strong hill, but an older Spartan shouts that he means to cure one evil with another, and he withdraws. He diverts the water toward Mantinea. The Argive troops blame their generals, who lead them down into the plain. The next day the Spartans, marching back to their camp, come upon them drawn up close by. Thucydides explains the Spartan chain of command, describes both lines, and counts the Spartans present.

Λακεδαιμόνιοι δὲ ἐπειδὴ ἀνεχώρησαν ἐξ Ἄργους τὰς 63.1
Lacedaemonians and when they-withdrew from Argos the
τετραμήνους σπονδὰς ποιησάμενοι, Ἄγιν ἐν μεγάλῃ αἰτίᾳ
four-month truce having-made Agis in great blame
εἶχον οὐ χειρωσάμενον σφίσιν Ἄργος, παρασχὸν καλῶς ὡς
held not having-subdued for-them Argos it-being-offered finely as
οὔπω πρότερον αὐτοὶ ἐνόμιζον· ἁθρόους γὰρ τοσούτους
never before they-themselves thought massed for so-many
ξυμμάχους καὶ τοιούτους οὐ ῥᾴδιον εἶναι λαβεῖν.
allies and such not easy to-be to-catch
ἐπειδὴ δὲ καὶ περὶ Ὀρχομενοῦ ἠγγέλλετο ἑαλωκέναι, 63.2
when and also about Orchomenus it-was-announced to-have-been-taken
πολλῷ δὴ μᾶλλον ἐχαλέπαινον καὶ ἐβούλευον εὐθὺς ὑπ᾽
much indeed more they-were-angry and resolved at-once from
ὀργῆς παρὰ τὸν τρόπον τὸν ἑαυτῶν ὡς χρὴ τήν
anger contrary-to the manner the their-own that it-was-necessary the
τε οἰκίαν αὐτοῦ κατασκάψαι καὶ δέκα μυριάσι δραχμῶν
both house his to-raze and with-ten ten-thousands of-drachmas
ζημιῶσαι.
to-fine-him

63.3 ὁ δὲ παρῃτεῖτο μηδὲν τούτων δρᾶν· ἔργῳ γὰρ ἀγαθῷ
he and begged nothing of-these to-do by-deed for good
ῥύσεσθαι τὰς αἰτίας στρατευσάμενος, ἢ τότε ποιεῖν αὐτοὺς
to-redeem the charges having-campaigned or then to-do them
ὅτι βούλονται.
whatever they-wish

63.4 οἱ δὲ τὴν μὲν ζημίαν καὶ τὴν κατασκαφὴν ἐπέσχον, νόμον
they and the indeed fine and the razing held-back a-law
δὲ ἔθεντο ἐν τῷ παρόντι, ὃς οὔπω πρότερον ἐγένετο
but made in the present which never before had-been
αὐτοῖς· δέκα γὰρ ἄνδρας Σπαρτιατῶν προσείλοντο αὐτῷ
for-them ten for men of-Spartiates they-chose-in-addition for-him
ξυμβούλους, ἄνευ ὧν μὴ κύριον εἶναι ἀπάγειν στρατιὰν
as-counselors without whom not empowered to-be to-lead-out an-army
ἐκ τῆς πόλεως.
from the city

64.1 ἐν τούτῳ δ' ἀφικνεῖται αὐτοῖς ἀγγελία παρὰ τῶν
in this and arrives to-them a-message from the
ἐπιτηδείων ἐκ Τεγέας ὅτι, εἰ μὴ παρέσονται ἐν τάχει,
friends from Tegea that if not they-will-be-present in haste
ἀποστήσεται αὐτῶν Τεγέα πρὸς Ἀργείους καὶ τοὺς
will-revolt from-them Tegea to Argives and the
ξυμμάχους καὶ ὅσον οὐκ ἀφέστηκεν.
allies and all-but not it-has-revolted

64.2 ἐνταῦθα δὴ βοήθεια τῶν Λακεδαιμονίων γίγνεται αὐτῶν
there indeed help of-the Lacedaemonians comes-about of-themselves
τε καὶ τῶν Εἱλώτων πανδημεὶ ὀξεῖα καὶ οἵα οὔπω
both and of-the Helots in-full-force swift and such-as never
πρότερον.
before

ἐχώρουν δὲ ἐς Ὀρέσθειον τῆς Μαιναλίας· καὶ τοῖς μὲν 64.3
they-went and to Orestheum — of-Maenalia and to-the indeed
Ἀρκάδων σφετέροις οὖσι ξυμμάχοις προεῖπον ἀθροισθεῖσιν
of-Arcadians their-own being allies they-gave-word having-mustered
ἰέναι κατὰ πόδας αὐτῶν ἐς Τεγέαν, αὐτοὶ δὲ μέχρι
to-go at heels their to Tegea themselves and as-far-as
μὲν τοῦ Ὀρεσθείου πάντες ἐλθόντες, ἐκεῖθεν δὲ τὸ ἕκτον
indeed — Orestheum all having-come from-there and the sixth
μέρος σφῶν αὐτῶν ἀποπέμψαντες ἐπ᾽ οἴκου, ἐν ᾧ τὸ
part of-them selves having-sent-back to home in which the
πρεσβύτερόν τε καὶ τὸ νεώτερον ἦν, ὥστε τὰ οἴκοι
older both and the younger was so-as the-things at-home
φρουρεῖν, τῷ λοιπῷ στρατεύματι ἀφικνοῦνται ἐς Τεγέαν.
to-guard with-the remaining army arrive at Tegea
καὶ οὐ πολλῷ ὕστερον οἱ ξύμμαχοι ἀπ᾽ Ἀρκάδων παρῆσαν.
and not much later the allies from Arcadians were-present
πέμπουσι δὲ καὶ ἐς τὴν Κόρινθον καὶ Βοιωτοὺς καὶ 64.4
they-send and also to — Corinth and Boeotians and
Φωκέας καὶ Λοκρούς, βοηθεῖν κελεύοντες κατὰ τάχος ἐς
Phocians and Locrians to-come-to-help bidding in haste to
Μαντίνειαν. ἀλλὰ τοῖς μὲν ἐξ ὀλίγου τε ἐγίγνετο, καὶ οὐ
Mantinea but for-the indeed at short-notice both it-happened and not
ῥᾴδιον ἦν μὴ ἀθρόοις καὶ ἀλλήλους περιμείνασι διελθεῖν τὴν
easy was not in-a-body and one-another having-waited-for to-pass-through the
πολεμίαν (ξυνέκλῃε γὰρ διὰ μέσου), ὅμως δὲ ἠπείγοντο.
enemy-land it-shut-off for through the-middle nevertheless and they-hastened
Λακεδαιμόνιοι δὲ ἀναλαβόντες τοὺς παρόντας Ἀρκάδων 64.5
Lacedaemonians and having-taken-up the present of-Arcadians
ξυμμάχους ἐσέβαλον ἐς τὴν Μαντινικήν, καὶ
allies invaded into — Mantinean-land and

στρατοπεδευσάμενοι πρὸς τῷ Ἡρακλείῳ ἐδῄουν τὴν
having-encamped by — Heracleum ravaged the
γῆν.
land

65.1 οἱ δ' Ἀργεῖοι καὶ οἱ ξύμμαχοι ὡς εἶδον αὐτούς,
the and Argives and the allies when they-saw them
καταλαβόντες χωρίον ἐρυμνὸν καὶ δυσπρόσοδον παρετάξαντο
having-occupied a-place strong and hard-to-approach drew-up
ὡς ἐς μάχην.
as for battle

65.2 καὶ οἱ Λακεδαιμόνιοι εὐθὺς αὐτοῖς ἐπῆσαν· καὶ μέχρι
and the Lacedaemonians at-once against-them advanced and as-far-as
μὲν λίθου καὶ ἀκοντίου βολῆς ἐχώρησαν, ἔπειτα τῶν
indeed of-stone and javelin throw they-went then of-the
πρεσβυτέρων τις Ἄγιδι ἐπεβόησεν, ὁρῶν πρὸς χωρίον
older-men someone to-Agis shouted seeing toward a-place
καρτερὸν ἰόντας σφᾶς, ὅτι διανοεῖται κακὸν κακῷ ἰᾶσθαι,
strong going them that he-intends evil with-evil to-cure
δηλῶν τῆς ἐξ Ἄργους ἐπαιτίου ἀναχωρήσεως τὴν
showing of-the from Argos culpable retreat the
παροῦσαν ἄκαιρον προθυμίαν ἀνάληψιν βουλόμενον εἶναι.
present untimely zeal reparation wishing to-be

65.3 ὁ δέ, εἴτε καὶ διὰ τὸ ἐπιβόημα εἴτε καὶ αὐτῷ ἄλλο
he and whether also because-of the shout or also to-him other
τι ἢ κατὰ τὸ αὐτὸ δόξαν ἐξαίφνης, πάλιν τὸ
some than according-to the same having-seemed suddenly back the
στράτευμα κατὰ τάχος πρὶν ξυμμεῖξαι ἀπῆγεν.
army in haste before to-engage led-away

65.4 καὶ ἀφικόμενος πρὸς τὴν Τεγεᾶτιν τὸ ὕδωρ ἐξέτρεπεν ἐς
and having-come to — Tegean-land the water diverted into
τὴν Μαντινικήν, περὶ οὗπερ ὡς τὰ πολλὰ βλάπτοντος
— Mantinean-land about which-indeed as the most-part harming

ὁποτέρωσε ἂν ἐσπίπτῃ Μαντινῆς καὶ Τεγεᾶται πολεμοῦσιν.
to-whichever-side — it-flows Mantineans and Tegeans make-war
ἐβούλετο δὲ τοὺς ἀπὸ τοῦ λόφου βοηθοῦντας ἐπὶ τὴν
he-wished and those from the hill coming-to-help against the
τοῦ ὕδατος ἐκτροπήν, ἐπειδὰν πύθωνται, καταβιβάσαι καὶ
of-the water diversion when they-learn to-bring-down and
ἐν τῷ ὁμαλῷ τὴν μάχην ποιεῖσθαι.
on the level the battle to-make
καὶ ὁ μὲν τὴν ἡμέραν ταύτην μείνας αὐτοῦ περὶ τὸ ὕδωρ 65.5
and he indeed the day this having-stayed there about the water
ἐξέτρεπεν· οἱ δ' Ἀργεῖοι καὶ οἱ ξύμμαχοι τὸ μὲν πρῶτον
diverted the and Argives and the allies the indeed first
καταπλαγέντες τῇ ἐξ ὀλίγου αἰφνιδίῳ αὐτῶν ἀναχωρήσει
dismayed at-the at short-notice sudden their withdrawal
οὐκ εἶχον ὅτι εἰκάσωσιν· εἶτα ἐπειδὴ ἀναχωροῦντες ἐκεῖνοί
not had what they-might-guess then when withdrawing those
τε ἀπέκρυψαν καὶ σφεῖς ἡσύχαζον καὶ οὐκ ἐπηκολούθουν,
both disappeared and they kept-quiet and not followed
ἐνταῦθα τοὺς ἑαυτῶν στρατηγοὺς αὖθις ἐν αἰτίᾳ εἶχον τό
there the their-own generals again in blame held the
τε πρότερον καλῶς ληφθέντας πρὸς Ἄργει Λακεδαιμονίους
both before finely caught near Argos Lacedaemonians
ἀφεθῆναι καὶ νῦν ὅτι ἀποδιδράσκοντας οὐδεὶς ἐπιδιώκει,
to-have-been-let-go and now that running-away no-one pursues
ἀλλὰ καθ' ἡσυχίαν οἱ μὲν σῴζονται, σφεῖς δὲ προδίδονται.
but at leisure the-ones indeed are-saved they and are-betrayed
οἱ δὲ στρατηγοὶ ἐθορυβήθησαν μὲν τὸ παραυτίκα, ὕστερον 65.6
the and generals were-confused indeed the at-the-moment later
δὲ ἀπάγουσιν αὐτοὺς ἀπὸ τοῦ λόφου καὶ προελθόντες ἐς τὸ
and lead them from the hill and having-advanced to the
ὁμαλὸν ἐστρατοπεδεύσαντο ὡς ἰόντες ἐπὶ τοὺς πολεμίους.
level encamped as going against the enemy

66.1 τῇ δ' ὑστεραίᾳ οἵ τε Ἀργεῖοι καὶ οἱ ξύμμαχοι ξυνετάξαντο,
on-the and next-day the both Argives and the allies formed-up
ὡς ἔμελλον μαχεῖσθαι, ἢν περιτύχωσιν· οἵ τε Λακεδαιμόνιοι
as they-intended to-fight if they-should-meet-them the both Lacedaemonians
ἀπὸ τοῦ ὕδατος πρὸς τὸ Ἡράκλειον πάλιν ἐς τὸ αὐτὸ
from the water to — Heracleum back to the same
στρατόπεδον ἰόντες ὁρῶσι δι' ὀλίγου τοὺς ἐναντίους ἐν
camp going see at short-distance the enemy in
τάξει τε ἤδη πάντας καὶ ἀπὸ τοῦ λόφου προεληλυθότας.
order both already all and from the hill having-advanced
66.2 μάλιστα δὴ Λακεδαιμόνιοι ἐς ὃ ἐμέμνηντο ἐν τούτῳ
most indeed Lacedaemonians to what they-remembered in this
τῷ καιρῷ ἐξεπλάγησαν. διὰ βραχείας γὰρ μελλήσεως
the moment were-astounded through short for delay
ἡ παρασκευὴ αὐτοῖς ἐγίγνετο, καὶ εὐθὺς ὑπὸ σπουδῆς
the preparation for-them was-happening and at-once from haste
καθίσταντο ἐς κόσμον τὸν ἑαυτῶν, Ἄγιδος τοῦ βασιλέως
they-formed-up into order the their-own Agis the king
ἕκαστα ἐξηγουμένου κατὰ τὸν νόμον.
each-thing directing according-to the law
66.3 βασιλέως γὰρ ἄγοντος ὑπ' ἐκείνου πάντα ἄρχεται, καὶ
king for leading by him all-things are-commanded and
τοῖς μὲν πολεμάρχοις αὐτὸς φράζει τὸ δέον, οἱ δὲ τοῖς
to-the indeed polemarchs himself tells the needful they and to-the
λοχαγοῖς, ἐκεῖνοι δὲ τοῖς πεντηκοντῆρσιν, αὖθις δ' οὗτοι
captains those and to-the commanders-of-fifty again and these
τοῖς ἐνωμοτάρχοις καὶ οὗτοι τῇ ἐνωμοτίᾳ.
to-the enomotarchs and these to-the enomoty
66.4 καὶ αἱ παραγγέλσεις, ἤν τι βούλωνται, κατὰ τὰ
and the orders if anything they-wish according-to the
αὐτὰ χωροῦσι καὶ ταχεῖαι ἐπέρχονται· σχεδὸν γάρ τι
same pass and quick they-arrive nearly for somewhat

πᾶν πλὴν ὀλίγου τὸ στρατόπεδον τῶν Λακεδαιμονίων
all except little the army of-the Lacedaemonians
ἄρχοντες ἀρχόντων εἰσί, καὶ τὸ ἐπιμελὲς τοῦ δρωμένου
commanders of-commanders are and the care of-the being-done
πολλοῖς προσήκει.
to-many belongs
τότε δὲ κέρας μὲν εὐώνυμον Σκιρῖται αὐτοῖς καθίσταντο, 67.1
then and wing indeed left Sciritae for-them were-posted
αἰεὶ ταύτην τὴν τάξιν μόνοι Λακεδαιμονίων ἐπὶ σφῶν
always this the position alone of-Lacedaemonians by them
αὐτῶν ἔχοντες· παρὰ δ' αὐτοὺς οἱ ἀπὸ Θρᾴκης Βρασίδειοι
selves holding beside and them the from Thrace Brasidean
στρατιῶται καὶ νεοδαμώδεις μετ' αὐτῶν· ἔπειτ' ἤδη
soldiers and new-citizens with them then already
Λακεδαιμόνιοι αὐτοὶ ἑξῆς καθίστασαν τοὺς λόχους, καὶ
Lacedaemonians themselves in-order posted the companies and
παρ' αὐτοὺς Ἀρκάδων Ἡραιῆς, μετὰ δὲ τούτους Μαινάλιοι,
beside them of-Arcadians Heraeans after and these Maenalians
καὶ ἐπὶ τῷ δεξιῷ κέρᾳ Τεγεᾶται καὶ Λακεδαιμονίων ὀλίγοι τὸ
and on the right wing Tegeans and of-Lacedaemonians few the
ἔσχατον ἔχοντες, καὶ οἱ ἱππῆς αὐτῶν ἐφ' ἑκατέρῳ τῷ κέρᾳ.
extreme holding and the horsemen of-them on each the wing
Λακεδαιμόνιοι μὲν οὕτως ἐτάξαντο· οἱ δ' ἐναντίοι αὐτοῖς 67.2
Lacedaemonians indeed thus were-drawn-up the and opposite to-them
δεξιὸν μὲν κέρας Μαντινῆς εἶχον, ὅτι ἐν τῇ ἐκείνων τὸ
right indeed wing Mantineans held because in the of-them the
ἔργον ἐγίγνετο, παρὰ δ' αὐτοὺς οἱ ξύμμαχοι Ἀρκάδων ἦσαν,
action was-happening beside and them the allies of-Arcadians were
ἔπειτα Ἀργείων οἱ χίλιοι λογάδες, οἷς ἡ πόλις ἐκ πολλοῦ
then of-Argives the thousand picked-men to-whom the city from long
ἄσκησιν τῶν ἐς τὸν πόλεμον δημοσίᾳ παρεῖχε, καὶ ἐχόμενοι
training of-the for the war at-public-cost provided and next-to

αὐτῶν οἱ ἄλλοι Ἀργεῖοι, καὶ μετ' αὐτοὺς οἱ ξύμμαχοι
them the other Argives and after them the allies
αὐτῶν, Κλεωναῖοι καὶ Ὀρνεᾶται, ἔπειτα Ἀθηναῖοι ἔσχατοι
of-them Cleonaeans and Orneates then Athenians last
τὸ εὐώνυμον κέρας ἔχοντες, καὶ ἱππῆς μετ' αὐτῶν οἱ οἰκεῖοι.
the left wing holding and horsemen with them the own
68.1 τάξις μὲν ἥδε καὶ παρασκευὴ ἀμφοτέρων ἦν, τὸ δὲ
order indeed this and preparation of-both was the and
στρατόπεδον τῶν Λακεδαιμονίων μεῖζον ἐφάνη.
army of-the Lacedaemonians larger appeared
68.2 ἀριθμὸν δὲ γράψαι ἢ καθ' ἑκάστους ἑκατέρων ἢ ξύμπαντας
number and to-write either by each-group of-each-side or all-together
οὐκ ἂν ἐδυνάμην ἀκριβῶς· τὸ μὲν γὰρ Λακεδαιμονίων
not — I-could exactly the indeed for of-Lacedaemonians
πλῆθος διὰ τῆς πολιτείας τὸ κρυπτὸν ἠγνοεῖτο, τῶν δ' αὖ διὰ τὸ ἀνθρώπειον κομπῶδες ἐς τὰ οἰκεῖα πλήθη
number through the constitution the secrecy was-unknown of-those and again because-of the human boastfulness as-to the own numbers
ἠπιστεῖτο. ἐκ μέντοι τοιοῦδε λογισμοῦ ἔξεστί τῳ
was-disbelieved from however such reckoning it-is-possible for-anyone
σκοπεῖν τὸ Λακεδαιμονίων τότε παραγενόμενον πλῆθος.
to-consider the of-Lacedaemonians then present number
68.3 λόχοι μὲν γὰρ ἐμάχοντο ἑπτὰ ἄνευ Σκιριτῶν ὄντων
companies indeed for fought seven without Sciritae being
ἑξακοσίων, ἐν δὲ ἑκάστῳ λόχῳ πεντηκοστύες ἦσαν
six-hundred in and each company fifties were
τέσσαρες, καὶ ἐν τῇ πεντηκοστύι ἐνωμοτίαι τέσσαρες. τῆς
four and in the fifty enomoties four of-the
τε ἐνωμοτίας ἐμάχοντο ἐν τῷ πρώτῳ ζυγῷ τέσσαρες·
and enomoty fought in the first rank four
ἐπὶ δὲ βάθος ἐτάξαντο μὲν οὐ πάντες ὁμοίως, ἀλλ'
in and depth they-were-drawn-up indeed not all alike but

ὡς λοχαγὸς ἕκαστος ἐβούλετο, ἐπὶ πᾶν δὲ κατέστησαν
as captain each wished on whole and they-were-set
ἐπὶ ὀκτώ. παρὰ δὲ ἅπαν πλὴν Σκιριτῶν τετρακόσιοι καὶ
at eight along and all except Sciritae four-hundred and
δυοῖν δέοντες πεντήκοντα ἄνδρες ἡ πρώτη τάξις ἦν.
two lacking fifty men the first line was

XII · THE BATTLE OF MANTINEA

In their generals' exhortations the Mantineans fight for their country, the Argives for their old leadership, and the Athenians to show they are second to none. The Spartans sing their war songs and advance slowly to the pipes. As the lines close, each drifts to its right. Agis orders his left to extend and two companies to fill the gap, but the two polemarchs refuse. The Mantineans rout the Spartan left, while the Spartan center routs the Argives, the Athenians, and their allies. Agis then turns on the Mantineans, who flee. About seven hundred Argives and their allies fall, with two hundred Mantineans, two hundred Athenians, and a reported three hundred Spartans. Sparta's name for courage is restored, and the allies wall in Epidaurus.

ἐπεὶ δὲ ξυνιέναι ἔμελλον ἤδη, ἐνταῦθα καὶ παραινέσεις 69.1
when and to-close they-were-about already there and exhortations
καθ' ἑκάστους ὑπὸ τῶν οἰκείων στρατηγῶν τοιαίδε ἐγίγνοντο,
by each-group by the own generals such were-made
Μαντινεῦσι μὲν ὅτι ὑπέρ τε πατρίδος ἡ μάχη ἔσται καὶ
to-Mantineans indeed that for both fatherland the battle will-be and
ὑπὲρ ἀρχῆς ἅμα καὶ δουλείας, τὴν μὲν μὴ πειρασαμένοις
for empire at-once and slavery the indeed not having-tried
ἀφαιρεθῆναι, τῆς δὲ μὴ αὖθις πειρᾶσθαι· Ἀργείοις δὲ ὑπὲρ
to-be-deprived-of the and not again to-try to-Argives and for
τῆς τε παλαιᾶς ἡγεμονίας καὶ τῆς ἐν Πελοποννήσῳ ποτὲ
the both ancient leadership and the in Peloponnese once
ἰσομοιρίας μὴ διὰ παντὸς στερισκομένους ἀνέχεσθαι,
equal-share not through all being-deprived to-endure

καὶ ἄνδρας ἅμα ἐχθροὺς καὶ ἀστυγείτονας ὑπὲρ πολλῶν
and men at-once enemies and neighbors for many
ἀδικημάτων ἀμύνασθαι· τοῖς δὲ Ἀθηναίοις καλὸν εἶναι
wrongs to-punish to-the and Athenians fine to-be
μετὰ πολλῶν καὶ ἀγαθῶν ξυμμάχων ἀγωνιζομένους
with many and good allies contending
μηδενὸς λείπεσθαι, καὶ ὅτι ἐν Πελοποννήσῳ Λακεδαιμονίους
than-none to-fall-short and that in Peloponnese Lacedaemonians
νικήσαντες τήν τε ἀρχὴν βεβαιοτέραν καὶ μείζω ἕξουσι
having-defeated the both empire more-secure and greater they-will-have
καὶ οὐ μή ποτέ τις αὐτοῖς ἄλλος ἐς τὴν γῆν ἔλθῃ.
and not — ever anyone on-them other into the land come

69.2 τοῖς μὲν Ἀργείοις καὶ ξυμμάχοις τοιαῦτα παρῃνέθη,
to-the indeed Argives and allies such was-exhorted
Λακεδαιμόνιοι δὲ καθ' ἑκάστους τε καὶ μετὰ τῶν
Lacedaemonians and by each-group both and with the
πολεμικῶν νόμων ἐν σφίσιν αὐτοῖς ὧν ἠπίσταντο
warlike songs among them selves of-what they-knew
τὴν παρακέλευσιν τῆς μνήμης ἀγαθοῖς οὖσιν ἐποιοῦντο,
the exhortation of-the memory to-brave being made
εἰδότες ἔργων ἐκ πολλοῦ μελέτην πλείω σῴζουσαν ἢ
knowing of-deeds from long practice more saving than
λόγων δι' ὀλίγου καλῶς ῥηθεῖσαν παραίνεσιν.
of-words through short well spoken exhortation

70.1 καὶ μετὰ ταῦτα ἡ ξύνοδος ἦν, Ἀργεῖοι μὲν καὶ οἱ
and after these-things the clash was Argives indeed and the
ξύμμαχοι ἐντόνως καὶ ὀργῇ χωροῦντες, Λακεδαιμόνιοι δὲ
allies vigorously and with-anger advancing Lacedaemonians and
βραδέως καὶ ὑπὸ αὐλητῶν πολλῶν ὁμοῦ ἐγκαθεστώτων, οὐ
slowly and under flute-players many together stationed-among not
τοῦ θείου χάριν, ἀλλ' ἵνα ὁμαλῶς μετὰ ῥυθμοῦ βαίνοντες
of-the divine for-sake but so-that evenly with rhythm stepping

προσέλθοιεν καὶ μὴ διασπασθείη αὐτοῖς ἡ τάξις, ὅπερ
they-might-approach and not might-be-broken for-them the order which-very
φιλεῖ τὰ μεγάλα στρατόπεδα ἐν ταῖς προσόδοις ποιεῖν.
tends the great armies in the approaches to-do
ξυνιόντων δ' ἔτι Ἄγις ὁ βασιλεὺς τοιόνδε ἐβουλεύσατο 71.1
closing and still Agis the king this resolved
δρᾶσαι. τὰ στρατόπεδα ποιεῖ μὲν καὶ ἅπαντα τοῦτο· ἐπὶ
to-do the armies does indeed also all this toward
τὰ δεξιὰ κέρατα αὐτῶν ἐν ταῖς ξυνόδοις μᾶλλον ἐξωθεῖται,
the right wings of-them in the clashes rather are-pushed-out
καὶ περιίσχουσι κατὰ τὸ τῶν ἐναντίων εὐώνυμον ἀμφότεροι
and overlap against the of-the opponents left both
τῷ δεξιῷ, διὰ τὸ φοβουμένους προσστέλλειν τὰ γυμνὰ
with-the right because-of the fearing to-draw-close the bare
ἕκαστον ὡς μάλιστα τῇ τοῦ ἐν δεξιᾷ παρατεταγμένου
each as most to-the of-the on right posted
ἀσπίδι καὶ νομίζειν τὴν πυκνότητα τῆς ξυγκλῄσεως
shield and to-think the closeness of-the locking
εὐσκεπαστότατον εἶναι· καὶ ἡγεῖται μὲν τῆς αἰτίας
best-protected to-be and leads indeed of-the cause
ταύτης ὁ πρωτοστάτης τοῦ δεξιοῦ κέρως, προθυμούμενος
this the front-man of-the right wing eager
ἐξαλλάσσειν αἰεὶ τῶν ἐναντίων τὴν ἑαυτοῦ γύμνωσιν,
to-move-away always from-the opponents the his-own exposure
ἕπονται δὲ διὰ τὸν αὐτὸν φόβον καὶ οἱ ἄλλοι.
follow and because-of the same fear also the others
καὶ τότε περιέσχον μὲν οἱ Μαντινῆς πολὺ τῷ κέρᾳ 71.2
and then overlapped indeed the Mantineans much with-the wing
τῶν Σκιριτῶν, ἔτι δὲ πλέον οἱ Λακεδαιμόνιοι καὶ Τεγεᾶται
the Sciritae still and more the Lacedaemonians and Tegeans
τῶν Ἀθηναίων, ὅσῳ μεῖζον τὸ στράτευμα εἶχον.
of-the Athenians by-as-much larger the army they-had

71.3 δείσας δὲ Ἆγις μὴ σφῶν κυκλωθῇ τὸ εὐώνυμον, καὶ
having-feared and Agis lest of-them be-encircled the left and
νομίσας ἄγαν περιέχειν τοὺς Μαντινέας, τοῖς μὲν Σκιρίταις
thinking too-much to-overlap the Mantineans to-the indeed Sciritae
καὶ Βρασιδείοις ἐσήμηνεν ἐπεξαγαγόντας ἀπὸ σφῶν ἐξισῶσαι
and Brasideans signaled having-led-out from them to-equal
τοῖς Μαντινεῦσιν, ἐς δὲ τὸ διάκενον τοῦτο παρήγγελλεν ἀπὸ
the Mantineans into and the gap this he-ordered from
τοῦ δεξιοῦ κέρως δύο λόχους τῶν πολεμάρχων Ἱπποννοΐδᾳ
the right wing two companies of-the polemarchs to-Hipponoidas
καὶ Ἀριστοκλεῖ ἔχουσι παρελθεῖν καὶ ἐσβαλόντας πληρῶσαι,
and Aristocles holding to-move-across and having-thrown-in to-fill
νομίζων τῷ θ' ἑαυτῶν δεξιῷ ἔτι περιουσίαν ἔσεσθαι καὶ
thinking for-the both their-own right still surplus to-be and
τὸ κατὰ τοὺς Μαντινέας βεβαιότερον τετάξεσθαι.
the against the Mantineans more-firmly to-be-drawn-up

72.1 ξυνέβη οὖν αὐτῷ ἅτε ἐν αὐτῇ τῇ ἐφόδῳ καὶ ἐξ ὀλίγου
it-happened then to-him as in very the advance and at short-notice
παραγγείλαντι τόν τε Ἀριστοκλέα καὶ τὸν Ἱπποννοΐδαν
having-ordered — both Aristocles and — Hipponoidas
μὴ θελῆσαι παρελθεῖν, ἀλλὰ καὶ διὰ τοῦτο τὸ αἰτίαμα
not to-be-willing to-move-across but also because-of this the charge
ὕστερον φεύγειν ἐκ Σπάρτης δόξαντας μαλακισθῆναι, καὶ
later to-be-exiled from Sparta having-seemed to-have-been-cowardly and
τοὺς πολεμίους φθάσαι τῇ προσμείξει, καὶ κελεύσαντος
the enemy to-anticipate in-the engagement and having-ordered
αὐτοῦ, ἐπὶ τοὺς Σκιρίτας ὡς οὐ παρῆλθον οἱ λόχοι,
he to the Sciritae when not came-across the companies
πάλιν αὖ σφίσι προσμεῖξαι, μὴ δυνηθῆναι ἔτι μηδὲ
back again to-them to-join not to-be-able still not-even
τούτους ξυγκλῆσαι.
these to-close

ἀλλὰ μάλιστα δὴ κατὰ πάντα τῇ ἐμπειρίᾳ Λακεδαιμόνιοι 72.2
but most indeed in all-respects in-the experience Lacedaemonians
ἐλασσωθέντες τότε τῇ ἀνδρείᾳ ἔδειξαν οὐχ ἧσσον
being-worsted then by-the courage showed not less
περιγενόμενοι.
prevailing
ἐπειδὴ γὰρ ἐν χερσὶν ἐγίγνοντο τοῖς ἐναντίοις, τὸ μὲν τῶν 72.3
when for in hands they-came with-the opponents the indeed of-the
Μαντινέων δεξιὸν τρέπει αὐτῶν τοὺς Σκιρίτας καὶ τοὺς
Mantineans right routs of-them the Sciritae and the
Βρασιδείους, καὶ ἐσπεσόντες οἱ Μαντινῆς καὶ οἱ ξύμμαχοι
Brasideans and having-burst-in the Mantineans and the allies
αὐτῶν καὶ τῶν Ἀργείων οἱ χίλιοι λογάδες κατὰ τὸ
of-them and of-the Argives the thousand picked-men through the
διάκενον καὶ οὐ ξυγκλῃσθὲν τοὺς Λακεδαιμονίους διέφθειρον
gap and not closed the Lacedaemonians destroyed
καὶ κυκλωσάμενοι ἔτρεψαν καὶ ἐξέωσαν ἐς τὰς ἁμάξας καὶ
and having-encircled routed and drove into the wagons and
τῶν πρεσβυτέρων τῶν ἐπιτεταγμένων ἀπέκτειναν τινας.
of-the older-men the posted-there killed some
καὶ ταύτῃ μὲν ἡσσῶντο οἱ Λακεδαιμόνιοι· τῷ δὲ 72.4
and here indeed were-defeated the Lacedaemonians with-the and
ἄλλῳ στρατοπέδῳ καὶ μάλιστα τῷ μέσῳ, ἦπερ ὁ
rest army and most the center where-indeed the
βασιλεὺς Ἆγις ἦν καὶ περὶ αὐτὸν οἱ τριακόσιοι ἱππῆς
king Agis was and around him the three-hundred horsemen
καλούμενοι, προσπεσόντες τῶν Ἀργείων τοῖς πρεσβυτέροις
called having-fallen-upon of-the Argives the older-men
καὶ πέντε λόχοις ὠνομασμένοις καὶ Κλεωναίοις καὶ
and five companies named and Cleonaeans and
Ὀρνεάταις καὶ Ἀθηναίων τοῖς παρατεταγμένοις, ἔτρεψαν
Orneates and of-Athenians the drawn-up-beside routed

οὐδὲ ἐς χεῖρας τοὺς πολλοὺς ὑπομείναντας, ἀλλ' ὡς
not-even to hands the many having-stood but as
ἐπῆσαν οἱ Λακεδαιμόνιοι εὐθὺς ἐνδόντας καὶ ἔστιν οὓς
approached the Lacedaemonians at-once giving-way and there-are whom
καὶ καταπατηθέντας τοῦ μὴ φθῆναι τὴν ἐγκατάληψιν.
even trampled of-the not to-anticipate the being-caught

73.1 ὡς δὲ ταύτῃ ἐνεδεδώκει τὸ τῶν Ἀργείων καὶ ξυμμάχων
when and here had-given-way the of-the Argives and allies
στράτευμα, παρερρήγνυντο ἤδη ἅμα καὶ ἐφ' ἑκάτερα, καὶ
army were-broken-off already at-once also to each-side and
ἅμα τὸ δεξιὸν τῶν Λακεδαιμονίων καὶ Τεγεατῶν ἐκυκλοῦτο
at-once the right of-the Lacedaemonians and Tegeans was-encircling
τῷ περιέχοντι σφῶν τοὺς Ἀθηναίους, καὶ ἀμφοτέρωθεν
by-the overlapping of-them the Athenians and from-both-sides
αὐτοὺς κίνδυνος περιειστήκει, τῇ μὲν κυκλουμένους, τῇ
them danger had-surrounded here indeed being-encircled there
δὲ ἤδη ἡσσημένους. καὶ μάλιστ' ἂν τοῦ στρατεύματος
and already defeated and most — of-the army
ἐταλαιπώρησαν, εἰ μὴ οἱ ἱππῆς παρόντες αὐτοῖς ὠφέλιμοι
they-would-have-suffered if not the horsemen being-present to-them useful
ἦσαν.
were

73.2 καὶ ξυνέβη τὸν Ἄγιν, ὡς ᾔσθετο τὸ εὐώνυμον σφῶν
and it-happened — Agis when he-perceived the left of-them
πονοῦν τὸ κατὰ τοὺς Μαντινέας καὶ τῶν Ἀργείων τοὺς
laboring the against the Mantineans and of-the Argives the
χιλίους, παραγγεῖλαι παντὶ τῷ στρατεύματι χωρῆσαι ἐπὶ
thousand to-order to-all the army to-go to
τὸ νικώμενον.
the being-beaten

καὶ γενομένου τούτου οἱ μὲν Ἀθηναῖοι ἐν τούτῳ, ὡς 73.3
and having-happened this the indeed Athenians in this as
παρῆλθε καὶ ἐξέκλινεν ἀπὸ σφῶν τὸ στράτευμα, καθ'
passed-by and turned-aside from them the army at
ἡσυχίαν ἐσώθησαν καὶ τῶν Ἀργείων μετ' αὐτῶν τὸ ἡσσηθέν·
leisure were-saved and of-the Argives with them the defeated-part
οἱ δὲ Μαντινῆς καὶ οἱ ξύμμαχοι καὶ τῶν Ἀργείων οἱ
the and Mantineans and the allies and of-the Argives the
λογάδες οὐκέτι πρὸς τὸ ἐγκεῖσθαι τοῖς ἐναντίοις τὴν γνώμην
picked-men no-longer to the to-press the opponents the mind
εἶχον, ἀλλ' ὁρῶντες τούς τε σφετέρους νενικημένους καὶ
had but seeing the both own defeated and
τοὺς Λακεδαιμονίους ἐπιφερομένους ἐς φυγὴν ἐτράποντο.
the Lacedaemonians bearing-down to flight turned
καὶ τῶν μὲν Μαντινέων καὶ πλείους διεφθάρησαν, τῶν 73.4
and of-the indeed Mantineans even more were-destroyed —
δὲ Ἀργείων λογάδων τὸ πολὺ ἐσώθη. ἡ μέντοι φυγὴ
and of-Argive picked-men the most was-saved the however flight
καὶ ἀποχώρησις οὐ βίαιος οὐδὲ μακρὰ ἦν· οἱ γὰρ
and retreat not violent nor long was the for
Λακεδαιμόνιοι μέχρι μὲν τοῦ τρέψαι χρονίους τὰς μάχας
Lacedaemonians until indeed the to-rout long the battles
καὶ βεβαίους τῷ μένειν ποιοῦνται, τρέψαντες δὲ
and steadfast in-the to-stand-firm make having-routed and
βραχείας καὶ οὐκ ἐπὶ πολὺ τὰς διώξεις.
short and not for long the pursuits
καὶ ἡ μὲν μάχη τοιαύτη καὶ ὅτι ἐγγύτατα τούτων ἐγένετο, 74.1
and the indeed battle such and as nearest of-these happened
πλείστου δὴ χρόνου μεγίστη δὴ τῶν Ἑλληνικῶν καὶ
for-most indeed time greatest indeed of-the Greek(-battles) and
ὑπὸ ἀξιολογωτάτων πόλεων ξυνελθοῦσα.
by most-notable cities having-come-together

74.2 οἱ δὲ Λακεδαιμόνιοι προθέμενοι τῶν πολεμίων νεκρῶν τὰ
the and Lacedaemonians having-set-out of-the enemy dead the
ὅπλα τροπαῖον εὐθὺς ἵστασαν καὶ τοὺς νεκροὺς ἐσκύλευον,
arms trophy at-once set-up and the dead stripped
καὶ τοὺς αὑτῶν ἀνείλοντο καὶ ἀπήγαγον ἐς Τεγέαν, οὗπερ
and the their-own took-up and carried-off to Tegea where-indeed
ἐτάφησαν, καὶ τοὺς τῶν πολεμίων ὑποσπόνδους ἀπέδοσαν.
they-were-buried and the of-the enemy under-truce gave-back
74.3 ἀπέθανον δὲ Ἀργείων μὲν καὶ Ὀρνεατῶν καὶ Κλεωναίων
died and of-Argives indeed and Orneates and Cleonaeans
ἑπτακόσιοι, Μαντινέων δὲ διακόσιοι, καὶ Ἀθηναίων
seven-hundred of-Mantineans and two-hundred and of-Athenians
ξὺν Αἰγινήταις διακόσιοι καὶ οἱ στρατηγοὶ ἀμφότεροι.
with Aeginetans two-hundred and the generals both
Λακεδαιμονίων δὲ οἱ μὲν ξύμμαχοι οὐκ ἐταλαιπώρησαν ὥστε
of-Lacedaemonians and the indeed allies not suffered so-that
καὶ ἀξιόλογόν τι ἀπογενέσθαι· αὐτῶν δὲ χαλεπὸν μὲν ἦν τὴν
even notable any to-be-lost of-them and hard indeed was the
ἀλήθειαν πυθέσθαι, ἐλέγοντο δὲ περὶ τριακοσίους ἀποθανεῖν.
truth to-learn were-said and about three-hundred to-have-died
75.1 τῆς δὲ μάχης μελλούσης ἔσεσθαι καὶ Πλειστοάναξ ὁ
the and battle being-about to-be also Pleistoanax the
ἕτερος βασιλεὺς ἔχων τούς τε πρεσβυτέρους καὶ νεωτέρους
other king having the both older and younger
ἐβοήθησε, καὶ μέχρι μὲν Τεγέας ἀφίκετο, πυθόμενος δὲ
came-to-help and as-far-as indeed Tegea arrived having-learned and
τὴν νίκην ἀπεχώρησεν.
the victory withdrew
75.2 καὶ τοὺς ἀπὸ Κορίνθου καὶ ἔξω Ἰσθμοῦ ξυμμάχους
and the from Corinth and outside Isthmus allies
ἀπέστρεψαν πέμψαντες οἱ Λακεδαιμόνιοι, καὶ αὐτοὶ
turned-back having-sent the Lacedaemonians and themselves

ἀναχωρήσαντες καὶ τοὺς ξυμμάχους ἀφέντες (Κάρνεια
having-withdrawn and the allies having-dismissed Carneia
γὰρ αὐτοῖς ἐτύγχανον ὄντα) τὴν ἑορτὴν ἦγον.
for for-them happened being the festival they-kept
καὶ τὴν ὑπὸ τῶν Ἑλλήνων τότε ἐπιφερομένην αἰτίαν ἔς 75.3
and the by the Greeks then brought charge as-to
τε μαλακίαν διὰ τὴν ἐν τῇ νήσῳ ξυμφορὰν καὶ ἐς
both cowardice because-of the on the island disaster and as-to
τὴν ἄλλην ἀβουλίαν τε καὶ βραδυτῆτα ἑνὶ ἔργῳ τούτῳ
the other ill-counsel both and slowness by-one deed this
ἀπελύσαντο, τύχῃ μέν, ὡς ἐδόκουν, κακιζόμενοι, γνώμῃ
they-cleared by-fortune indeed as they-seemed being-reproached in-spirit
δὲ οἱ αὐτοὶ ἔτι ὄντες.
and the same still being
τῇ δὲ προτέρᾳ ἡμέρᾳ ξυνέβη τῆς μάχης ταύτης καὶ 75.4
on-the and previous day it-happened of-the battle this also
τοὺς Ἐπιδαυρίους πανδημεὶ ἐσβαλεῖν ἐς τὴν Ἀργείαν ὡς
the Epidaurians in-full-force to-invade into — Argive-land as
ἐρῆμον οὖσαν καὶ τοὺς ὑπολοίπους φύλακας τῶν Ἀργείων
empty being and the remaining guards of-the Argives
ἐξελθόντων αὐτῶν διαφθεῖραι πολλούς.
having-gone-out they to-destroy many
καὶ Ἠλείων τρισχιλίων ὁπλιτῶν βοηθησάντων Μαντινεῦσιν 75.5
and Eleans three-thousand hoplites having-come-to-help to-Mantineans
ὕστερον τῆς μάχης καὶ Ἀθηναίων χιλίων πρὸς τοῖς
after the battle and Athenians a-thousand besides the
προτέροις ἐστράτευσαν ἅπαντες οἱ ξύμμαχοι οὗτοι εὐθὺς
earlier marched all the allies these at-once
ἐπὶ Ἐπίδαυρον, ἕως οἱ Λακεδαιμόνιοι Κάρνεια ἦγον, καὶ
against Epidaurus while the Lacedaemonians Carneia kept and
διελόμενοι τὴν πόλιν περιετείχιζον.
having-divided the city walled-around

75.6 καὶ οἱ μὲν ἄλλοι ἐξεπαύσαντο, Ἀθηναῖοι δέ, ὥσπερ
and the indeed others stopped Athenians but as
προσετάχθησαν, τὴν ἄκραν τὸ Ἡραῖον εὐθὺς ἐξειργάσαντο.
were-assigned the height — Heraeum at-once completed
καὶ ἐν τούτῳ ξυγκαταλιπόντες ἅπαντες τῷ τειχίσματι
and in this having-left-together all in-the fort
φρουρὰν ἀνεχώρησαν κατὰ πόλεις ἕκαστοι. καὶ τὸ θέρος
garrison withdrew by cities each and the summer
ἐτελεύτα.
ended

XIII · ARGOS CHANGES SIDES

In the winter the Spartans send Lichas to Argos with terms, and the Argive friends of Sparta persuade the people to accept them. Soon after, Argos leaves its alliance with Athens, Mantinea, and Elis and makes a fifty-year treaty and alliance with Sparta. Both agreements are given in full. Perdiccas swears to the new league. The Athenians give up the fort at Epidaurus, and Mantinea comes to terms. Oligarchies are set up at Sicyon and at Argos. Next summer the Argive people overthrow the oligarchs and build long walls to the sea with Athenian help. In winter Sparta pulls them down and takes Hysiae, and Athens blockades Perdiccas.

76.1 τοῦ δ' ἐπιγιγνομένου χειμῶνος ἀρχομένου εὐθὺς οἱ
in-the and following winter beginning at-once the
Λακεδαιμόνιοι, ἐπειδὴ τὰ Κάρνεια ἤγαγον, ἐξεστράτευσαν,
Lacedaemonians when the Carneia they-had-kept marched-out
καὶ ἀφικόμενοι ἐς Τεγέαν λόγους προύπεμπον ἐς τὸ Ἄργος
and having-arrived at Tegea proposals sent-ahead to — Argos
ξυμβατηρίους.
conciliatory

ἦσαν δὲ αὐτοῖς πρότερόν τε ἄνδρες ἐπιτήδειοι καὶ 76.2
were and for-them before both men friendly and
βουλόμενοι τὸν δῆμον τὸν ἐν Ἄργει καταλῦσαι· καὶ ἐπειδὴ
wishing the people the in Argos to-overthrow and since
ἡ μάχη ἐγεγένητο, πολλῷ μᾶλλον ἐδύναντο πείθειν τοὺς
the battle had-happened by-much more they-could to-persuade the
πολλοὺς ἐς τὴν ὁμολογίαν. ἐβούλοντο δὲ πρῶτον σπονδὰς
many to the agreement they-wished and first treaty
ποιήσαντες πρὸς τοὺς Λακεδαιμονίους αὖθις ὕστερον καὶ
having-made with the Lacedaemonians again later also
ξυμμαχίαν, καὶ οὕτως ἤδη τῷ δήμῳ ἐπιτίθεσθαι.
alliance and thus already the people to-attack
καὶ ἀφικνεῖται πρόξενος ὢν Ἀργείων Λίχας ὁ Ἀρκεσιλάου 76.3
and arrives proxenus being of-Argives Lichas the son-of-Arcesilaus
παρὰ τῶν Λακεδαιμονίων δύο λόγω φέρων ἐς τὸ Ἄργος,
from the Lacedaemonians two proposals bearing to — Argos
τὸν μὲν καθ' ὅτι εἰ βούλονται πολεμεῖν, τὸν δ'
the-one indeed by what if they-wish to-make-war the-other and
ὡς εἰ εἰρήνην ἄγειν. καὶ γενομένης πολλῆς ἀντιλογίας
how if peace to-keep and having-arisen much dispute
(ἔτυχε γὰρ καὶ ὁ Ἀλκιβιάδης παρών) οἱ ἄνδρες οἱ τοῖς
happened for also — Alcibiades being-present the men the for-the
Λακεδαιμονίοις πράσσοντες, ἤδη καὶ ἐκ τοῦ φανεροῦ
Lacedaemonians working already also from the open
τολμῶντες, ἔπεισαν τοὺς Ἀργείους προσδέξασθαι τὸν
daring persuaded the Argives to-accept the
ξυμβατήριον λόγον. ἔστι δὲ ὅδε.
conciliatory proposal is and this
Ὅ Καττάδε δοκεῖ τῇ ἐκκλησίᾳ τῶν Λακεδαιμονίων 77.1
on-these-terms it-seems-good to-the assembly of-the Lacedaemonians
ξυμβαλέσθαι ποττὼς Ἀργείως, ἀποδιδόντας τὼς παῖδας
to-come-to-terms with-the Argives giving-back the children

τοῖς Ὀρχομενίοις καὶ τὼς ἄνδρας τοῖς Μαιναλίοις, καὶ τὼς
to-the Orchomenians and the men to-the Maenalians and the
ἄνδρας τὼς ἐν Μαντινείᾳ τοῖς Λακεδαιμονίοις ἀποδιδόντας,
men the in Mantinea to-the Lacedaemonians giving-back
καὶ ἐξ Ἐπιδαύρω ἐκβῶντας καὶ τὸ τεῖχος ἀναιρίοντας.
and from Epidaurus withdrawing and the wall pulling-down
77.2 αἰ δέ κα μὴ εἴκωντι τοὶ Ἀθηναῖοι ἐξ Ἐπιδαύρω, πολεμίως
if but — not they-yield the Athenians from Epidaurus enemies
ἦμεν τοῖς Ἀργείοις καὶ τοῖς Λακεδαιμονίοις καὶ τοῖς τῶν
to-be to-the Argives and to-the Lacedaemonians and to-the of-the
Λακεδαιμονίων ξυμμάχοις καὶ τοῖς τῶν Ἀργείων ξυμμάχοις.
Lacedaemonians allies and to-the of-the Argives allies
77.3 καὶ αἴ τινα τοὶ Λακεδαιμόνιοι παῖδα ἔχοντι, ἀποδόμεν
and if any the Lacedaemonians child have to-give-back
ταῖς πολίεσσι πάσαις.
to-the cities all
77.4 περὶ δὲ τῶ σιῶ σύματος, αἰ μὲν λῆν, τοῖς Ἐπιδαυρίοις
about and the god's offering if indeed they-wish to-the Epidaurians
ὅρκον δόμεν, αἰ δέ, αὐτὼς ὀμόσαι.
oath to-give if but themselves to-swear
77.5 τὰς δὲ πόλιας τὰς ἐν Πελοποννάσῳ, καὶ μικρὰς καὶ
the and cities the in Peloponnese both small and
μεγάλας, αὐτονόμως ἦμεν πάσας καττὰ πάτρια.
great independent to-be all by-the ancestral-ways
77.6 αἰ δέ κα τῶν ἐκτὸς Πελοποννάσω τις ἐπὶ
if and — of-those outside Peloponnese anyone against
τὰν Πελοπόννασον γᾶν ἴῃ ἐπὶ κακῷ, ἀλεξέμεναι
the Peloponnesian land come for harm to-defend
ἀμόθι βωλευσαμένως, ὅπᾳ κα δικαιότατα δοκῇ τοῖς
together having-consulted how — most-justly it-seems to-the
Πελοποννασίοις.
Peloponnesians

ὅσσοι δ' ἐκτὸς Πελοποννάσω τῶν Λακεδαιμονίων 77.7
as-many and outside Peloponnese of-the Lacedaemonians
ξύμμαχοί ἐντι, ἐν τῷ αὐτῷ ἐσσίονται ἐν τῷπερ καὶ τοὶ
allies are in the same will-be in which-very also the
Λακεδαιμόνιοι, καὶ τοὶ τῶν Ἀργείων ξύμμαχοι ἐν τῷ αὐτῷ
Lacedaemonians and the of-the Argives allies in the same
ἐσσίονται ἐν τῷπερ καὶ τοὶ Ἀργεῖοι, τὰν αὐτῶν ἔχοντες.
will-be in which-very also the Argives the their-own holding
ἐπιδείξαντας δὲ τοῖς ξυμμάχοις ξυμβαλέσθαι, αἴ κα αὐτοῖς 77.8
having-shown and to-the allies to-come-to-terms if — to-them
δοκῇ. αἰ δέ τι δοκῇ τοῖς ξυμμάχοις, οἴκαδ' ἀπιάλλην.'
it-seems-good if but anything seems to-the allies home to-send-away
τοῦτον μὲν τὸν λόγον προσεδέξαντο πρῶτον οἱ Ἀργεῖοι, 78.1
this indeed the proposal accepted first the Argives
καὶ τῶν Λακεδαιμονίων τὸ στράτευμα ἀνεχώρησεν ἐκ τῆς
and of-the Lacedaemonians the army withdrew from —
Τεγέας ἐπ' οἶκου· μετὰ δὲ τοῦτο ἐπιμειξίας οὔσης ἤδη
Tegea to home after and this intercourse being already
παρ' ἀλλήλους, οὐ πολλῷ ὕστερον ἔπραξαν αὖθις οἱ αὐτοὶ
with each-other not by-much later contrived again the same
ἄνδρες ὥστε τὴν Μαντινέων καὶ τὴν Ἀθηναίων καὶ Ἠλείων
men so-that the of-Mantineans and the of-Athenians and Eleans
ξυμμαχίαν ἀφέντας Ἀργείους σπονδὰς καὶ ξυμμαχίαν
alliance having-dropped Argives treaty and alliance
ποιήσασθαι πρὸς Λακεδαιμονίους. καὶ ἐγένοντο αἵδε.
to-make with Lacedaemonians and were-made these
'Καττάδε ἔδοξε τοῖς Λακεδαιμονίοις καὶ Ἀργείοις 79.1
on-these-terms it-seemed-good to-the Lacedaemonians and Argives
σπονδὰς καὶ ξυμμαχίαν ἦμεν πεντήκοντα ἔτη, ἐπὶ τοῖς ἴσοις
treaty and alliance to-be fifty years on the equal
καὶ ὁμοίοις δίκας διδόντας καττὰ πάτρια· ταὶ δὲ ἄλλαι
and like justice giving by-the ancestral-ways the and other

πόλιες ταὶ ἐν Πελοποννάσῳ κοινανεόντων τᾶν σπονδᾶν
cities the in Peloponnese let-them-share the treaty
καὶ τᾶς ξυμμαχίας αὐτόνομοι καὶ αὐτοπόλιες, τὰν αὐτῶν
and the alliance independent and self-governing the their-own
ἔχοντες, καττὰ πάτρια δίκας διδόντες τὰς ἴσας καὶ ὁμοίας.
holding by-the ancestral-ways justice giving the equal and like
79.2 ὅσσοι δὲ ἔξω Πελοποννάσω Λακεδαιμονίοις ξύμμαχοί ἐντι,
as-many and outside Peloponnese to-Lacedaemonians allies are
ἐν τοῖς αὐτοῖς ἐσσίονται τοῖσπερ καὶ τοὶ Λακεδαιμόνιοι·
in the same will-be in-which-very also the Lacedaemonians
καὶ τοὶ τῶν Ἀργείων ξύμμαχοι ἐν τῷ αὐτῷ ἐσσίονται
and the of-the Argives allies in the same will-be
τῷπερ καὶ τοὶ Ἀργεῖοι, τὰν αὐτῶν ἔχοντες.
in-which-very also the Argives the their-own holding
79.3 αἰ δέ ποι στρατείας δέῃ κοινᾶς, βουλεύεσθαι
if and anywhere expedition there-be-need common to-deliberate
Λακεδαιμονίως καὶ Ἀργείως ὅπᾳ κα δικαιότατα κρίναντας
Lacedaemonians and Argives how — most-justly having-judged
τοῖς ξυμμάχοις.
for-the allies
79.4 αἰ δέ τινι τᾶν πολίων ᾖ ἀμφίλλογα, ἢ τᾶν ἐντὸς
if and for-any of-the cities there-be disputes either of-those within
ἢ τᾶν ἐκτὸς Πελοποννάσω, αἴτε περὶ ὅρων αἴτε περὶ
or of-those outside Peloponnese whether about boundaries or about
ἄλλω τινός, διακριθῆμεν. αἰ δέ τις τῶν ξυμμάχων πόλις
other anything to-be-settled if and any of-the allies city
πόλι ἐρίζοι, ἐς πόλιν ἐλθῆν ἄντινα ἴσαν ἀμφοῖν ταῖς
with-city should-quarrel to city to-go whichever impartial to-both the
πολίεσσι δοκείοι. τὼς δὲ ἔτας καττὰ πάτρια δικάζεσθαι.'
cities should-seem the and citizens by-the ancestral-ways to-be-judged

αἱ μὲν σπονδαὶ καὶ ἡ ξυμμαχία αὕτη ἐγεγένητο· καὶ 80.1
the indeed treaty and the alliance this had-been-made and
ὁπόσα ἀλλήλων πολέμῳ ἢ εἴ τι ἄλλο εἶχον, διελύσαντο.
as-much-as of-each-other in-war or if anything other they-held settled
κοινῇ δὲ ἤδη τὰ πράγματα τιθέμενοι ἐψηφίσαντο
in-common and already the affairs managing they-voted
κήρυκα καὶ πρεσβείαν παρ' Ἀθηναίων μὴ προσδέχεσθαι,
herald and embassy from Athenians not to-receive
ἢν μὴ ἐκ Πελοποννήσου ἐξίωσι τὰ τείχη ἐκλιπόντες,
if not from Peloponnese they-go-out the forts having-abandoned
καὶ μὴ ξυμβαίνειν τῳ μηδὲ πολεμεῖν ἀλλ' ἢ ἅμα.
and not to-make-terms with-anyone nor to-make-war but except together
καὶ τά τε ἄλλα θυμῷ ἔφερον καὶ ἐς τὰ ἐπὶ Θρᾴκης 80.2
and the both other with-zeal they-pursued and as-to the in Thrace
χωρία καὶ ὡς Περδίκκαν ἔπεμψαν ἀμφότεροι πρέσβεις,
places and to Perdiccas sent both envoys
καὶ ἀνέπεισαν Περδίκκαν ξυνομόσαι σφίσιν. οὐ μέντοι
and persuaded Perdiccas to-swear-with them not however
εὐθύς γε ἀπέστη τῶν Ἀθηναίων, ἀλλὰ διενοεῖτο, ὅτι
at-once at-least he-revolted from-the Athenians but intended because
καὶ τοὺς Ἀργείους ἑώρα· ἦν δὲ καὶ αὐτὸς τὸ ἀρχαῖον ἐξ
also the Argives he-saw was and also himself the origin from
Ἄργους. καὶ τοῖς Χαλκιδεῦσι τούς τε παλαιοὺς ὅρκους
Argos and with-the Chalcidians the both old oaths
ἀνενεώσαντο καὶ ἄλλους ὤμοσαν.
renewed and others swore
ἔπεμψαν δὲ καὶ παρὰ τοὺς Ἀθηναίους οἱ Ἀργεῖοι πρέσβεις, 80.3
sent and also to the Athenians the Argives envoys
τὸ ἐξ Ἐπιδαύρου τεῖχος κελεύοντες ἐκλιπεῖν. οἱ δ'
the from Epidaurus fort bidding to-abandon they and
ὁρῶντες ὀλίγοι πρὸς πλείους ὄντες τοὺς ξυμφύλακας,
seeing few against more being the fellow-guards

ἔπεμψαν Δημοσθένη τοὺς σφετέρους ἐξάξοντα. ὁ δὲ
sent Demosthenes the own to-lead-out he and
ἀφικόμενος καὶ ἀγῶνά τινα πρόφασιν γυμνικὸν ἔξω τοῦ
having-arrived and contest some pretext athletic outside the
φρουρίου ποιήσας, ὡς ἐξῆλθε τὸ ἄλλο φρούριον, ἀπέκλῃσε
fort having-held when went-out the rest garrison shut
τὰς πύλας· καὶ ὕστερον Ἐπιδαυρίοις ἀνανεωσάμενοι τὰς
the gates and later with-Epidaurians having-renewed the
σπονδὰς αὐτοὶ οἱ Ἀθηναῖοι ἀπέδοσαν τὸ τείχισμα.
treaty themselves the Athenians gave-back the fort

81.1 μετὰ δὲ τὴν τῶν Ἀργείων ἀπόστασιν ἐκ τῆς ξυμμαχίας
after and the of-the Argives defection from the alliance
καὶ οἱ Μαντινῆς, τὸ μὲν πρῶτον ἀντέχοντες, ἔπειτ᾽ οὐ
also the Mantineans the indeed first holding-out then not
δυνάμενοι ἄνευ τῶν Ἀργείων, ξυνέβησαν καὶ αὐτοὶ τοῖς
being-able without the Argives came-to-terms also themselves with-the
Λακεδαιμονίοις καὶ τὴν ἀρχὴν ἀφεῖσαν τῶν πόλεων.
Lacedaemonians and the rule gave-up of-the cities

81.2 καὶ Λακεδαιμόνιοι καὶ Ἀργεῖοι, χίλιοι ἑκάτεροι,
and Lacedaemonians and Argives a-thousand each
ξυστρατεύσαντες τά τ᾽ ἐν Σικυῶνι ἐς ὀλίγους μᾶλλον
having-campaigned-together the both in Sicyon to few more
κατέστησαν αὐτοὶ οἱ Λακεδαιμόνιοι ἐλθόντες, καὶ μετ᾽ ἐκεῖνα
settled themselves the Lacedaemonians having-come and after that
ξυναμφότεροι ἤδη καὶ τὸν ἐν Ἄργει δῆμον κατέλυσαν,
both-together already also the in Argos people overthrew
καὶ ὀλιγαρχία ἐπιτηδεία τοῖς Λακεδαιμονίοις κατέστη. καὶ
and oligarchy friendly to-the Lacedaemonians was-established and
πρὸς ἔαρ ἤδη ταῦτα ἦν τοῦ χειμῶνος λήγοντος, καὶ
toward spring already these-things were the winter ending and
τέταρτον καὶ δέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα.
fourth and tenth year for-the war ended

τοῦ δ' ἐπιγιγνομένου θέρους Διῆς τε οἱ ἐν Ἄθῳ 82.1
in-the and following summer Dians both the on Athos
ἀπέστησαν Ἀθηναίων πρὸς Χαλκιδέας, καὶ Λακεδαιμόνιοι
revolted from-Athenians to Chalcidians and Lacedaemonians
τὰ ἐν Ἀχαΐᾳ οὐκ ἐπιτηδείως πρότερον ἔχοντα καθίσταντο.
the in Achaea not favorably before being settled
καὶ Ἀργείων ὁ δῆμος κατ' ὀλίγον ξυνιστάμενός τε καὶ 82.2
and of-Argives the people by little gathering both and
ἀναθαρσήσας ἐπέθεντο τοῖς ὀλίγοις, τηρήσαντες αὐτὰς τὰς
having-taken-courage attacked the few having-watched-for very the
γυμνοπαιδίας τῶν Λακεδαιμονίων· καὶ μάχης γενομένης ἐν
gymnopaediae of-the Lacedaemonians and battle having-happened in
τῇ πόλει ἐπεκράτησεν ὁ δῆμος, καὶ τοὺς μὲν ἀπέκτεινε,
the city prevailed the people and some indeed killed
τοὺς δὲ ἐξήλασεν.
others and drove-out
οἱ δὲ Λακεδαιμόνιοι, ἕως μὲν αὐτοὺς μετεπέμποντο οἱ 82.3
the and Lacedaemonians while indeed them summoned the
φίλοι, οὐκ ἦλθον ἐκ πλέονος, ἀναβαλόμενοι δὲ τὰς
friends not came from longer having-postponed and the
γυμνοπαιδίας ἐβοήθουν. καὶ ἐν Τεγέᾳ πυθόμενοι ὅτι
gymnopaediae they-came-to-help and in Tegea having-learned that
νενίκηνται οἱ ὀλίγοι, προελθεῖν μὲν οὐκέτι ἠθέλησαν
had-been-defeated the few to-go-forward indeed no-longer were-willing
δεομένων τῶν διαπεφευγότων, ἀναχωρήσαντες δὲ ἐπ'
begging the escaped having-withdrawn and to
οἴκου τὰς γυμνοπαιδίας ἦγον.
home the gymnopaediae kept
καὶ ὕστερον ἐλθόντων πρέσβεων ἀπό τε τῶν ἐν τῇ πόλει 82.4
and later having-come envoys from both those in the city
καὶ τῶν ἔξω Ἀργείων, παρόντων τε τῶν ξυμμάχων καὶ
and the outside Argives being-present both the allies and

ῥηθέντων πολλῶν ἀφ᾽ ἑκατέρων ἔγνωσαν μὲν ἀδικεῖν
having-been-said much from each-side they-judged indeed to-be-in-the-wrong
τοὺς ἐν τῇ πόλει, καὶ ἔδοξεν αὐτοῖς στρατεύειν ἐς
those in the city and it-seemed-good to-them to-march to
Ἄργος, διατριβαὶ δὲ καὶ μελλήσεις ἐγίγνοντο.
Argos delays but and postponements happened

82.5 ὁ δὲ δῆμος τῶν Ἀργείων ἐν τούτῳ φοβούμενος τοὺς
the and people of-the Argives in this fearing the
Λακεδαιμονίους καὶ τὴν τῶν Ἀθηναίων ξυμμαχίαν πάλιν
Lacedaemonians and the of-the Athenians alliance again
προσαγόμενός τε καὶ νομίζων μέγιστον ἂν σφᾶς ὠφελῆσαι,
bringing-over both and thinking most — them to-help
τειχίζει μακρὰ τείχη ἐς θάλασσαν, ὅπως, ἢν τῆς γῆς
builds long walls to sea so-that if from-the land
εἴργωνται, ἡ κατὰ θάλασσαν σφᾶς μετὰ τῶν Ἀθηναίων
they-are-shut-out the by sea them with the Athenians
ἐπαγωγὴ τῶν ἐπιτηδείων ὠφελῇ.
importing of-the supplies may-help

82.6 ξυνήδεσαν δὲ τὸν τειχισμὸν καὶ τῶν ἐν Πελοποννήσῳ
knew-of and the wall-building also of-the in Peloponnese
τινὲς πόλεων. καὶ οἱ μὲν Ἀργεῖοι πανδημεί, καὶ αὐτοὶ καὶ
some cities and the indeed Argives in-full-force both themselves and
γυναῖκες καὶ οἰκέται, ἐτείχιζον· καὶ ἐκ τῶν Ἀθηνῶν αὐτοῖς
women and slaves built and from — Athens to-them
ἦλθον τέκτονες καὶ λιθουργοί. καὶ τὸ θέρος ἐτελεύτα.
came carpenters and masons and the summer ended

83.1 τοῦ δ᾽ ἐπιγιγνομένου χειμῶνος Λακεδαιμόνιοι ὡς ᾔσθοντο
in-the and following winter Lacedaemonians when perceived
τειχιζόντων, ἐστράτευσαν ἐς τὸ Ἄργος αὐτοί τε καὶ
building marched to — Argos themselves both and
οἱ ξύμμαχοι πλὴν Κορινθίων· ὑπῆρχε δέ τι αὐτοῖς
the allies except Corinthians there-was and something for-them

καὶ ἐκ τοῦ Ἄργους αὐτόθεν πρασσόμενον. ἦγε δὲ τὴν
also from — Argos itself being-contrived led and the
στρατιὰν Ἄγις ὁ Ἀρχιδάμου Λακεδαιμονίων βασιλεύς.
army Agis the son-of-Archidamus of-Lacedaemonians king
καὶ τὰ μὲν ἐκ τῆς πόλεως δοκοῦντα προϋπάρχειν οὐ 83.2
and the indeed from the city seeming to-be-ready-beforehand not
προυχώρησεν ἔτι· τὰ δὲ οἰκοδομούμενα τείχη ἑλόντες καὶ
went-forward still the and being-built walls having-taken and
καταβαλόντες καὶ Ὑσιὰς χωρίον τῆς Ἀργείας λαβόντες
having-thrown-down and Hysiae place — of-Argive-land having-taken
καὶ τοὺς ἐλευθέρους ἅπαντας οὓς ἔλαβον ἀποκτείναντες
and the free all whom they-took having-killed
ἀνεχώρησαν καὶ διελύθησαν κατὰ πόλεις.
withdrew and dispersed by cities
ἐστράτευσαν δὲ μετὰ τοῦτο καὶ Ἀργεῖοι ἐς τὴν Φλειασίαν 83.3
marched and after this also Argives into — Phliasian-land
καὶ δῃώσαντες ἀπῆλθον, ὅτι σφῶν τοὺς φυγάδας
and having-ravaged departed because of-them the exiles
ὑπεδέχοντο· οἱ γὰρ πολλοὶ αὐτῶν ἐνταῦθα κατῴκηντο.
they-received the for many of-them there had-settled
κατέκλῃσαν δὲ τοῦ αὐτοῦ χειμῶνος καὶ Μακεδόνας 83.4
blockaded and the same winter also Macedonians
Ἀθηναῖοι, Περδίκκᾳ ἐπικαλοῦντες τήν τε πρὸς Ἀργείους
Athenians against-Perdiccas charging the both with Argives
καὶ Λακεδαιμονίους γενομένην ξυνωμοσίαν, καὶ ὅτι
and Lacedaemonians made sworn-league and that
παρασκευασαμένων αὐτῶν στρατιὰν ἄγειν ἐπὶ Χαλκιδέας
having-prepared they army to-lead against Chalcidians
τοὺς ἐπὶ Θρᾴκης καὶ Ἀμφίπολιν Νικίου τοῦ Νικηράτου
the in Thrace and Amphipolis Nicias the son-of-Niceratus
στρατηγοῦντος ἔψευστο τὴν ξυμμαχίαν καὶ ἡ στρατεία
commanding he-had-broken the alliance and the expedition

μάλιστα διελύθη ἐκείνου †ἀπάραντος†· πολέμιος οὖν ἦν.
chiefly was-broken-up he having-withdrawn hostile then he-was
καὶ ὁ χειμὼν ἐτελεύτα οὗτος, καὶ πέμπτον καὶ δέκατον
and the winter ended this and fifth and tenth
ἔτος τῷ πολέμῳ ἐτελεύτα.
year for-the war ended

XIV · THE ATHENIANS AT MELOS

Alcibiades sails to Argos and seizes three hundred Argives suspected of favoring Sparta. The Athenians send thirty ships of their own, with Chian and Lesbian ships, against Melos. The Melians are colonists of Sparta. They refuse to submit to Athens like the other islanders and stay neutral until Athenian raids drive them into open war. The generals Cleomedes and Teisias first send envoys. The Melians do not bring them before the people, but bid them speak to the magistrates and the few.

84.1 τοῦ δ' ἐπιγιγνομένου θέρους Ἀλκιβιάδης τε πλεύσας
in-the and following summer Alcibiades both having-sailed
ἐς Ἄργος ναυσὶν εἴκοσιν Ἀργείων τοὺς δοκοῦντας ἔτι
to Argos with-ships twenty of-Argives the seeming still
ὑπόπτους εἶναι καὶ τὰ Λακεδαιμονίων φρονεῖν ἔλαβε
suspect to-be and the of-Lacedaemonians to-favor took
τριακοσίους ἄνδρας, καὶ κατέθεντο αὐτοὺς Ἀθηναῖοι ἐς
three-hundred men and deposited them Athenians in
τὰς ἐγγὺς νήσους ὧν ἦρχον· καὶ ἐπὶ Μῆλον τὴν νῆσον
the nearby islands which they-ruled and against Melos the island
Ἀθηναῖοι ἐστράτευσαν ναυσὶν ἑαυτῶν μὲν τριάκοντα,
Athenians campaigned with-ships their-own indeed thirty
Χίαις δὲ ἕξ, Λεσβίαιν δὲ δυοῖν, καὶ ὁπλίταις ἑαυτῶν
Chian and six Lesbian and two and with-hoplites their-own
μὲν διακοσίοις καὶ χιλίοις καὶ τοξόταις τριακοσίοις καὶ
indeed two-hundred and a-thousand and archers three-hundred and

ἱπποτοξόταις εἴκοσι, τῶν δὲ ξυμμάχων καὶ νησιωτῶν
mounted-archers twenty of-the and allies and islanders
ὁπλίταις μάλιστα πεντακοσίοις καὶ χιλίοις.
hoplites about five-hundred and a-thousand
οἱ δὲ Μήλιοι Λακεδαιμονίων μέν εἰσιν ἄποικοι, τῶν δ' 84.2
the and Melians of-Lacedaemonians indeed are colonists of-the and
Ἀθηναίων οὐκ ἤθελον ὑπακούειν ὥσπερ οἱ ἄλλοι νησιῶται,
Athenians not were-willing to-obey like the other islanders
ἀλλὰ τὸ μὲν πρῶτον οὐδετέρων ὄντες ἡσύχαζον, ἔπειτα
but the indeed first of-neither being kept-quiet then
ὡς αὐτοὺς ἠνάγκαζον οἱ Ἀθηναῖοι δῃοῦντες τὴν γῆν, ἐς
when them compelled the Athenians ravaging the land into
πόλεμον φανερὸν κατέστησαν.
war open they-entered
στρατοπεδευσάμενοι οὖν ἐς τὴν γῆν αὐτῶν τῇ παρασκευῇ 84.3
having-encamped then in the land of-them with-the armament
ταύτῃ οἱ στρατηγοὶ Κλεομήδης τε ὁ Λυκομήδους καὶ
this the generals Cleomedes both the son-of-Lycomedes and
Τεισίας ὁ Τεισιμάχου, πρὶν ἀδικεῖν τι τῆς γῆς, λόγους
Teisias the son-of-Teisimachus before to-harm any of-the land talks
πρῶτον ποιησομένους ἔπεμψαν πρέσβεις. οὓς οἱ Μήλιοι
first to-make sent envoys whom the Melians
πρὸς μὲν τὸ πλῆθος οὐκ ἤγαγον, ἐν δὲ ταῖς ἀρχαῖς
before indeed the multitude not brought among and the magistrates
καὶ τοῖς ὀλίγοις λέγειν ἐκέλευον περὶ ὧν ἥκουσιν.
and the few to-speak bade about what they-have-come

The Athenians propose that the Melians answer each point as it is made. The Melians say the outcome is war if they hold to the right and slavery if they yield. The Athenians set aside fine words: justice is judged between equals, and the strong do what they can while the weak give way. They refuse neutrality, since Melian friendship would show weakness. The Melians warn that Athens will make every neutral its enemy, and they trust in fortune, the gods, and Spartan kinship. The Athenians answer that hope ruins those who stake everything on it, that gods and men rule wherever they can, and that Sparta counts the advantageous as just and will not cross to an island. They urge the Melians to become tributary allies.

85.1 οἱ δὲ τῶν Ἀθηναίων πρέσβεις ἔλεγον τοιάδε. ‘Ἐπειδὴ
the and of-the Athenians envoys said such since
οὐ πρὸς τὸ πλῆθος οἱ λόγοι γίγνονται, ὅπως δὴ μὴ
not before the multitude the words are-made so-that indeed not
ξυνεχεῖ ῥήσει οἱ πολλοὶ ἐπαγωγὰ καὶ ἀνέλεγκτα ἐσάπαξ
in-continuous speech the many seductive and unrefuted at-one-time
ἀκούσαντες ἡμῶν ἀπατηθῶσιν (γιγνώσκομεν γὰρ ὅτι
having-heard from-us be-deceived we-know for that
τοῦτο φρονεῖ ἡμῶν ἡ ἐς τοὺς ὀλίγους ἀγωγή), ὑμεῖς οἱ
this means of-us the to the few bringing you the
καθήμενοι ἔτι ἀσφαλέστερον ποιήσατε. καθ’ ἕκαστον γὰρ
sitting still more-safely do by each-point for
καὶ μηδ’ ὑμεῖς ἑνὶ λόγῳ, ἀλλὰ πρὸς τὸ μὴ δοκοῦν
also not-even you in-one speech but against the not seeming
ἐπιτηδείως λέγεσθαι εὐθὺς ὑπολαμβάνοντες κρίνετε. καὶ
suitably to-be-said at-once taking-up judge and
πρῶτον εἰ ἀρέσκει ὡς λέγομεν εἴπατε.’
first if it-pleases as we-propose say

οἱ δὲ τῶν Μηλίων ξύνεδροι ἀπεκρίναντο ‘ἡ μὲν ἐπιείκεια 86.1
the and of-the Melians councilors answered the indeed reasonableness
τοῦ διδάσκειν καθ᾽ ἡσυχίαν ἀλλήλους οὐ ψέγεται, τὰ δὲ τοῦ
of-the to-instruct at leisure each-other not is-blamed the but of-the
πολέμου παρόντα ἤδη καὶ οὐ μέλλοντα διαφέροντα αὐτοῦ
war present already and not to-come at-variance with-it
φαίνεται. ὁρῶμεν γὰρ αὐτούς τε κριτὰς ἥκοντας ὑμᾶς τῶν
appear we-see for yourselves both judges having-come you of-the
λεχθησομένων καὶ τὴν τελευτὴν ἐξ αὐτοῦ κατὰ τὸ εἰκὸς
to-be-said and the outcome from it according-to the likely
περιγενομένοις μὲν τῷ δικαίῳ καὶ δι᾽ αὐτὸ μὴ ἐνδοῦσι
having-prevailed indeed in-the right and because-of it not having-yielded
πόλεμον ἡμῖν φέρουσαν, πεισθεῖσι δὲ δουλείαν.’
war for-us bringing having-been-persuaded but slavery
ATH. εἰ μὲν τοίνυν ὑπονοίας τῶν μελλόντων λογιούμενοι 87.1
if indeed then suspicions of-the future going-to-reckon
ἢ ἄλλο τι ξυνήκετε ἢ ἐκ τῶν παρόντων καὶ ὧν
or other anything you-have-met than from the present and what
ὁρᾶτε περὶ σωτηρίας βουλεύσοντες τῇ πόλει, παυοίμεθ᾽
you-see about safety going-to-deliberate for-the city we-would-stop
ἄν· εἰ δ᾽ ἐπὶ τοῦτο, λέγοιμεν ἄν.
— if but for this we-would-speak —
MEL. εἰκὸς μὲν καὶ ξυγγνώμη ἐν τῷ τοιῷδε καθεστῶτας 88.1
natural indeed and pardon in the such placed
ἐπὶ πολλὰ καὶ λέγοντας καὶ δοκοῦντας τρέπεσθαι· ἡ
to many-things both saying and thinking to-turn the
μέντοι ξύνοδος καὶ περὶ σωτηρίας ἥδε πάρεστι, καὶ ὁ
however meeting also about safety this is-here and the
λόγος ᾧ προκαλεῖσθε τρόπῳ, εἰ δοκεῖ, γιγνέσθω.
discussion in-which you-propose way if it-seems let-it-proceed

89.1 ATH. ἡμεῖς τοίνυν οὔτε αὐτοὶ μετ᾽ ὀνομάτων καλῶν, ὡς ἢ
we then neither ourselves with names fine that either
δικαίως τὸν Μῆδον καταλύσαντες ἄρχομεν ἢ ἀδικούμενοι
justly the Mede having-overthrown we-rule or being-wronged
νῦν ἐπεξερχόμεθα, λόγων μῆκος ἄπιστον παρέξομεν, οὔθ᾽
now we-come-against of-words length unconvincing will-offer nor
ὑμᾶς ἀξιοῦμεν ἢ ὅτι Λακεδαιμονίων ἄποικοι ὄντες οὐ
you we-expect either that of-Lacedaemonians colonists being not
ξυνεστρατεύσατε ἢ ὡς ἡμᾶς οὐδὲν ἠδικήκατε λέγοντας
you-campaigned-with or that us nothing you-have-wronged saying
οἴεσθαι πείσειν, τὰ δυνατὰ δ᾽ ἐξ ὧν ἑκάτεροι ἀληθῶς
to-think to-persuade the possible but from what each truly
φρονοῦμεν διαπράσσεσθαι, ἐπισταμένους πρὸς εἰδότας
we-think to-accomplish understanding with knowing
ὅτι δίκαια μὲν ἐν τῷ ἀνθρωπείῳ λόγῳ ἀπὸ τῆς ἴσης
that just-things indeed in the human reckoning from the equal
ἀνάγκης κρίνεται, δυνατὰ δὲ οἱ προύχοντες πράσσουσι
necessity are-judged possible-things but the superior do
καὶ οἱ ἀσθενεῖς ξυγχωροῦσιν.
and the weak concede

90.1 MEL. ἦ μὲν δὴ νομίζομέν γε, χρήσιμον (ἀνάγκη γάρ,
as indeed indeed we-think at-least useful necessity for
ἐπειδὴ ὑμεῖς οὕτω παρὰ τὸ δίκαιον τὸ ξυμφέρον λέγειν
since you so beside the just the advantageous to-speak
ὑπέθεσθε) μὴ καταλύειν ὑμᾶς τὸ κοινὸν ἀγαθόν, ἀλλὰ τῷ
have-laid-down not to-destroy you the common good but for-the
αἰεὶ ἐν κινδύνῳ γιγνομένῳ εἶναι τὰ εἰκότα καὶ δίκαια, καί
ever in danger being to-be the fair and just and
τι καὶ ἐντὸς τοῦ ἀκριβοῦς πείσαντά τινα ὠφεληθῆναι.
something even within the strict having-persuaded someone to-profit

καὶ πρὸς ὑμῶν οὐχ ἧσσον τοῦτο, ὅσῳ καὶ ἐπὶ μεγίστῃ
and in-favor-of you not less this inasmuch-as also with greatest
τιμωρίᾳ σφαλέντες ἂν τοῖς ἄλλοις παράδειγμα γένοισθε.
vengeance having-fallen — to-the others example you-would-become
ATH. ἡμεῖς δὲ τῆς ἡμετέρας ἀρχῆς, ἢν καὶ παυθῇ, οὐκ 91.1
we but of-the our empire if even it-should-end not
ἀθυμοῦμεν τὴν τελευτήν· οὐ γὰρ οἱ ἄρχοντες ἄλλων, ὥσπερ
are-dismayed-at the end not for the rulers of-others as
καὶ Λακεδαιμόνιοι, οὗτοι δεινοὶ τοῖς νικηθεῖσιν (ἔστι δὲ οὐ
also Lacedaemonians these terrible to-the conquered is and not
πρὸς Λακεδαιμονίους ἡμῖν ὁ ἀγών), ἀλλ' ἢν οἱ ὑπήκοοί
with Lacedaemonians for-us the contest but if the subjects
που τῶν ἀρξάντων αὐτοὶ ἐπιθέμενοι κρατήσωσιν.
anywhere of-the having-ruled themselves having-attacked should-overpower
καὶ περὶ μὲν τούτου ἡμῖν ἀφείσθω κινδυνεύεσθαι· ὡς δὲ 91.2
and about indeed this to-us let-it-be-left to-be-risked that and
ἐπ' ὠφελίᾳ τε πάρεσμεν τῆς ἡμετέρας ἀρχῆς καὶ ἐπὶ
for benefit both we-are-here of-the our empire and for
σωτηρίᾳ νῦν τοὺς λόγους ἐροῦμεν τῆς ὑμετέρας πόλεως,
safety now the words we-will-speak of-the your city
ταῦτα δηλώσομεν, βουλόμενοι ἀπόνως μὲν ὑμῶν ἄρξαι,
these-things we-will-show wishing without-trouble indeed you to-rule
χρησίμως δ' ὑμᾶς ἀμφοτέροις σωθῆναι.
usefully and you for-both to-be-saved
MEL. καὶ πῶς χρήσιμον ἂν ξυμβαίη ἡμῖν δουλεῦσαι, 92.1
and how useful — would-it-turn-out for-us to-be-slaves
ὥσπερ καὶ ὑμῖν ἄρξαι;
as also for-you to-rule

93.1 ATH. ὅτι ὑμῖν μὲν πρὸ τοῦ τὰ δεινότατα παθεῖν
because for-you indeed before the the most-terrible-things to-suffer
ὑπακοῦσαι ἂν γένοιτο, ἡμεῖς δὲ μὴ διαφθείραντες ὑμᾶς
to-submit — would-happen we and not having-destroyed you
κερδαίνοιμεν ἄν.
we-would-gain —

94.1 MEL. ὥστε ἡσυχίαν ἄγοντας ἡμᾶς φίλους μὲν εἶναι ἀντὶ
so-that quiet keeping us friends indeed to-be for
πολεμίων, ξυμμάχους δὲ μηδετέρων, οὐκ ἂν δέξαισθε;
enemies allies but of-neither not — you-would-accept

95.1 ATH. οὐ γὰρ τοσοῦτον ἡμᾶς βλάπτει ἡ ἔχθρα ὑμῶν ὅσον ἡ
not for so-much us harms the enmity of-you as the
φιλία μὲν ἀσθενείας, τὸ δὲ μῖσος δυνάμεως παράδειγμα
friendship indeed of-weakness the and hatred of-power proof
τοῖς ἀρχομένοις δηλούμενον.
to-the ruled being-shown

96.1 MEL. σκοποῦσι δ' ὑμῶν οὕτως οἱ ὑπήκοοι τὸ εἰκός, ὥστε τούς
regard and of-you thus the subjects the fair so-that those
τε μὴ προσήκοντας καὶ ὅσοι ἄποικοι ὄντες οἱ πολλοὶ
both not related and as-many-as colonists being the most
καὶ ἀποστάντες τινὲς κεχείρωνται ἐς τὸ αὐτὸ τιθέασιν;
and having-revolted some have-been-subdued into the same they-put

97.1 ATH. δικαιώματι γὰρ οὐδετέρους ἐλλείπειν ἡγοῦνται, κατὰ
in-justification for neither to-fall-short they-think by
δύναμιν δὲ τοὺς μὲν περιγίγνεσθαι, ἡμᾶς δὲ φόβῳ οὐκ
power and those indeed to-survive us and from-fear not
ἐπιέναι· ὥστε ἔξω καὶ τοῦ πλεόνων ἄρξαι καὶ τὸ ἀσφαλὲς
to-attack so-that besides also the more to-rule also the safety
ἡμῖν διὰ τὸ καταστραφῆναι ἂν παράσχοιτε, ἄλλως τε
to-us because-of the to-be-subdued — you-would-provide otherwise both

καὶ νησιῶται ναυκρατόρων καὶ ἀσθενέστεροι ἑτέρων ὄντες
and islanders of-sea-masters and weaker than-others being
εἰ μὴ περιγένοισθε.
if not you-should-prevail

MEL. ἐν δ' ἐκείνῳ οὐ νομίζετε ἀσφάλειαν; δεῖ γὰρ 98.1
in and that not you-think safety it-is-needed for
αὖ καὶ ἐνταῦθα, ὥσπερ ὑμεῖς τῶν δικαίων λόγων ἡμᾶς
again also here as you from-the just words us
ἐκβιβάσαντες τῷ ὑμετέρῳ ξυμφόρῳ ὑπακούειν πείθετε,
having-driven to-the your advantage to-yield persuade
καὶ ἡμᾶς τὸ ἡμῖν χρήσιμον διδάσκοντας, εἰ τυγχάνει
also us the to-us useful teaching if it-happens
καὶ ὑμῖν τὸ αὐτὸ ξυμβαῖνον, πειρᾶσθαι πείθειν. ὅσοι
also for-you the same coinciding to-try to-persuade as-many-as
γὰρ νῦν μηδετέροις ξυμμαχοῦσι, πῶς οὐ πολεμώσεσθε
for now with-neither are-allied how not will-you-make-enemies
αὐτούς, ὅταν ἐς τάδε βλέψαντες ἡγήσωνταί ποτε ὑμᾶς
them when to these-things having-looked they-think sometime you
καὶ ἐπὶ σφᾶς ἥξειν; κἀν τούτῳ τί ἄλλο ἢ τοὺς
also against them to-come and-in this what else than the
μὲν ὑπάρχοντας πολεμίους μεγαλύνετε, τοὺς δὲ μηδὲ
indeed existing enemies you-strengthen those and not-even
μελλήσαντας γενέσθαι ἄκοντας ἐπάγεσθε;
having-intended to-become unwilling you-bring-on

ATH. οὐ γὰρ νομίζομεν ἡμῖν τούτους δεινοτέρους ὅσοι 99.1
not for we-think to-us these more-dangerous as-many-as
ἠπειρῶταί που ὄντες τῷ ἐλευθέρῳ πολλὴν τὴν
mainlanders somewhere being through-the freedom much the
διαμέλλησιν τῆς πρὸς ἡμᾶς φυλακῆς ποιήσονται, ἀλλὰ
delay of-the against us guarding will-make but
τοὺς νησιώτας τέ που ἀνάρκτους, ὥσπερ ὑμᾶς, καὶ
the islanders both somewhere unruled like you and

τοὺς ἤδη τῆς ἀρχῆς τῷ ἀναγκαίῳ παροξυνομένους.
those already of-the empire by-the constraint being-exasperated
οὗτοι γὰρ πλεῖστ᾽ ἂν τῷ ἀλογίστῳ ἐπιτρέψαντες σφᾶς
these for most — to-the unreasoning having-given-over them
τε αὐτοὺς καὶ ἡμᾶς ἐς προῦπτον κίνδυνον καταστήσειαν.
both selves and us into foreseen danger would-bring

100.1 MEL. ἦ που ἄρα, εἰ τοσαύτην γε ὑμεῖς τε μὴ
truly I-suppose then if so-great at-least you both not
παυθῆναι ἀρχῆς καὶ οἱ δουλεύοντες ἤδη ἀπαλλαγῆναι
to-be-stopped from-empire and the being-slaves already to-be-freed
τὴν παρακινδύνευσιν ποιοῦνται, ἡμῖν γε τοῖς ἔτι
the risk make for-us at-least the still
ἐλευθέροις πολλὴ κακότης καὶ δειλία μὴ πᾶν πρὸ τοῦ
free great baseness and cowardice not everything before the
δουλεῦσαι ἐπεξελθεῖν.
to-be-slaves to-try

101.1 ATH. οὔκ, ἤν γε σωφρόνως βουλεύησθε· οὐ γὰρ περὶ
not if at-least sensibly you-deliberate not for about
ἀνδραγαθίας ὁ ἀγὼν ἀπὸ τοῦ ἴσου ὑμῖν, μὴ αἰσχύνην
manly-virtue the contest on the equal for-you not shame
ὀφλεῖν, περὶ δὲ σωτηρίας μᾶλλον ἡ βουλή, πρὸς τοὺς
to-incur about but safety rather the deliberation against the
κρείσσονας πολλῷ μὴ ἀνθίστασθαι.
stronger by-much not to-resist

102.1 MEL. ἀλλ᾽ ἐπιστάμεθα τὰ τῶν πολέμων ἔστιν ὅτε κοινοτέρας
but we-know the of-the wars there-is when more-impartial
τὰς τύχας λαμβάνοντα ἢ κατὰ τὸ διαφέρον ἑκατέρων
the fortunes taking than by the differing of-each-side
πλῆθος· καὶ ἡμῖν τὸ μὲν εἶξαι εὐθὺς ἀνέλπιστον, μετὰ
number and for-us the indeed to-yield at-once hopeless with
δὲ τοῦ δρωμένου ἔτι καὶ στῆναι ἐλπὶς ὀρθῶς.
but the acting still also to-stand hope upright

ATH. ἐλπὶς δὲ κινδύνῳ παραμύθιον οὖσα τοὺς μὲν ἀπὸ 103.1
hope and to-danger comfort being those indeed from
περιουσίας χρωμένους αὐτῇ, κἂν βλάψῃ, οὐ καθεῖλεν·
abundance using it even-if it-harms not destroys
τοῖς δ' ἐς ἅπαν τὸ ὑπάρχον ἀναρριπτοῦσι (δάπανος
for-those and on all the existing staking prodigal
γὰρ φύσει) ἅμα τε γιγνώσκεται σφαλέντων καὶ ἐν ὅτῳ
for by-nature at-once both is-known having-failed and in which
ἔτι φυλάξεταί τις αὐτὴν γνωρισθεῖσαν οὐκ ἐλλείπει.
still will-guard-against anyone it known not it-leaves
ὃ ὑμεῖς ἀσθενεῖς τε καὶ ἐπὶ ῥοπῆς μιᾶς ὄντες μὴ 103.2
which you weak both and on turn single being not
βούλεσθε παθεῖν μηδὲ ὁμοιωθῆναι τοῖς πολλοῖς, οἷς
wish to-suffer nor to-be-made-like to-the many for-whom
παρὸν ἀνθρωπείως ἔτι σῴζεσθαι, ἐπειδὰν πιεζομένους
it-being-possible by-human-means still to-be-saved when being-pressed
αὐτοὺς ἐπιλίπωσιν αἱ φανεραὶ ἐλπίδες, ἐπὶ τὰς ἀφανεῖς
them fail the visible hopes to the invisible
καθίστανται μαντικήν τε καὶ χρησμοὺς καὶ ὅσα
they-turn prophecy both and oracles and as-many-things
τοιαῦτα μετ' ἐλπίδων λυμαίνεται.
such with hopes ruins
MEL. χαλεπὸν μὲν καὶ ἡμεῖς (εὖ ἴστε) νομίζομεν πρὸς 104.1
hard indeed also we well know we-think against
δύναμίν τε τὴν ὑμετέραν καὶ τὴν τύχην, εἰ μὴ ἀπὸ τοῦ
power both the your and the fortune if not on the
ἴσου ἔσται, ἀγωνίζεσθαι· ὅμως δὲ πιστεύομεν τῇ μὲν
equal it-will-be to-contend nevertheless but we-trust in-the indeed
τύχῃ ἐκ τοῦ θείου μὴ ἐλασσώσεσθαι, ὅτι ὅσιοι πρὸς
fortune from the divine not to-be-worsted because righteous against
οὐ δικαίους ἱστάμεθα, τῆς δὲ δυνάμεως τῷ ἐλλείποντι
not just we-stand of-the and power for-the shortfall

τὴν Λακεδαιμονίων ἡμῖν ξυμμαχίαν προσέσεσθαι, ἀνάγκην
the of-Lacedaemonians to-us alliance to-be-added necessity
ἔχουσαν, καὶ εἰ μή του ἄλλου, τῆς γε ξυγγενείας
having even if not of-anything else the at-least kinship
ἕνεκα καὶ αἰσχύνῃ βοηθεῖν. καὶ οὐ παντάπασιν οὕτως
for-sake and from-shame to-help and not altogether so
ἀλόγως θρασυνόμεθα.
irrationally we-are-bold

105.1 ATH. τῆς μὲν τοίνυν πρὸς τὸ θεῖον εὐμενείας οὐδ' ἡμεῖς
of-the indeed then toward the divine favor not-even we
οἰόμεθα λελείψεσθαι· οὐδὲν γὰρ ἔξω τῆς ἀνθρωπείας τῶν
think to-fall-short nothing for outside the human the
μὲν ἐς τὸ θεῖον νομίσεως, τῶν δ' ἐς σφᾶς αὐτοὺς
indeed toward the divine belief the and toward them selves
βουλήσεως δικαιοῦμεν ἢ πράσσομεν.
purpose we-claim or do

105.2 ἡγούμεθα γὰρ τό τε θεῖον δόξῃ τὸ ἀνθρώπειόν τε
we-believe for the both divine by-opinion the human and
σαφῶς διὰ παντὸς ὑπὸ φύσεως ἀναγκαίας, οὗ ἂν
clearly through all by nature compelling where —
κρατῇ, ἄρχειν· καὶ ἡμεῖς οὔτε θέντες τὸν νόμον οὔτε
it-is-stronger to-rule and we neither having-made the law nor
κειμένῳ πρῶτοι χρησάμενοι, ὄντα δὲ παραλαβόντες καὶ
laid-down first having-used existing but having-received and
ἐσόμενον ἐς αἰεὶ καταλείψοντες χρώμεθα αὐτῷ, εἰδότες καὶ
going-to-be for ever going-to-leave we-use it knowing both
ὑμᾶς ἂν καὶ ἄλλους ἐν τῇ αὐτῇ δυνάμει ἡμῖν γενομένους
you — and others in the same power to-us having-come
δρῶντας ἂν ταὐτό.
would-be-doing — the-same

καὶ πρὸς μὲν τὸ θεῖον οὕτως ἐκ τοῦ εἰκότος οὐ φοβούμεθα 105.3
and as-to indeed the divine thus from the likely not we-fear
ἐλασσώσεσθαι· τῆς δὲ ἐς Λακεδαιμονίους δόξης, ἣν
to-be-worsted of-the and as-to Lacedaemonians opinion which
διὰ τὸ αἰσχρὸν δὴ βοηθήσειν ὑμῖν πιστεύετε αὐτούς,
because-of the shameful indeed to-help to-you you-trust them
μακαρίσαντες ὑμῶν τὸ ἀπειρόκακον οὐ ζηλοῦμεν τὸ ἄφρον.
having-blessed of-you the innocence not we-envy the folly
Λακεδαιμόνιοι γὰρ πρὸς σφᾶς μὲν αὐτοὺς καὶ τὰ ἐπιχώρια 105.4
Lacedaemonians for toward them indeed selves and the native
νόμιμα πλεῖστα ἀρετῇ χρῶνται· πρὸς δὲ τοὺς ἄλλους πολλὰ
customs most virtue they-practice toward but the others much
ἄν τις ἔχων εἰπεῖν ὡς προσφέρονται, ξυνελὼν μάλιστ᾽
— anyone having to-say how they-behave having-summed-up most
ἂν δηλώσειεν ὅτι ἐπιφανέστατα ὧν ἴσμεν τὰ μὲν ἡδέα
— would-declare that most-conspicuously of-whom we-know the indeed pleasant
καλὰ νομίζουσι, τὰ δὲ ξυμφέροντα δίκαια. καίτοι οὐ πρὸς
honorable they-consider the and advantageous just and-yet not in-favor-of
τῆς ὑμετέρας νῦν ἀλόγου σωτηρίας ἡ τοιαύτη διάνοια.
the your now unreasoning safety the such thinking
MEL. ἡμεῖς δὲ κατ᾽ αὐτὸ τοῦτο ἤδη καὶ μάλιστα πιστεύομεν 106.1
we but by the-very this now also most we-trust
τῷ ξυμφέροντι αὐτῶν, Μηλίους ἀποίκους ὄντας μὴ
in-the advantage of-them Melians colonists being not
βουλήσεσθαι προδόντας τοῖς μὲν εὔνοις τῶν Ἑλλήνων
to-be-willing having-betrayed to-the indeed well-disposed of-the Greeks
ἀπίστους καταστῆναι, τοῖς δὲ πολεμίοις ὠφελίμους.
untrustworthy to-become to-the and enemies useful

107.1 ATH. οὔκουν οἴεσθε τὸ ξυμφέρον μὲν μετ᾽ ἀσφαλείας εἶναι,
not-then you-think the advantageous indeed with safety to-be
τὸ δὲ δίκαιον καὶ καλὸν μετὰ κινδύνου δρᾶσθαι· ὃ
the and just and honorable with danger to-be-done which
Λακεδαιμόνιοι ἥκιστα ὡς ἐπὶ τὸ πολὺ τολμῶσιν.
Lacedaemonians least as for the most dare

108.1 MEL. ἀλλὰ καὶ τοὺς κινδύνους τε ἡμῶν ἕνεκα μᾶλλον
but also the dangers both of-us for-sake rather
ἡγούμεθ᾽ ἂν ἐγχειρίσασθαι αὐτούς, καὶ βεβαιοτέρους ἢ
we-think — to-undertake them and more-secure than
ἐς ἄλλους νομιεῖν, ὅσῳ πρὸς μὲν τὰ ἔργα τῆς
with others to-consider inasmuch-as for indeed the deeds —
Πελοποννήσου ἐγγὺς κείμεθα, τῆς δὲ γνώμης τῷ
of-Peloponnese near we-lie of-the and mind through-the
ξυγγενεῖ πιστότεροι ἑτέρων ἐσμέν.
kinship more-trustworthy than-others we-are

109.1 ATH. τὸ δ᾽ ἐχυρόν γε τοῖς ξυναγωνιουμένοις οὐ τὸ
the but security at-least for-those about-to-join-the-fight not the
εὔνουν τῶν ἐπικαλεσαμένων φαίνεται, ἀλλ᾽ ἢν τῶν
goodwill of-those having-called-in appears but if in-the
ἔργων τις δυνάμει πολὺ προύχῃ· ὃ Λακεδαιμόνιοι καὶ
deeds anyone in-power much excel which Lacedaemonians even
πλέον τι τῶν ἄλλων σκοποῦσιν (τῆς γοῦν οἰκείας
more somewhat than-the others look-to of-the at-any-rate own
παρασκευῆς ἀπιστίᾳ καὶ μετὰ ξυμμάχων πολλῶν τοῖς
armament in-distrust also with allies many the
πέλας ἐπέρχονται), ὥστε οὐκ εἰκὸς ἐς νῆσόν γε αὐτοὺς
neighbors attack so-that not likely to island at-least them
ἡμῶν ναυκρατόρων ὄντων περαιωθῆναι.
we masters-of-the-sea being to-cross-over

MEL. οἱ δὲ καὶ ἄλλους ἂν ἔχοιεν πέμψαι· πολὺ δὲ τὸ 110.1
they but also others — would-be-able to-send wide and the
Κρητικὸν πέλαγος, δι' οὗ τῶν κρατούντων ἀπορώτερος
Cretan sea through which of-the controlling more-difficult
ἡ λῆψις ἢ τῶν λαθεῖν βουλομένων ἡ σωτηρία.
the capture than of-those to-escape-notice wishing the safety
καὶ εἰ τοῦδε σφάλλοιντο, τράποιντ' ἂν καὶ ἐς τὴν γῆν ὑμῶν 110.2
and if in-this they-should-fail they-would-turn — also to the land of-you
καὶ ἐπὶ τοὺς λοιποὺς τῶν ξυμμάχων, ὅσους μὴ Βρασίδας
and against the rest of-the allies as-many-as not Brasidas
ἐπῆλθεν· καὶ οὐ περὶ τῆς μὴ προσηκούσης μᾶλλον ἢ τῆς
reached and not about the not belonging rather than the
οἰκειοτέρας ξυμμαχίδος τε καὶ γῆς ὁ πόνος ὑμῖν ἔσται.
nearer allied-land both and land the toil for-you will-be
ATH. τούτων μὲν καὶ πεπειραμένοις ἄν τι γένοιτο καὶ 111.1
of-these indeed also having-had-experience — something might-happen also
ὑμῖν καὶ οὐκ ἀνεπιστήμοσιν ὅτι οὐδ' ἀπὸ μιᾶς πώποτε
to-you and not ignorant that not-even from one ever
πολιορκίας Ἀθηναῖοι δι' ἄλλων φόβον ἀπεχώρησαν.
siege Athenians because-of of-others fear withdrew
ἐνθυμούμεθα δὲ ὅτι φήσαντες περὶ σωτηρίας βουλεύσειν 111.2
we-reflect and that having-said about safety to-deliberate
οὐδὲν ἐν τοσούτῳ λόγῳ εἰρήκατε ᾧ ἄνθρωποι ἂν
nothing in so-long discussion you-have-said which men —
πιστεύσαντες νομίσειαν σωθήσεσθαι, ἀλλ' ὑμῶν τὰ μὲν
having-trusted would-think to-be-saved but of-you the indeed
ἰσχυρότατα ἐλπιζόμενα μέλλεται, τὰ δ' ὑπάρχοντα βραχέα
strongest being-hoped is-in-the-future the and existing scant
πρὸς τὰ ἤδη ἀντιτεταγμένα περιγίγνεσθαι. πολλήν τε
against the already arrayed to-prevail much and

ἀλογίαν τῆς διανοίας παρέχετε, εἰ μὴ μεταστησάμενοι ἔτι
unreason of-the judgment you-show if not having-withdrawn still
ἡμᾶς ἄλλο τι τῶνδε σωφρονέστερον γνώσεσθε.
us other something than-these more-wise you-will-decide
111.3 οὐ γὰρ δὴ ἐπί γε τὴν ἐν τοῖς αἰσχροῖς καὶ προύπτοις
not for indeed to at-least the in the disgraceful and foreseen
κινδύνοις πλεῖστα διαφθείρουσαν ἀνθρώπους αἰσχύνην
dangers most destroying men shame
τρέψεσθε. πολλοῖς γὰρ προορωμένοις ἔτι ἐς οἷα
you-will-turn many for foreseeing still into what-sort
φέρονται τὸ αἰσχρὸν καλούμενον ὀνόματος ἐπαγωγοῦ
they-are-carried the disgraceful so-called of-name seductive
δυνάμει ἐπεσπάσατο ἡσσηθεῖσι τοῦ ῥήματος ἔργῳ
by-power has-drawn-on having-been-overcome by-the word in-fact
ξυμφοραῖς ἀνηκέστοις ἑκόντας περιπεσεῖν καὶ αἰσχύνην
into-disasters irremediable willingly to-fall and shame
αἰσχίω μετὰ ἀνοίας ἢ τύχῃ προσλαβεῖν.
more-shameful with folly than by-fortune to-incur
111.4 ὃ ὑμεῖς, ἢν εὖ βουλεύησθε, φυλάξεσθε, καὶ οὐκ ἀπρεπὲς
which you if well you-deliberate will-guard-against and not unseemly
νομιεῖτε πόλεώς τε τῆς μεγίστης ἡσσᾶσθαι μέτρια
will-think by-city both the greatest to-be-worsted moderate-terms
προκαλουμένης, ξυμμάχους γενέσθαι ἔχοντας τὴν ὑμετέραν
offering allies to-become holding the your
αὐτῶν ὑποτελεῖς, καὶ δοθείσης αἱρέσεως πολέμου πέρι καὶ
own tributary and given choice war about and
ἀσφαλείας μὴ τὰ χείρω φιλονικῆσαι· ὡς οἵτινες τοῖς μὲν
safety not the worse to-insist-on since whoever to-the indeed
ἴσοις μὴ εἴκουσι, τοῖς δὲ κρείσσοσι καλῶς προσφέρονται,
equals not yield to-the and stronger well behave
πρὸς δὲ τοὺς ἥσσους μέτριοί εἰσι, πλεῖστ᾽ ἂν ὀρθοῖντο.
toward and the weaker moderate are most — would-succeed

σκοπεῖτε οὖν καὶ μεταστάντων ἡμῶν καὶ ἐνθυμεῖσθε 111.5
consider then also having-withdrawn we and reflect
πολλάκις ὅτι περὶ πατρίδος βουλεύεσθε, ἧς μιᾶς πέρι καὶ
often that about fatherland you-deliberate which one about and
ἐς μίαν βουλὴν τυχοῦσάν τε καὶ μὴ κατορθώσασαν ἔσται.
on one decision hitting both and not succeeding it-will-be

XVI · THE FALL OF MELOS

The Melians answer that they will not give up in a moment the freedom of a city seven hundred years old, and they will trust in fortune from the gods and in the Spartans. The Athenians reply that the Melians alone treat the future as clearer than what is before them. They wall the city in. Meanwhile Athenians from Pylos plunder Spartan land, and Sparta lets its people raid Athens without renouncing the treaty. During the siege the Melians twice take part of the wall. A fresh force arrives under Philocrates, and after treachery inside the Melians surrender. The Athenians kill all the grown men, enslave the women and children, and settle five hundred colonists.

καὶ οἱ μὲν Ἀθηναῖοι μετεχώρησαν ἐκ τῶν λόγων· οἱ δὲ 112.1
and the indeed Athenians withdrew from the talks the and
Μήλιοι κατὰ σφᾶς αὐτοὺς γενόμενοι, ὡς ἔδοξεν αὐτοῖς
Melians by them selves having-been when it-seemed-good to-them
παραπλήσια καὶ ἀντέλεγον, ἀπεκρίναντο τάδε.
similar-things as they-had-argued answered this
Οὔτε ἄλλα δοκεῖ ἡμῖν ἢ ἅπερ καὶ τὸ πρῶτον, ὦ 112.2
neither other-things seems to-us than which-very also the first O
Ἀθηναῖοι, οὔτ' ἐν ὀλίγῳ χρόνῳ πόλεως ἑπτακόσια ἔτη
Athenians nor in little time of-city seven-hundred years
ἤδη οἰκουμένης τὴν ἐλευθερίαν ἀφαιρησόμεθα, ἀλλὰ τῇ
already inhabited the freedom we-will-take-away but in-the
τε μέχρι τοῦδε σῳζούσῃ τύχῃ ἐκ τοῦ θείου αὐτὴν καὶ
both until this saving fortune from the divine it and

τῇ ἀπὸ τῶν ἀνθρώπων καὶ Λακεδαιμονίων τιμωρίᾳ
in-the from the men and Lacedaemonians help
πιστεύοντες πειρασόμεθα σῴζεσθαι.
trusting we-will-try to-save-ourselves
112.3 προκαλούμεθα δὲ ὑμᾶς φίλοι μὲν εἶναι, πολέμιοι δὲ
we-invite and you friends indeed to-be enemies and
μηδετέροις, καὶ ἐκ τῆς γῆς ἡμῶν ἀναχωρῆσαι σπονδὰς
to-neither and from the land of-us to-withdraw treaty
ποιησαμένους αἵτινες δοκοῦσιν ἐπιτήδειοι εἶναι ἀμφοτέροις.'
having-made which seem suitable to-be to-both
113.1 οἱ μὲν δὴ Μήλιοι τοσαῦτα ἀπεκρίναντο· οἱ δὲ Ἀθηναῖοι
the indeed then Melians so-much answered the and Athenians
διαλυόμενοι ἤδη ἐκ τῶν λόγων ἔφασαν 'ἀλλ' οὖν μόνοι
breaking-off already from the talks said well then alone
γε ἀπὸ τούτων τῶν βουλευμάτων, ὡς ἡμῖν δοκεῖτε,
at-least from these the resolutions as to-us you-seem
τὰ μὲν μέλλοντα τῶν ὁρωμένων σαφέστερα κρίνετε,
the indeed future than-the seen clearer you-judge
τὰ δὲ ἀφανῆ τῷ βούλεσθαι ὡς γιγνόμενα ἤδη θεᾶσθε,
the and unseen by-the to-wish as happening already you-behold
καὶ Λακεδαιμονίοις καὶ τύχῃ καὶ ἐλπίσι πλεῖστον δὴ
and on-Lacedaemonians and fortune and hopes most indeed
παραβεβλημένοι καὶ πιστεύσαντες πλεῖστον καὶ σφαλήσεσθε.'
having-staked and having-trusted most also you-will-be-ruined
114.1 καὶ οἱ μὲν Ἀθηναίων πρέσβεις ἀνεχώρησαν ἐς τὸ
and the indeed of-Athenians envoys returned to the
στράτευμα· οἱ δὲ στρατηγοὶ αὐτῶν, ὡς οὐδὲν ὑπήκουον
army the and generals of-them as nothing gave-in
οἱ Μήλιοι, πρὸς πόλεμον εὐθὺς ἐτρέποντο καὶ διελόμενοι
the Melians to war at-once turned and having-divided
κατὰ πόλεις περιετείχισαν κύκλῳ τοὺς Μηλίους.
by cities walled-around in-a-circle the Melians

καὶ ὕστερον φυλακὴν σφῶν τε αὐτῶν καὶ τῶν ξυμμάχων 114.2
and later guard of-them both selves and of-the allies
καταλιπόντες οἱ Ἀθηναῖοι καὶ κατὰ γῆν καὶ κατὰ
having-left the Athenians both by land and by
θάλασσαν ἀνεχώρησαν τῷ πλέονι τοῦ στρατοῦ. οἱ δὲ
sea withdrew with-the greater-part of-the army the and
λειπόμενοι παραμένοντες ἐπολιόρκουν τὸ χωρίον.
remaining staying-on besieged the place
καὶ Ἀργεῖοι κατὰ τὸν χρόνον τὸν αὐτὸν ἐσβαλόντες ἐς 115.1
and Argives at the time the same having-invaded into
τὴν Φλειασίαν καὶ λοχισθέντες ὑπό τε Φλειασίων καὶ
— Phliasian-land and having-been-ambushed by both Phliasians and
τῶν σφετέρων φυγάδων διεφθάρησαν ὡς ὀγδοήκοντα.
the own exiles were-destroyed about eighty
καὶ οἱ ἐκ τῆς Πύλου Ἀθηναῖοι Λακεδαιμονίων πολλὴν 115.2
and the from — Pylos Athenians of-Lacedaemonians much
λείαν ἔλαβον· καὶ Λακεδαιμόνιοι δι᾽ αὐτὸ τὰς μὲν
plunder took and Lacedaemonians because-of it the indeed
σπονδὰς οὐδ᾽ ὡς ἀφέντες ἐπολέμουν αὐτοῖς, ἐκήρυξαν
treaty not-even so having-renounced made-war on-them proclaimed
δὲ εἴ τις βούλεται παρὰ σφῶν Ἀθηναίους λῄζεσθαι.
but if anyone wishes from them Athenians to-plunder
καὶ Κορίνθιοι ἐπολέμησαν ἰδίων τινῶν διαφορῶν ἕνεκα 115.3
and Corinthians made-war of-private some quarrels for-sake
τοῖς Ἀθηναίοις· οἱ δ᾽ ἄλλοι Πελοποννήσιοι ἡσύχαζον.
on-the Athenians the and other Peloponnesians kept-quiet
εἷλον δὲ καὶ οἱ Μήλιοι τῶν Ἀθηναίων τοῦ περιτειχίσματος 115.4
took and also the Melians of-the Athenians of-the siege-wall
τὸ κατὰ τὴν ἀγορὰν προσβαλόντες νυκτός, καὶ ἄνδρας
the by the market having-attacked by-night and men
τε ἀπέκτειναν καὶ ἐσενεγκάμενοι σῖτόν τε καὶ ὅσα
both killed and having-brought-in grain both and as-much

πλεῖστα ἐδύναντο χρήσιμα ἀναχωρήσαντες ἡσύχαζον· καὶ οἱ
most they-could useful-things having-withdrawn kept-quiet and the
Ἀθηναῖοι ἄμεινον τὴν φυλακὴν τὸ ἔπειτα παρεσκευάζοντο.
Athenians better the watch the thereafter prepared
καὶ τὸ θέρος ἐτελεύτα.
and the summer ended

116.1 τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Λακεδαιμόνιοι μελλήσαντες
in-the and following winter Lacedaemonians having-intended
ἐς τὴν Ἀργείαν στρατεύειν, ὡς αὐτοῖς τὰ διαβατήρια οὐκ
into — Argive-land to-march as for-them the frontier-sacrifices not
ἐγίγνετο, ἀνεχώρησαν. καὶ Ἀργεῖοι διὰ τὴν ἐκείνων
were-favorable withdrew and Argives because-of the their
μέλλησιν τῶν ἐν τῇ πόλει τινὰς ὑποπτεύσαντες τοὺς μὲν
intention of-the in the city some having-suspected some indeed
ξυνέλαβον, οἱ δ' αὐτοὺς καὶ διέφυγον.
arrested others and them also escaped

116.2 καὶ οἱ Μήλιοι περὶ τοὺς αὐτοὺς χρόνους αὖθις καθ' ἕτερόν
and the Melians about the same times again at another
τι τοῦ περιτειχίσματος εἷλον τῶν Ἀθηναίων, παρόντων
some of-the siege-wall took of-the Athenians being-present
οὐ πολλῶν τῶν φυλάκων.
not many the guards

116.3 καὶ ἐλθούσης στρατιᾶς ὕστερον ἐκ τῶν Ἀθηνῶν ἄλλης,
and having-come force later from — Athens another
ὡς ταῦτα ἐγίγνετο, ἧς ἦρχε Φιλοκράτης ὁ Δημέου,
as these-things happened which commanded Philocrates the son-of-Demeas
καὶ κατὰ κράτος ἤδη πολιορκούμενοι, γενομένης καὶ
and by force now being-besieged having-occurred also
προδοσίας τινός, ἀφ' ἑαυτῶν ξυνεχώρησαν τοῖς Ἀθηναίοις
treachery some from themselves surrendered to-the Athenians
ὥστε ἐκείνους περὶ αὐτῶν βουλεῦσαι.
so-that those about them to-decide

οἱ δὲ ἀπέκτειναν Μηλίων ὅσους ἡβῶντας ἔλαβον, 116.4
they and killed of-Melians as-many-as grown-men they-took
παῖδας δὲ καὶ γυναῖκας ἠνδραπόδισαν· τὸ δὲ χωρίον
children and and women enslaved the and place
αὐτοὶ ᾤκισαν, ἀποίκους ὕστερον πεντακοσίους πέμψαντες.
themselves settled colonists later five-hundred having-sent